This is a digital copy of a book that was preserved for generations on library shelves before it was carefully scanned by Google as part of a project to make the world's books discoverable online.

It has survived long enough for the copyright to expire and the book to enter the public domain. A public domain book is one that was never subject to copyright or whose legal copyright term has expired. Whether a book is in the public domain may vary country to country. Public domain books are our gateways to the past, representing a wealth of history, culture and knowledge that's often difficult to discover.

Marks, notations and other marginalia present in the original volume will appear in this file - a reminder of this book's long journey from the publisher to a library and finally to you.

Usage guidelines

Google is proud to partner with libraries to digitize public domain materials and make them widely accessible. Public domain books belong to the public and we are merely their custodians. Nevertheless, this work is expensive, so in order to keep providing this resource, we have taken steps to prevent abuse by commercial parties, including placing technical restrictions on automated querying.

We also ask that you:

+ *Make non-commercial use of the files* We designed Google Book Search for use by individuals, and we request that you use these files for personal, non-commercial purposes.

+ *Refrain from automated querying* Do not send automated queries of any sort to Google's system: If you are conducting research on machine translation, optical character recognition or other areas where access to a large amount of text is helpful, please contact us. We encourage the use of public domain materials for these purposes and may be able to help.

+ *Maintain attribution* The Google "watermark" you see on each file is essential for informing people about this project and helping them find additional materials through Google Book Search. Please do not remove it.

+ *Keep it legal* Whatever your use, remember that you are responsible for ensuring that what you are doing is legal. Do not assume that just because we believe a book is in the public domain for users in the United States, that the work is also in the public domain for users in other countries. Whether a book is still in copyright varies from country to country, and we can't offer guidance on whether any specific use of any specific book is allowed. Please do not assume that a book's appearance in Google Book Search means it can be used in any manner anywhere in the world. Copyright infringement liability can be quite severe.

About Google Book Search

Google's mission is to organize the world's information and to make it universally accessible and useful. Google Book Search helps readers discover the world's books while helping authors and publishers reach new audiences. You can search through the full text of this book on the web at `http://books.google.com/`

20169

POETARVM GRAECORVM FRAGMENTA

AVCTORE
VDALRICO DE WILAMOWITZ-MOELLENDORFF
COLLECTA ET EDITA

VOLVMINIS III FASCICVLVS PRIOR

POETARVM PHILOSOPHORVM FRAGMENTA

EDIDIT

HERMANNVS DIELS

BEROLINI
APVD WEIDMANNOS
MCMI

THE NEW YORK
PUBLIC LIBRARY
251695
ASTOR, LENOX AND
TILDEN FOUNDATIONS
R [illegible] L

NEW YORK
PUBLIC
LIBRARY

POETARVM GRAECORVM FRAGMENTA

AVCTORE VDALRICO DE WILAMOWITZ-MOELLENDORFF
COLLECTA ET EDITA

VOLVMINIS III FASCICVLVS PRIOR

POETARVM PHILOSOPHORVM FRAGMENTA

BEROLINI
APVD WEIDMANNOS
MCMI

POETARVM PHILOSOPHORVM FRAGMENTA

EDIDIT

HERMANNVS DIELS

BEROLINI
APVD WEIDMANNOS
MCMI

THE NEW YORK
PUBLIC LIBRARY
.01695
ASTOR, LENOX AND
TILDEN FOUNDATIONS.
R 1952 L



PRAEFATIO

Plagulis correctis indicibusque non sine taedio confectis dum respiro et laetiore animo quid praefandum sit meditor, ecce nuntius longe tristissimus affertur, GEORGIUM KAIBELIUM nobis litterisque acerba morte ereptum esse, qui non solum studiorum societate inde a beatissimo contubernio Bonnensi mihi erat coniunctissimus, sed in hoc quoque communi amicorum opere velut auspex et signifer, cuius auctoritatem me sequi et decebat et iuvabat. nam singularis graecae artis cognitio, quae in illo fuit, in nullo genere litterarum magis enituit quam in Comicis, unde splendidum ante biennium factum est huius Corporis initium. iam adulescentem prima tirocinia in Aristophane ponere memini eundemque audio supremam fuisse moribundi curam ac querelam. inter hos vitae laboriosae et fructuosae terminos omnem graecitatem peragravit et undique messem uberrimam rettulit; at nusquam libentius et intentius versabatur quam in atticae comoediae reliquiis. Dorienses enim, quos edidit, propter illos opinor tetigerat. quodsi verum est (quod ego nunc libere profiteor, ubi non iam invidiosum videtur laudare amicum) cum primi illius voluminis perfectione vix unam alteramve aequalium editionem recte posse comparari, quid praestaturum eum fuisse credimus, si fatum concessisset, ut illam atticam comoediam nobis ex fragmentis instauraret, in qua totus habitabat et spirabat! aut nemo mortalium aut, si quisquam, ille et natus erat et paratus ad Menandri et aequalium umbras ex inferis citandas et in vitae lucem revocandas. adeo in intimam eorum consuetudinem indefesso labore atque fortasse magis etiam sensus quadam cognatione se insinuaverat. nam tota eius indoles ad atticum istum saporem facta erat. et scriptura eius elegantia apicum prae ceteris nitebat, ut suavissima hermocinatio mirum quantum amicos tenebat, priusquam morbi ingrescentis tormentis animi serenitas obscurari coepta est, ita tota eius in versus graecos et explicandi et pangendi (quae crebra fuit valenti relaxatio sicut emorienti ultima consolatio) Praxiteleo quodam perfusa erat nitore.

huius igitur tanti viri vestigiis, quoad eius licebat, insistere hoc volumen

condenti mihi iucundum fuit ac paene necessarium. splendidam quidem ingenii felicitatem, qua ille in Comicis emendandis saepe usus est, nemo sanus imitando se assequi posse opinabitur. at rationis severitatem quam ad testes colligendos ordinandos examinandos adhibuit et quam ipse primam libri sui virtutem merito praedicavit, hanc vero par est sequi eum qui optet, ut opus faustissimis auspiciis inauguratum non deteriore tela continuetur ac pertexatur. in hoc igitur editoris primario munere ad amici exemplar me libenter accomodavi (volui certe) nec minus in minutis istis rebus, ubi principia sive probanda sunt sive non probanda non deseret, nisi qui suam sibi gloriolam aucupari malit.

fuit tamen, ubi a spectato exemplo ipsa novi operis proprietate revocarer invitus. velut coeperam eius more fragmenta instruere critica adnotatione et exegetica (nam ne hanc quidem partem neglexerat ille) fragmentisque vitae artisque testimonia praefigere. sic poetas usque ad Empedoclem paene permensus eram, cum vidi, nisi difficillimos illos poetas aut inexplicatos in gravissimo quoque loco relinquere aut nimia interpretatione quasi obruere vellem, doctrinam mihi ipsam philosophorum adscribendam esse. namque etsi poetas edere, non philosophos, huius Corporis instituto iubeor, tamen sine philosophiae luce caeca fore haec carmina intellexi. itaque selecta doxographorum capita vitis singulis adnexui; quo facto quantum aequabilitati detrahetur. tantum perspicuitati additum iri spero.

praeterea testium abundantia, quae tam difficilem quam molestam reddidit huius voluminis recensionem, coactus sum lemmata a notis seiungere interpositis ipsis versibus. nec tamen hoc grave discrimen rationis. paulo gravior videatur ordinis mutatio. Kaibelius enim sic instituerat, ut ad incertae sedis fragmenta ordinanda auctorum series secundum litteras disposita valeret. quam rationem in universum vehementer probo; et ab alibi Heracliti dicta ad hanc normam disposui, ita hic Timonis sillo nam quam olim mihi Wachsmuthius, quem honoris causa nomino, probaverat formam libri, hanc ubi accuratius examinavi, fulcris parum stabilibus niti intellexi. ergo ne in eundem ipse errorem laberer, libenter Kaibelii rationi me applicavi. ceterum ne in inertiae pulvino, quam nesciendi artem vulgo dicunt, acquievisse viderer, argumentorum tabulam ac discriptionem, qualem ipse concepi animo, fragmentis praemisi.

at longe alia condicio ipsorum philosophorum. hic enim periclitandum erat fragmentorum non fortuita collocatio. nimirum aut tantum servatum erat velut in Parmenideis, ut consilium poetae suapte sponte patere aut tam pauca inter varia genera distributa velut Xenophanis, ut haud facile posses deerrare itinere, aut sententiarum conexus ipso doctrina

contextu tam clare praescriptus videbatur, ut dispositionis filum satis certo per pleraque ac gravissima fragmina persequi liceret. talis est condicio Empedocleorum, quae ad lucem amplissimae doxographorum memoriae egregie explanantur ac disponuntur.

de delectu nostro poetarum hoc breviter monendum est. recepimus Eleatas et Empedoclem tamquam medullam huius poeseos. cui Thaletis et Cleostrati Astrologias praemisimus, quia ex his studiis ionica philosophia orta est, quamvis Thaletis ipsa auctoritas dubia sit. cetera illius saeculi carmina velut Hesiodea et Orphica aliis huius Corporis partibus reservantur. sophistarum poetica non minus procul habui quam Socratis, si dis placet, Platonis Aristotelis Diogenis pericula poetica, quae inter elegiacos lyricos tragicos distribuenda erunt ut Cleanthis hymnus atque cetera eiusmodi. Scythinum tamen et Menecratem recepi quia ad Heracliti philosophiam pertinent ut Silli Timonis ad Xenophanis. omnino facetissimi eius versus tantum conferunt ad philosophos recte describendos et diiudicandos, ut non iniuria in hoc orbe numerentur. Timo autem et Cratetem paulo superiorem secum traxit et Demetrium paulo inferiorem, quem quidem primus hoc loco collocavi.

unum restat, quod egeat sive explicatione sive excusatione, dialectus. si vulgarem modum probarem, quem etiam Kaibelium caute sane secutum video, philosophorum sermonem, qui elegiaco vel epico versu utuntur, ad Iadis epicae normam recensuissem. sic quicunque ante me philosophorum poesin collegerunt inde ab Henrico Stephano Galliae decore atque ad eum hominem, qui Germanum nomen apud exteros infami sua fragmentorum sylloge dehonestavit, omnes Homericum colorem sine ulla dubitatione fragmentis obduxerunt. quorum exemplum ego sequi nolui. in Homeri carmina grammaticorum Alexandrinorum manus passa sunt varias priorum editiones comparantium et exaequantium. in quibus videa multo maiorem dialecti diversitatem fuisse ex variis lectionibus exemplorum velut Platonici et Zenodotei elucet. qui igitur deficientibus eorumque fragmentorum ipsis testibus ad hanc normam dialectum retuere atque omnia de eadem fidelia colorare studeat, ei verendum est, ne simul peculiaris sermonis, praecipue Italici et Siciliensis, tenera vestigia oblitteret et obducat. cuius generis non nulla exempla in adnotatione dedi et omnino hanc rationem in Parmenide meo (Berolini 1897) p. 27 et in Musei Rhenani vol. LVI p. 35 sq. defendi. nimirum tituli eorum carminibus ac praecipue Solonis Bacchylidisque exemplis aliquis repertis de dialecti apud poetas constantia fortius quam antea dubitare didicimus. forsitan quae nunc arbitraria esse videntur, olim secus habere intellegatur. nunc equidem quidquam praeiudicati in hanc

controversiam afferre nolui. immo verum mihi impraesentiarum videtur fragmenta dispari potius et incompto quam fucato sermone prodere, praesertim cum testes inde a Platone et Aristotele harum rerum minime curiosos fuisse constet. itaque ut investigatores Homericae dialecti escendant necesse est usque ad ipsam, si modo fieri potest, poetarum officinam, editores autem citra Alexandrinorum aetatem necessario contineantur, ita philosophorum poetarum sermo varia testium fide ac consuetudine varie coloratus mordicus tenendus est, ut incorruptum fundamentum eis quaestionibus substruatur, quae de Eleatarum et Siculorum poesi iam paulo commodius et certius opinor poterunt institui.

quod munus subeuntibus etiam Indicem vocabulorum plenum destinavi in hac quoque re Kaibelii exemplar secutus, etsi in tanto maiore copia verborum mihi brevitati studendum erat. propterea particularum minutarum omnes sedes indicare supersedi. immo quae aliqua observatione digna viderentur exhibui, cetera vulgaria in schedis reliqui; unde solos numeros frequentiae apposui addita supra versuum unius cuiusque poetae summa, ut singulorum proportiones statim apparerent. quod non ideo feci, quia ex istis proportionibus secundum arcanam Neopythagoreorum doctrinam, quam illi stylometriam nuncupant, permultum disci crederem (neque illud inde extricari posse opinor, Empedoclis Physica an Lustralia priora sint), verum non iniucundum est scire, quantopere in singulis particulis adhibendis variet usus. sic γάρ particulam ab antiquioribus poetis, qui propiores sunt ionicae consuetudini, multo magis adamari observavi quam a posterioribus.

sed nolo in singula descendere, quae infinita sunt. vela contrahenda: portus adest. ergo nihil superest, quam ut Corporis gubernatori, qui huic quoque alteri cursui ipse interesse voluit adiutor peritissimus mo torque amicissimus, debitas grates ex animi mei sententia solvam.

Berolini Id. Oct. MCMI.

HERMANNUS DIELS.

POETAE PHILOSOPHI

1. THALES MILESIUS

A. TESTIMONIA VITAE SCRIPTURAE DOCTRINAE

VITAE

1. LAERTIUS DIOGENES I 22—44.

Ἦν τοίνυν ὁ Θαλῆς, ὡς μὲν Ἡρόδοτος [I 170] καὶ Δοῦρις 22
fr. 52, FHG II 482] καὶ Δημόκριτός φασι, πατρὸς μὲν Ἐξαμύου, μητρὸς δὲ Κλεοβουλίνης, ἐκ τῶν Θηλιδῶν, οἳ εἰσι Φοίνικες, εὐγενέστατοι τῶν ἀπὸ Κάδμου καὶ Ἀγήνορος (* * * καθὰ καὶ Πλάτων [Protag. 343 A] φησί· καὶ πρῶτος σοφὸς ὠνομάσθη ἄρχοντος Ἀθήνησι Δαμασίου [582], καθ' ὃν καὶ οἱ ἑπτὰ σοφοὶ ἐκλήθησαν, ὥς φησι Δημήτριος ὁ Φαληρεὺς ἐν τῇ τῶν Ἀρχόντων ἀναγραφῇ [fr. 1, FHG II 362]). ἐπολιτογραφήθη δὲ ἐν Μιλήτῳ, ὅτε ἦλθε σὺν Νείλεωι ἐκπεσόντι Φοινίκης· ὡς δ' οἱ πλείους φασίν, ἰθαγενὴς Μιλήσιος ἦν καὶ γένους λαμπροῦ. μετὰ δὲ τὰ πολι- 23
τικὰ τῆς φυσικῆς ἐγένετο θεωρίας. καὶ κατά τινας μὲν σύγγραμμα κατέλιπεν οὐδέν· ἡ γὰρ εἰς αὐτὸν ἀναφερομένη Ναυτικὴ ἀστρολογία Φώκου λέγεται εἶναι τοῦ Σαμίου. Καλλίμαχος δ' αὐτὸν οἶδεν εὑρετὴν τῆς ἄρκτου τῆς μικρᾶς λέγων ἐν τοῖς Ἰάμβοις [fr. 94, II 259 Schneid.] οὕτως·

καὶ τῆς ἁμάξης ἐλέγετο σταθμήσασθαι
τοὺς ἀστερίσκους, ἧι πλέουσι Φοίνικες.

---

1 turbae huius § sunt compilatoris 2 ἐξαμύου BP: ἐξαμυούλου F ϑηλιδῶν BP: ϑηλυδῶν F: Νηλειδῶν Bywater conl. v. 9: Βηλιδῶν Meineke lacunam posui. schidulae a Laertio praeparatae, quam amanuensi inserendam tradidit, initium omissum. deest enim ἦν δὲ τῶν ἑπτὰ σοφῶν 6 epocha Damasiae Pythiorum instauratio est, quo sapientes convenisse fabulabantur cf. Ag. I 40. 99; Plut. Sol. 4 de E ap. Delph. 3 p. 385 E I 99. 8 intruso emblemate conexus laesus, agitur de Cadmo 9 νειλαίῳ P: νειλαίῳ B: νηλίῳ F

κατά τινας δὲ μόνα δύο συνέγραψε Περὶ τροπῆς καὶ Ἰσημερίας, τὰ ἄλλ' ἀκατάληπτα εἶναι δοκιμάσας. δοκεῖ δὲ κατά τινας πρῶτος ἀστρολογῆσαι καὶ ἡλιακὰς ἐκλείψεις καὶ τροπὰς προειπεῖν, ὥς φησιν Εὔδημος [fr. 94 Speng.] ἐν τῇι περὶ τῶν Ἀστρολογουμένων ἱστορίαι· ὅθεν αὐτὸν καὶ Ξενοφάνης [fr. 19] καὶ Ἡρόδοτος [I 74] θαυμάζει. μαρτυρεῖ δ' αὐτῶι καὶ Ἡράκλειτος [fr. 38] καὶ Δημόκριτος.

ἔνιοι δὲ καὶ αὐτὸν πρῶτον εἰπεῖν φασιν ἀθανάτους τὰς ψυχάς· ὧν ἐστι Χοιρίλος ὁ ποιητής [p. 182 Naeke]. πρῶτος δὲ καὶ τὴν ἀπὸ τροπῆς ἐπὶ τροπὴν πάροδον εὗρεν, καὶ πρῶτος τὸ τοῦ ἡλίου μέγεθος ⟨τοῦ ἡλιακοῦ κύκλου ὥσπερ καὶ τὸ τῆς σελήνης μέγεθος⟩ τοῦ σεληναίου ἑπτακοσιοστὸν καὶ εἰκοστὸν μέρος ἀπεφήνατο κατά τινας. πρῶτος δὲ καὶ τὴν ὑστάτην ἡμέραν τοῦ μηνὸς τριακάδα εἶπεν. πρῶτος δὲ καὶ περὶ φύσεως διελέχθη, ὥς τινες.

Ἀριστοτέλης [de anima A 2. 405ᵃ 19] δὲ καὶ Ἱππίας [fr. 10 FHG II 62] φασὶν αὐτὸν καὶ τοῖς ἀψύχοις μεταδιδόναι ψυχῆς, τεκμαιρόμενον ἐκ τῆς λίθου τῆς μαγνήτιδος καὶ τοῦ ἠλέκτρου. παρά τε Αἰγυπτίων γεωμετρεῖν μαθόντα φησὶ Παμφίλη [fr. 1, FHG III 520] πρῶτον καταγράψαι κύκλου τὸ τρίγωνον ὀρθογώνιον καὶ θῦσαι βοῦν. οἱ δὲ Πυθαγόραν φασίν, ὧν ἐστιν Ἀπολλόδωρος ὁ λογιστικός [cf. Diog. VIII 12]. (οὗτος προήγαγεν ἐπὶ πλεῖστον, ἃ φησι Καλλίμαχος ἐν τοῖς Ἰάμβοις [fr. 83 a. II 244 Schneid.] Εὔφορβον εὑρεῖν τὸν Φρύγα οἷον σκαληνὰ [καὶ] τρίγωνα καὶ ὅσα γραμμικῆς ἔχεται θεωρίας.) δοκεῖ δὲ καὶ ἐν τοῖς πολιτικοῖς ἄριστα βεβουλεῦσθαι. Κροίσου γοῦν πέμψαντος πρὸς Μιλησίους ἐπὶ συμμαχίαι ἐκώλυσεν· ὅπερ Κύρου κρατήσαντος ἔσωσε τὴν πόλιν. καὶ αὐτὸς δέ φησιν, ὡς Ἡρακλείδης [Ponticus fr. 47 Voss.] ἱστορεῖ, μονήρη αὐτὸν γεγονέναι καὶ ἰδιαστήν. ἔνιοι δὲ καὶ

---

1 *μόνα δύο* sic libri 2 *ἄλλα καταληπτὰ* libri 3 *προειπεῖν* male excerptum, melius Hesych. cf. schol. Plat. infra p. 12. 6 *αὐτὸ* P 11 lacunam fortasse Laertii operis tribuendam explevi Herm. XXIV 306; cf. Roeper *Z. f. d. Alterthumsw.* 1852, 443; nitor Apuleo (infra p. 16, 3); Cleomed. cycl. th. II p. 136, 28 Z.; Archim. aren. 1, 10 p. 248, 19. tradita intellegere studet Hultsch *Abh. z. Gesch. d. Math.* IX 194[2]. 13 *ὑστάτην* Scaliger (in exemplo Leidensi) *ὑστέραν* libri 16 *μεταδιδόναι* BP[1]: *διδόναι* FP[2] *ψυχῆς* Stephanus: *ψυχή* libri 20 ⟨*ὅτε*⟩ *καὶ* Bywater 21 *αὐτὸς* B *οὗτος—θεωρίας* (24) emblema olim ad Pythagoram pertinens ut Diod. X 6, 4 docet cf. Walth. Volkmann *Quaest. de Diog. L.* I (Bresl. 1890) p. 5 22 *πλεῖον* Emperius *ἃ* om. B 23 *καὶ* del. Meibom cf. Callim. 24 *γραμματικῆς* B 27 *καὶ αὐτὸς* libri: *Κλύτος* Menagius [FHG II 333 fr. 3], *Πάταικος* Voss.; ego dubito conl. Laert. VIII 4; accus. c. inf. posuisse videtur perspicui causa propter parenthesin

γῆμαι αὐτὸν καὶ Κύβισθον υἱὸν σχεῖν· οἱ δὲ ἄγαμον μεῖναι, τῆς δὲ ἀδελφῆς τὸν υἱὸν θέσθαι. ὅτε καὶ ἐρωτηθέντα διὰ τί οὐ τεκνοποιεῖ, διὰ φιλοτεκνίαν εἰπεῖν. καὶ λέγουσιν ὅτι τῆς μητρὸς ἀναγκαζούσης αὐτὸν γῆμαι ἔλεγεν ‘οὐδέπω καιρός’, εἶτα ἐπειδὴ παρήβησεν ἐγκειμένης εἰπεῖν ‘οὐκέτι καιρός’. φησὶν δὲ καὶ Ἱερώνυμος ὁ Ῥόδιος ἐν τῷι δευτέρωι Τῶν σποράδην ὑπομνημάτων [fr. 8 Hiller], ὅτι βουλόμενος δεῖξαι ῥάιδιον εἶναι πλουτεῖν, φορᾶς ἐλαιῶν μελλούσης ἔσεσθαι, προνοήσας ἐμισθώσατο τὰ ἐλαιουργεῖα καὶ πάμπλειστα συνεῖλε χρήματα.

ἀρχὴν δὲ τῶν πάντων ὕδωρ ὑπεστήσατο, καὶ τὸν κόσμον ἔμ- 27
ψυχον καὶ δαιμόνων πλήρη. τάς τε ὥρας τοῦ ἐνιαυτοῦ φασιν αὐτὸν εὑρεῖν καὶ εἰς τριακοσίας ἑξήκοντα πέντε ἡμέρας διελεῖν.

οὐδεὶς δὲ αὐτοῦ καθηγήσατο, πλὴν ὅτι εἰς Αἴγυπτον ἐλθὼν τοῖς ἱερεῦσι συνδιέτριψεν. ὁ δὲ Ἱερώνυμος [fr. 21 Hiller] καὶ ἐκμετρῆσαί φησιν αὐτὸν τὰς πυραμίδας, ἐκ τῆς σκιᾶς παρατηρήσαντα ὅτε ἡμῖν ἰσομεγέθης ἐστίν. συνεβίω δὲ καὶ Θρασυβούλωι τῶι Μιλησίων τυράννωι, καθά φησι Μινύης [FHG II 335, 3]. τὰ δὲ περὶ τὸν τρίποδα φανερὰ τὸν εὑρεθέντα ὑπὸ τῶν ἁλιέων καὶ διαπεμφθέντα τοῖς σοφοῖς ὑπὸ τοῦ δήμου τῶν Μιλησίων. φασὶ γὰρ 28
Ἰωνικούς τινας νεανίσκους βόλον ἀγοράσαι παρὰ Μιλησίων ἁλιέων. ἀνασπασθέντος δὲ τοῦ τρίποδος ἀμφισβήτησις ἦν, ἕως οἱ Μιλήσιοι ἔπεμψαν εἰς Δελφούς· καὶ ὁ θεὸς ἔχρησεν οὕτως·

ἔκγονε Μιλήτου, τρίποδος πέρι Φοῖβον ἐρωτᾶις,
τίς σοφίαι πάντων πρῶτος, τούτου τρίποδ’ αὐδῶ.

διδοῦσιν οὖν Θαλῆι· ὁ δὲ ἄλλωι καὶ ἄλλος ἄλλωι ἕως Σόλωνος. ὁ δὲ ἔφη σοφίαι πρῶτον εἶναι τὸν θεὸν καὶ ἀπέστειλεν εἰς Δελφούς. ταῦτα δὴ ὁ Καλλίμαχος ἐν τοῖς Ἰάμβοις ἄλλως ἱστορεῖ, παρὰ Λεανδρίου [fr. 3, FHG II 335] λαβὼν τοῦ Μιλησίου. Βαθυκλέα γάρ τινα Ἀρκάδα φιάλην καταλιπεῖν καὶ ἐπισκῆψαι ‘δοῦναι τῶν σοφῶν ὀνησίστωι’ [om. Schneid., cf. fr. 95, II 260]. ἐδόθη δὴ Θαλῆι καὶ

---

1 *Κύβισθον* Plut. Sol. 7: *κίβισθον* BP²; *κίδισθον* P¹: *κίβισσον* F *σχεῖν* Scaliger: *ἔχειν* libri 5 *καὶ* post *ἱερώνυμος* BP: om. F: corr. Cobet 7 *ῥάιδιον* Aristoteles (infra p. 14 n. 10, unde Hieronymus): *ῥᾶον* libri *ἐλαιῶν* F: om. BP 9 *συνεῖλε* libri: *συνέλεξε* ex Arist. Cobet; *συνεῖρε* Emperius 13 *δὲ* F (P?): *τε* BP² *ὅτι* F: *ὅτ’* PB 15 *αὐτόν φησι* F 16 *ἰσομεγέθεις εἰσί* libri: corr. Menagius cf. A 21 (p. 16) *συνεβίου* B 17 *μινύης* ? F¹ 24 *ὅς* Val. Max. et schol. Aristoph. *σοφία* BP: *σοφίη* F *πάντων* om. F 25 *διδοῦσιν* BP, mrg. F: *δηλοῦσιν* F 27 *δὴ ὁ* BP: *δὲ* F *ἰαμβίοις* F 28 *λεανδρίου* PF (cf. p. 10, 16): *δὲ ἀνδρίου* B, verum est *Μαιανδρίου* 29 *τῶν* libri: *τῶι* Cobet 30 *ὀνησίστω* B (? P): *τῷ πρωτίστω* P² F cf. Phoenix ap. Ath. XI 495 D *δὴ*] *δὲ* F²

κατὰ περίοδον πάλιν Θαλῆι· ὁ δὲ τῶι Διδυμεῖ Ἀπόλλωνι ἀπέ- 29
στειλεν εἰπὼν οὕτω κατὰ τὸν Καλλίμαχον [fr. 95, II 260 Schn.]·

Θαλῆς με τῶι μεδεῦντι Νείλεω δήμου
δίδωσι, τοῦτο δὶς λαβὼν ἀριστεῖον.

τὸ δὲ πεζὸν οὕτως ἔχει· Θαλῆς Ἐξαμύου Μιλήσιος Ἀπόλλωνι Δελφινίωι Ἑλλήνων ἀριστεῖον δὶς λαβών. ὁ δὲ περιενεγκὼν τὴν φιάλην τοῦ Βαθυκλέους παῖς Θυρίων ἐκαλεῖτο, καθά φησιν Ἔλευσις ἐν τῶι Περὶ Ἀχιλλέως [FHG II 336, 3] καὶ Ἀλέξων ὁ Μύνδιος ἐν ἑνάτωι Μυθικῶν.

Εὔδοξος δ' ὁ Κνίδιος καὶ Εὐάνθης ὁ Μιλήσιός [FHG III 2*] φασι τῶν Κροίσου τινὰ φίλων λαβεῖν παρὰ τοῦ βασιλέως ποτήριον χρυσοῦν, ὅπως δῶι τῶι σοφωτάτωι τῶν Ἑλλήνων· τὸν δὲ δοῦναι Θαλῆι, καὶ περιελθεῖν εἰς Χίλωνα. ὃν πυνθάνεσθαι τοῦ Πυθίου 30
τίς αὐτοῦ σοφώτερος· καὶ τὸν ἀνειπεῖν Μύσωνα, περὶ οὗ λέξομεν.
(τοῦτον οἱ περὶ τὸν Εὔδοξον ἀντὶ Κλεοβούλου τιθέασι, Πλάτων δ' ἀντὶ Περιάνδρου.) περὶ αὐτοῦ δὴ τάδε ἀνεῖπεν ὁ Πύθιος·

Οἰταῖόν τινά φημι Μύσων' ἐνὶ Χηνὶ γενέσθαι
σοῦ μᾶλλον πραπίδεσσιν ἀρηρότα πευκαλίμηισιν.

ὁ δὲ ἐρωτήσας ἦν Ἀνάχαρσις. Δαΐμαχος δ' ὁ Πλατωνικὸς [fr. 6, FHG II 442] καὶ Κλέαρχος [fr. 44c, FHG II 317] φιάλην ἀποσταλῆναι ὑπὸ Κροίσου Πιττακῶι καὶ οὕτω περιενεχθῆναι.

Ἄνδρων δ' ἐν τῶι Τριποδι [fr. 1, FHG II 347] Ἀργείους ἆθλον ἀρετῆς τῶι σοφωτάτωι τῶν Ἑλλήνων τρίποδα θεῖναι· κριθῆναι δὲ Ἀριστόδημον Σπαρτιάτην, ὃν παραχωρῆσαι Χίλωνι. μέμνηται 31
τοῦ Ἀριστοδήμου καὶ Ἀλκαῖος [fr. 49 Bergk] οὕτως·

ὡς γὰρ δή ποτ' Ἀριστόδαμόν φασ' οὐκ ἀπάλαμνον ἐν Σπάρ-
[ται λόγον
εἰπεῖν· χρήματ' ἀνήρ, πενιχρὸς δ' οὐδεὶς πέλετ' ἐσλός .

ἔνιοι δέ φασιν ὑπὸ Περιάνδρου Θρασυβούλωι τῶι Μιλησίων τυ-
ράννωι πλοῖον ἔμφορτον ἀποσταλῆναι· τοῦ δὲ περὶ τὴν Κώιαν θάλασσαν ναυαγήσαντος, ὕστερον εὑρεθῆναι πρός τινων ἁλιέων τὸν

---

1 *Διδυμεῖ* scripsi cf. p. 7, 14: *διδυμι* B: *διδυμαίωι* PF 5 *ἐξαμύου* sic libri 6 *Διδυμαίῳ* Menagius *περι• αγαγὼν* F 7 *παιδὸς* F 8 *ἀλέξων* BF mrg. P¹ (i. e. *Ἀλέξανδρος*): *λαέξων* P (ante ras.) 13 *Χίλωνα* sic libri 14 *αὐτοῦ* libri 15 *τοῦτον — Περιάνδρου* del. Menagius cf. § 41 *τόν* om. F 16 *ἀνεῖλεν* Casaubonus (ex Plut. Sol. 4, Schol. Arist. Plut. 9) 19 *Δαΐμαχος* Casaubonus: *δαίδαχος* BP: *δαίδαλος* an *δαίδαχος* incertum F *Πλατωνικός*] probabiliter *Πλαταϊκός* Casaubonus 26 *φασ'* scripsi: *φαισ'* Schneidewin: *φασὶν* BF: *ὅν* (sed exp. P¹) *φασὶν* P 28 *εἶπην* Schneidewin *οὐδὲ τίμιος* add. Schol. Pind. Isthm. II 17

τρίποδα. Φανόδικος [fr. 4, FHG IV 473] δὲ περὶ τὴν Ἀθηναίων θάλασσαν εὑρεθῆναι καὶ ἀνενεχθέντα εἰς ἄστυ γενομένης ἐκκλησίας Βίαντι πεμφθῆναι· διὰ τί δέ, ἐν τῷι περὶ Βίαντος λέξομεν. 32

ἄλλοι φασὶν ἡφαιστότευκτον εἶναι αὐτὸν καὶ δοθῆναι πρὸς τοῦ θεοῦ Πέλοπι γαμοῦντι· αὖθίς τε εἰς Μενέλαον ἐλθεῖν καὶ σὺν τῆι Ἑλένηι ἁρπασθέντα ὑπὸ Ἀλεξάνδρου ῥιφῆναι εἰς τὴν Κώιαν θάλασσαν πρὸς τῆς Λακαίνης, εἰπούσης ὅτι περιμάχητος ἔσται. χρόνωι δὲ Λεβεδίων τινῶν αὐτόθι γρῖφον ὠνησαμένων καταληφθῆναι καὶ τὸν τρίποδα, μαχομένων δὲ πρὸς τοὺς ἁλιέας, γενέσθαι τὴν ἀνοδον ἕως τῆς Κῶ· καὶ ὡς οὐδὲν ἦντον, τοῖς Μιλησίοις μητροπόλει οὔσηι μηνύουσιν. οἱ δ' ἐπειδὴ διαπρεσβευόμενοι ἠλογοῦντο, πρὸς τοὺς Κώιους πολεμοῦσι. καὶ πολλῶν ἑκατέρωθεν πιπτόντων ἐκπίπτει χρησμὸς δοῦναι τῶι σοφωτάτωι· καὶ ἀμφότεροι συνήινεσαν Θαλῆι. ὁ δὲ μετὰ τὴν περιοδον τῶι Λιδυμεῖ τίθησιν 33
Ἀπόλλωνι. Κώιοις μὲν οὖν τοῦτον ἐχρήσθη τὸν τρόπον·

οὐ πρότερον λήξει νεῖκος Μερόπων καὶ Ἰώνων,
πρὶν τρίποδα χρύσειον, ὃν Ἥφαιστος βάλε πόντωι,
ἐκ πόλιος πέμψητε καὶ ἐς δόμον ἀνδρὸς ἵκηται,
ὃς σοφίαι τά τ' ἐόντα τά τ' ἐσσόμενα πρό τ' ἐόντα.

Μιλησίοις δέ·

ἔγγονε Μιλήτου, τρίποδος πέρι Φοίβον ἐρωτᾶις;
καὶ ὡς προείρηται. καὶ τόδε μὲν οὕτως.

Ἕρμιππος δ' ἐν τοῖς Βίοις [fr. 12, FHG III 39] εἰς τοῦτον ἀναφέρει τὸ λεγόμενον ὑπό τινων περὶ Σωκράτους. ἔφασκε γάρ, φησί, τριῶν τούτων ἕνεκα χάριν ἔχειν τῆι τύχηι· πρῶτον μὲν ὅτι ἄνθρωπος ἐγενόμην καὶ οὐ θηρίον, εἶτα ὅτι ἀνὴρ καὶ οὐ γυνή, τρίτον ὅτι Ἕλλην καὶ οὐ βάρβαρος. λέγεται δ' ἀγόμενος ὑπὸ 34
γραὸς ἐκ τῆς οἰκίας, ἵνα τὰ ἄστρα κατανοήσηι, εἰς βόθρον ἐμπεσεῖν καὶ αὐτῶι ἀνοιμώξαντι φάναι τὴν γραῦν· 'σὺ γάρ, ὦ Θαλῆ, τὰ ἐν ποσὶν οὐ δυνάμενος ἰδεῖν τὰ ἐπὶ τοῦ οὐρανοῦ οἴει γνώσεσθαι'; οἵδε δ' αὐτὸν ἀστρονομούμενον καὶ Τίμων, καὶ ἐν τοῖς Σίλλοις [fr. 6 W.] ἐπαινεῖ αὐτὸν λέγων·

οἷόν θ' ἑπτὰ Θάλητα σοφῶν σοφὸν ἀστρονόμημα.

---

8 γρίφον P (a. r.): γρεῖφον B: γρύπων F 9 δὲ F: δὴ BP 11 οὖση sic BF: οὔσι P 14 Θαλῆ PF¹ corr.: Θαλὴν B: Θαλῆν F¹ Λιδυμεῖ BP¹: Διδυμαίωι F: Δινδυμαίωι P² τίθησιν BP: ἀνατίθησιν F 16 οὐ BF: μὴ P λήξει (superscr. ν) P 18 σοφία B (F¹?) Diodorus IX 3: δεδάηκε P¹ a. r.: δεδάηκε P²; fuit σοφὸς ἦι πρό τ' ἐόντα libri: προδέδορκεν Diodorus 20 ἐρωτᾶς om. R 21 καὶ ante ὡς del. falso Froben 23 ἐπὶ B 31 οἷον θ' ἑπτὰ BP¹: οἷον ἔπειτα FP²

τὰ δὲ γεγραμμένα ὑπ᾽ αὐτοῦ φησι Λόβων ὁ Ἀργεῖος [FHG III 27**] εἰς ἔπη τείνειν διακόσια. ἐπιγεγράφθαι δ᾽ αὐτοῦ ἐπὶ τῆς εἰκόνος τόδε·

τόνδε Θαλῆν Μίλητος Ἰὰς θρέψασ᾽ ἀνέδειξεν
ἀστρολόγων πάντων πρεσβύτατον σοφίαι.

τῶν τε ἀιδομένων αὐτοῦ τάδε εἶναι· 35

οὔ τι τὰ πολλὰ ἔπη φρονίμην ἀπεφήνατο δόξαν·
ἓν τι μάτευε σοφόν,
ἓν τι κεδνὸν αἱροῦ·
λύσεις γὰρ ἀνδρῶν κωτίλων γλώσσας ἀπεραντολόγους.

φέρεται δὲ καὶ ἀποφθέγματα αὐτοῦ τάδε· πρεσβύτατον τῶν ὄντων θεός· ἀγένητον γάρ. κάλλιστον κόσμος· ποίημα γὰρ θεοῦ. μέγιστον τόπος· ἅπαντα γὰρ χωρεῖ. τάχιστον νοῦς· διὰ παντὸς γὰρ τρέχει. ἰσχυρότατον ἀνάγκη· κρατεῖ γὰρ πάντων. σοφώτατον χρόνος· ἀνευρίσκει γὰρ πάντα. οὐδὲν ἔφη τὸν θάνατον διαφέρειν τοῦ ζῆν. ‘σὺ οὖν’ ἔφη τις ‘διὰ τί οὐκ ἀποθνήισκεις’; ‘ὅτι’, ἔφη, ‘οὐδὲν διαφέρει’. πρὸς τὸν πυθόμενον τί πρότερον 36
γεγόνοι, νὺξ ἢ ἡμέρα, ‘ἡ νύξ’ ἔφη ‘μιᾶι ἡμέραι πρότερον’. ἠρώτησέ τις αὐτόν, εἰ λήθοι θεοὺς ἄνθρωπος ἀδικῶν· ‘ἀλλ᾽ οὐδὲ διανοούμενος’ ἔφη. πρὸς τὸν μοιχὸν ἐρόμενον, εἰ ὀμόσειε μὴ μεμοιχευκέναι, ‘οὐ χεῖρον’ ἔφη ‘μοιχείας ἐπιορκία.’ ἐρωτηθεὶς τί δύσκολον, ἔφη ‘τὸ ἑαυτὸν γνῶναι’· τί δὲ εὔκολον, ‘τὸ ἄλλωι ὑποθέσθαι’· τί ἥδιστον, ‘τὸ ἐπιτυγχάνειν’· τί τὸ θεῖον, ‘τὸ μήτε ἀρχὴν ἔχον μήτε τελευτήν’· τί δύσκολον εἴη τεθεαμένος, ἔφη· ‘γέροντα τύραννον’. πῶς ἄν τις ἀτυχίαν ῥᾷστα φέροι, ‘εἰ τοὺς ἐχθροὺς χεῖρον πράσσοντας βλέποι’· πῶς ἂν ἄριστα καὶ δικαιότατα βιώσαιμεν, ‘ἐάν ἃ τοῖς ἄλλοις ἐπιτιμῶμεν, αὐτοὶ μὴ ὀρῶμεν’· τίς εὐδαι- 37
μων, ‘ὁ τὸ μὲν σῶμα ὑγιής, τὴν δὲ ψυχὴν εὔπορος, τὴν δὲ φύσιν εὐπαίδευτος’. φίλων παρόντων καὶ ἀπόντων μεμνῆσθαί φησι· μὴ τὴν ὄψιν καλλωπίζεσθαι, ἀλλὰ τοῖς ἐπιτηδεύμασιν εἶναι καλόν. ‘μὴ πλούτει’ φησί ‘κακῶς μηδὲ διαβαλλέτω σε λόγος πρὸς τοὺς

2 αὐτῶι Bywater conl. §§ 79 et 96, at cf. § 39 5 ἀστρολόγων Reiske: ἀστρολόγον libri σοφία BP: σοφίη F 6 αὐτόν B 8 ἓν τι P: ἔντι, corr. ex ἐόντει? F: εοντι B 10 βύσεις Cobet ex Ambrosii obstrues: potius δήσεις 12 ἀγένητον B: ἀγέννητον PF 13 τόπος in ras. F¹ 18 γεγόνοι B: γεγόνει PF ἡ νύξ] aliter Plut. Alex. 64 cf. Clem. Al. Strom. VI, 731 Pott. 19 Pittaci Theo II 97, 30 Sp. λήθοι BF: λάθοι F 20 ὀμόσειε Cobet: ὀμόσει libri 21 χείρων F 22 ὑποτίθεσθαι P 23 τὸ (ante ἐπιτυγχάνειν) F: om. BP 24 δύσκολον faleo iteratum ex v. 14: παραδοξότατον Plutarchus VII sap. conv. 2: καινότατον idem de genio Socr. 6, unde τί δὲ καινὸν coni. Menagius 28 ψυχὴν BP¹: τύχην F φύσιν BP¹: ψυχὴν F

πίστεως κεκοινωνηκότας'. 'οὓς ἂν ἐράνους εἰσενέγκῃς' φησί 'τοῖς γονεῦσιν, τοὺς αὐτοὺς προσδέχου καὶ παρὰ τῶν τέκνων. τὸν Νεῖλον εἶπε πληθύειν ἀνακοπτομένων τῶν ῥευμάτων ὑπὸ τῶν ἐτησίων ἐναντίων ὄντων.

φησὶ δ' Ἀπολλόδωρος ἐν τοῖς Χρονικοῖς [fr. 76, FHG I 445] γεγενῆσθαι αὐτὸν κατὰ τὸ πρῶτον ἔτος τῆς τριακοστῆς πέμπτης ὀλυμπιάδος [640]. ἐτελεύτησε δ' ἐτῶν ἑβδομήκοντα ὀκτώ (ἢ ,ὡς 38 Σωσικράτης [fr. 10, FHG IV 501] φησίν, ἐνενήκοντα)· τελευτῆσαι γὰρ ἐπὶ τῆς πεντηκοστῆς ὀγδόης ὀλυμπιάδος [548—5], γεγονότα κατὰ Κροῖσον, ὧι καὶ τὸν Ἅλυν ὑποσχέσθαι ἄνευ γεφύρας περᾶσαι, τὸ ῥεῖθρον παρατρέψαντα.

γεγόνασι δὲ καὶ ἄλλοι Θαλαῖ, καθά φησι Δημήτριος ὁ Μάγνης ἐν τοῖς Ὁμωνύμοις, πέντε· ῥήτωρ Καλλατιανὸς κακόζηλος· ζωγράφος Σικυώνιος μεγαλοφυής· τρίτος ἀρχαῖος πάνυ κατὰ Ἡσίοδον καὶ Ὅμηρον καὶ Λυκοῦργον· (τέταρτος οὗ μέμνηται Δοῦρις ἐν τῶι Περὶ ζωγραφίας [fr. 77, FHG II 487]· πέμπτος νεώτερος, ἄδοξος, οὗ μνημονεύει Διονύσιος ἐν Κριτικοῖς).

ὁ δ' οὖν σοφὸς ἐτελεύτησεν ἀγῶνα θεώμενος γυμνικὸν ὑπό 39 τε καύματος καὶ δίψους καὶ ἀσθενείας, ἤδη γηραιός. καὶ αὐτῦο ἐπιγέγραπται τῶι μνήματι [Anth. Pal. VII 84]·

ἦ ὀλίγον τόδε σᾶμα (τὸ δὲ κλέος οὐρανόμακες)
τῶ πολυφροντίστω τοῦτο Θάλητος ὄρη.

ἔστι καὶ παρ' ἡμῖν ἐς αὐτὸν ἐν τῶι πρώτωι τῶν Ἐπιγραμμάτων ἢ Παμμέτρωι· τόδε τὸ ἐπίγραμμα [Anth. Pal. VII 85]·

γυμνικὸν αὖ ποτ' ἀγῶνα θεώμενον, ἡέλιε Ζεῦ,
τὸν σοφὸν ἄνδρα Θαλῆν ἥρπασας ἐκ σταδίου.
αἰνέω ὅττι μιν ἐγγὺς ἀπήγαγες· ἦ γὰρ ὁ πρέσβυς
οὐκέθ' ὁρᾶν ἀπὸ γῆς ἀστέρας ἠδύνατο.

τούτου ἐστὶν τὸ Γνῶθι σαυτόν, ὅπερ Ἀντισθένης ἐν ταῖς 40 Διαδοχαῖς [FHG III 182*] Φημονόης εἶναί φησιν, ἐξιδιοποιήσασθαι δὲ αὐτὸ Χίλωνα.

---

3 πληθύειν sic BPF 6 γεγενῆσθαι BP: γεγονέναι F πέμπτης] ϵης F: ϵ restituebam Apollodoro Mus. Rh. 31, 16 7 ἐτελεύτησεν omisso δ' B 13 καλλατιανὸς Cobet: καλλαντιανὸς B: καλαντιανὸς P: καλαντινιανὸς F 15 quartus (= alter) et quintus (= primus) post Dem. additi 16 ζωγραφίας BP: ζωγράφων F 17 Κρητικοῖς Casaubonus 18 γοῦν F 19 γηραιὸς ὤν F 20 ἐπέγραψε F 21 ἦ ῥ' Anth. (Plan.) σᾶμα Anth.: σῆμα P¹F: σῶμα B οὐρανόμακες BP: οὐρανόμηκες F Anth. 22 τῶ P²: τῷ δὲ vel τῶδε BF¹P¹ ὄρη BP¹ Anth.: ὄρει FP² 23 ἡμῖν BP¹: ἡμῶν P²F. tum delendum esset παρ' ἐς BP: εἰς F 25 αὖ P, Anth.: ἀ B¹: eras. B² om. F¹ ἠέλιε (cf. καύματος 19)] Ἥλιε Casaubonus 26 σταδίου F Anth.: σταδίων BP 28 τῆς B¹ 31 ἑαυτῶ F

Περὶ δὴ τῶν ἑπτά (ἄξιον γὰρ ἐνταῦθα καθολικῶς κἀκείνων ἐπιμνησθῆναι) λόγοι φέρονται τοιοῦτοι. Δάμων ὁ Κυρηναῖος γεγραφὼς Περὶ τῶν φιλοσόφων [FHG IV 277] *πᾶσιν ἐγκαλεῖ, μάλιστα δὲ τοῖς ἑπτά. Ἀναξιμένης δέ φησι πάντας ἐπιθέσθαι ποιητικῇ· ὁ δὲ Δικαίαρχος* [fr. 28, FHG II 243 cf. Ineditum Vaticanum ed. de Arnim Herm. XXVII 120. 126] *οὔτε σοφοὺς οὔτε φιλοσόφους φησὶν αὐτοὺς γεγονέναι, συνετοὺς δέ τινας καὶ νομοθετικούς. Ἀρχέτιμος δὲ ὁ Συρακούσιος* [FHG IV 318] *ὁμιλίαν αὐτῶν ἀναγέγραφε παρὰ Κυψέλῳ, ἣν καὶ αὐτός φησι παρατυχεῖν· Ἔφορος* [fr. 101, FHG I 262] *δὲ παρὰ Κροίσῳ πλὴν Θαλοῦ. φασὶ δέ τινες καὶ ἐν Πανιωνίῳ καὶ ἐν Κορίνθῳ καὶ ἐν Δελφοῖς συνελθεῖν αὐτούς. διαφωνοῦνται δὲ καὶ αἱ ἀποφάσεις αὐτῶν καὶ ἄλλου ἄλλο* 41 *φασὶν εἶναι, ὡς ἐκεῖνο·*

ἦν Λακεδαιμόνιος Χίλων σοφός, ὃς τάδ' ἔλεξε·
μηδὲν ἄγαν· καιρῷ πάντα πρόσεστι καλά.

στασιάζεται δὲ καὶ περὶ τοῦ ἀριθμοῦ αὐτῶν. Δεάνδριος [fr. 4, FHG II 336] *μὲν γὰρ ἀντὶ Κλεοβούλου καὶ Μύσωνος Λεώφαντον Γοργιάδα Λεβέδιον ἢ Ἐφέσιον ἐγκρίνει καὶ Ἐπιμενίδην τὸν Κρῆτα· Πλάτων δὲ ἐν Πρωταγόραι* [p. 343 A] *Μύσωνα ἀντὶ Περιάνδρου· Ἔφορος* [fr. 101, FHG I 262] *δὲ ἀντὶ Μύσωνος Ἀνάχαρσιν· οἱ δὲ καὶ Πυθαγόραν προσγράφουσιν. Δικαίαρχος* [fr. 28, FHG II 244] *δὲ τέσσαρας ὡμολογημένους ἡμῖν παραδίδωσιν Θαλῆν, Βίαντα, Πιττακόν, Σόλωνα. ἄλλους δὲ ὀνομάζει ἕξ, ὧν ἐκλέξασθαι τρεῖς, Ἀριστόδημον, Πάμφυλον, Χίλωνα Λακεδαιμόνιον, Κλεόβουλον, Ἀνάχαρσιν, Περίανδρον. ἔνιοι προστιθέασιν Ἀκουσίλαον Κάβα ἢ Σκάβρα Ἀργεῖον. Ἕρμιππος δ' ἐν τῷι Περὶ τῶν σοφῶν* [fr. 8, 42 FHG III 37] *ἑπτακαίδεκά φησιν, ὧν τοὺς ἑπτὰ ἄλλους ἄλλως αἱρεῖσθαι· εἶναι δὲ Σόλωνα, Θαλῆν, Πιττακόν, Βίαντα, Χίλωνα, ⟨Μύσωνα⟩, Κλεόβουλον, Περίανδρον, Ἀνάχαρσιν, Ἀκουσίλαον, Ἐπιμενίδην, Λεώφαντον, Φερεκύδην, Ἀριστόδημον, Πυθαγόραν, Λᾶσον Χαρμαντίδου ἢ Σισυμβρίνου, ἢ ὡς Ἀριστόξενος, Χαβρίνου, Ἑρμιονέα, Ἀναξαγόραν. Ἱππόβοτος δὲ ἐν τῇι τῶν Φιλοσόφων ἀνα-*

---

3 *ὁ γεγραφὼς* Bywater 4 *ποιητικῇ· ὁ δὲ* Stephanus: *ποιητικῆς δὲ* BP¹: *ποιητικά ὁ δὲ* F 8 *δὲ* BF: *τε* P 9 *παρατυχεῖν* BP¹: *περιτυχεῖν* F *εὔφορος* PF 11 *αὐτοῖς* F¹ 12 *αἱ* B: om. PF *ἀποφάνσεις* F *αὐτῶν* om. B¹ *φασὶν εἶναι* P: *εἶναι φασὶν* F: *φασὶν* B¹ (fortasse recte) 16 *Δεάνδριος* cf. § 28 18 *Γοργιάδα* Reiske: *γορσιάδα* PB: *κορσίλλα* F, mrg. P²: *γρ. γοργασιάδα* F 21 *δὲ* superscr. F 22 *ὡμολογουμένους* F 24 *Πάμφιλον* Froben at cf. Roeperus in *Z. f. Altert.* 1852, 453; turbas non expedio 26 *σκάβα* F 27 *ἄλλος* B 29 *Μύσωνα* inseruit Casaubonus 31 *χαρμαντίδους* B

γραφῆι· Ὀρφέα, Λίνον, Σόλωνα, Περίανδρον, Ἀνάχαρσιν, Κλεόβουλον, Μύσωνα, Θαλῆν, Βίαντα, Πιττακόν, Ἐπίχαρμον, Πυθαγόραν.

φέρονται δὲ καὶ τοῦ Θαλοῦ ἐπιστολαὶ αἵδε·

Θαλῆς Φερεκύδει.

πυνθάνομαί σε πρῶτον Ἰώνων μέλλειν λόγους ἀμφὶ τῶν θείων 43
χρημάτων εἰς τοὺς Ἕλληνας φαίνειν. καὶ τάχα μὲν ἡ γνώμη τοι
δικαίη ἐς τὸ ξυνὸν καταθέσθαι γραφὴν ἢ ἐφ' ὁποιοισοῦν ἐπιτρέ-
πειν χρῆμα εἰς οὐδὲν ὄφελος. εἰ δή τοι ἥδιον, ἐθέλω γενέσθαι
λεσχηνωτὴς περὶ ὁτέων γράφεις· καὶ ἢν κελεύηις, παρὰ σὲ ἀφίξο-
μαι εἰς Σῦρον. ἦ γὰρ ἂν οὐ φρενήρεες εἴημεν ἐγώ τε καὶ Σόλων
ὁ Ἀθηναῖος, πλώσαντες μὲν ἐς Κρήτην κατὰ ⟨τὴν⟩ τῶν κεῖθι
ἱστορίην, πλώσαντες δὲ ἐς Αἴγυπτον ὁμιλήσοντες τοῖς ἐκείνηι ὅσοι
ἱερέες τε καὶ ἀστρονόμοι, παρὰ σὲ δὲ μὴ πλώσαιμεν. ἥξει γὰρ
καὶ ὁ Σόλων, ἢν ἐπιτρέπηις. σὺ μέντοι χωροφιλέων ὀλίγα φοι- 44
τέεις ἐς Ἰωνίην, οὐδέ σε ποθὴ ἴσχει ἀνδρῶν ξείνων· ἀλλ' ὡς ἔλ-
πομαι, ἑνὶ μούνωι χρήματι πρόσκεαι τῆι γραφῆι. ἡμεῖς δὲ οἱ μηδὲν
γράφοντες περιχωρέωμεν τήν τε Ἑλλάδα καὶ Ἀσίην.

Θαλῆς Σόλωνι.

ὑπαποστὰς ἐξ Ἀθηνέων δοκέεις ἄν μοι ἁρμοδιώτατα ἐν Μι-
λήτωι οἶκον ποιέεσθαι παρὰ τοῖς ἀποίκοις ὑμέων· καὶ γὰρ ἐνταῦθά
τοι δεινὸν οὐδέν. εἰ δὲ ἀσχαλήσεις ὅτι καὶ Μιλήσιοι τυραννευό-
μεθα — ἐχθαίρεις γὰρ πάντας αἰσυμνήτας — ἀλλὰ τέρποι' ἂν
σὺν τοῖς ἑταίροις ἡμῖν καταβιούς. ἐπέστειλε δὲ σοὶ καὶ Βίης ἥκειν
ἐς Πριήνην· σὺ δέ, εἰ προσηνέστερόν τοι τὸ Πριηνέων ἄστυ, κεῖθι
οἰκέειν, καὶ αὐτοὶ παρὰ σὲ οἰκήσομεν.

---

6 ἐς F ἑ••ηνας B¹ 7 ἢ P¹ (cf. Herod. IX 26): μᾶλλον ἢ B: καὶ μᾶλλον ἢ F¹P² 8 ῥῆμα Emperius, at cf. v. 16 fortasse ὡς οὐδὲν ὄφελος cf. Diog. IX 40 9 λεσχηνώτης libri: λεσχηνευτὴς Scaliger; illud retinui et in Anaximenis vita ter traditum neque analogia destitutum cf. Lobeckii Rhemat. p. 204 11 ante πλώσαντες add. εἰ Casaubonus ἐς PF: εἰς B τὴν τῶν Menagius: τῶν libri 12 ὁμιλήσοντες P et (ὁ superscripto et, ex corr.) B: ὁμιλήσαντες F ἐκεῖ Cobet 13 τε superscr. F ἀστρολόγοι F πλώσαιμεν PF: πλώσεμεν B: πλωσόμενοι Bywater: del. rectius Cobetus 14 ὁ om. F 16 ἡμέες Menagius 17 περιχωρέωμεν B:| περιχορεύομεν P: περιχωρέομεν F καὶ τὴν ἀσίην F 19 ἀθηνέων P²: ἀθηναίων BP¹F δοκέ•οις F ἁρμοδιώτατα om. P 20 ἐνταῦθα sic libri 21 τυραννευόμεθα B: τυραννεόμεθα PF 22 πάντως Bergk αἰσυμίντας, ἰν in ras., B τέρποι' scripsi: τρέποι' B: τέρποιο, sed τερπ in ras., PF ἑταίροις P: ἑτέροις B: ἑτάροις F 23 δέ τοι Menagius 24 κεῖθι P: κειοι B: ✱ κεῖθι F 25 οἰκήσωμεν BF

2. Suidas.

Θαλῆς Ἐξαμύου καὶ Κλεοβουλίνης Μιλήσιος, ὡς δὲ Ἡρόδοτος [I 170] *Φοίνιξ, γεγονὼς πρὸ Κροίσου ἐπὶ τῆς λε ὀλυμπιάδος* [640 — 637], *κατὰ δὲ Φλέγοντα* [cf. Mus. Rh. 31, 18²] *γνωριζόμενος ἤδη ἐπὶ τῆς ζ* [752—749]. *ἔγραψε περὶ μετεώρων ἐν ἔπεσι, περὶ ἰσημερίας καὶ ἄλλα πολλά. ἐτελεύτησε δὲ γηραιὸς θεώμενος γυμνικὸν ἀγῶνα, πιληθεὶς δὲ ὑπὸ τοῦ ὄχλου καὶ ἐκλυθεὶς ὑπὸ τοῦ καύματος* [ex Hesychio].

πρῶτος δὲ τὸ τοῦ σοφοῦ ἔσχεν ὄνομα καὶ πρῶτος τὴν ψυχὴν εἶπεν ἀθάνατον, ἐκλείψεις τε καὶ ἰσημερίας κατείληφεν. ἀποφθέγματα δὲ αὐτοῦ πλεῖστα καὶ τὸ θρυλούμενον 'γνῶθι σαυτόν.' τὸ γὰρ 'ἐγγύα πάρα δ' ἄτα' Χίλωνός ἐστι μᾶλλον ἰδιοποιησαμένου αὐτὸ καὶ τὸ 'μηδὲν ἄγαν' [ex Laertio cf. Cedren. I 275, 14]

Θαλῆς ὁ φυσικὸς φιλόσοφος ἐπὶ Δαρείου (!) *προειπὼν τὴν τοῦ ἡλίου ἔκλειψιν.*

3. Schol. Platonis in Remp. 600 A.

Θαλῆς Ἐξαμύου Μιλήσιος, Φοίνιξ δὲ καθ' Ἡρόδοτον. οὗτος πρῶτος ὠνομάσθη σοφός. εὗρε γὰρ τὸν ἥλιον ἐκλείπειν ἐξ ὑποδρομῆς σελήνης καὶ μικρὰν ἄρκτον αὐτὸς ἔγνω καὶ τὰς τροπὰς πρῶτος Ἑλλήνων καὶ περὶ μεγέθους ἡλίου καὶ φύσεως, ἀλλὰ καὶ ἄψυχα ψυχὴν ἔχειν ὁπωσοῦν ἐκ τῆς μαγνήτιδος καὶ τοῦ ἠλέκτρου. ἀρχὴν δὲ τῶν στοιχείων τὸ ὕδωρ. τὸν δὲ κόσμον ἔμψυχον ἔφη καὶ δαιμόνων πλήρη. ἐπαιδεύθη ἐν Αἰγύπτῳ ὑπὸ τῶν ἱερέων. τούτου τὸ γνῶθι σαυτόν. ἐτελεύτησε δὲ μονήρης γηραιὸς γυμνικὸν ἀγῶνα θεώμενος ὑπὸ καύματος ἐκλυθείς [ex Hesychio].

4. Herodot. I 170 *χρηστὴ δὲ καὶ πρὶν ἢ διαφθαρῆναι Ἰωνίην Θάλεω ἀνδρὸς Μιλησίου ἐγένετο* [sc. *ἡ γνώμη*], *τὸ ἀνέκαθεν γένος ἐόντος Φοινικος, ὃς ἐκέλευε ἓν βουλευτήριον Ἴωνας ἐκτῆσθαι, τὸ δὲ εἶναι ἐν Τέῳ* (*Τέων γὰρ μέσον εἶναι Ἰωνίης*), *τὰς δὲ ἄλλας πόλιας οἰκεομένας μηδὲν ἧσσον νομίζεσθαι κατάπερ εἰ δῆμοι εἶεν.* cf. I 146 de Cadmeis Ioniae et imprimis Mileti conditionibus.

5. Idem I 74 (bellum inter Alyatten et Cyaxaren) *διαφέρουσι δέ σφι ἐπ' ἴσης τὸν πόλεμον τῶι ἕκτωι ἔτει συμβολῆς γενομένης συνήνεικε ὥστε τῆς μάχης συνεστεώσης τὴν ἡμέρην ἐξαπίνης νύκτα γενέσθαι. τὴν δὲ μεταλλαγὴν ταύτην τῆς ἡμέρης Θαλῆς ὁ Μιλήσιος τοῖσι Ἴωσι προηγόρευσε ἔσεσθαι, ὅρον προθέμενος ἐνιαυτὸν τοῦτον ἐν τῶι δὴ καὶ ἐγένετο ἡ μεταβολή.* Clem. Strom. I 65 p. 354 P. *Θαλῆν δὲ Εὔδημος ἐν ταῖς Ἀστρολογικαῖς ἱστορίαις τὴν γενομένην ἔκλειψιν τοῦ ἡλίου προειπεῖν φησι, καθ' οὓς χρόνους συνῆψαν μάχην*

πρὸς ἀλλήλους Μῆδοί τε καὶ Λυδοὶ βασιλεύοντος Κυαξάρους μὲν τοῦ Ἀστυάγους πατρὸς Μήδων, Ἀλυάττου δὲ τοῦ Κροίσου Λυδῶν . . . εἰσὶ δὲ οἱ χρόνοι ἀμφὶ τὴν ν̄ ὀλυμπιάδα [580—77] (extrema ex Tatiano 41 *περὶ τῆς τῶν ἑπτὰ σοφῶν ἡλικίας ἀναγράψομεν· τοῦ γὰρ πρεσβυτάτου τῶν προειρημένων Θάλητος γενομένου περὶ τὴν πεντηκοστὴν ὀλυμπιάδα* cf. Eus. Chr. Ol. 50 [Cyrill. c. Iul. I p. 13 E]). PLIN. N. H. II 53 *apud Graecos autem investigavit* [sc. defectus rationem] *primus omnium Thales Milesius olympiadis* XLVIII *anno quarto* [585/4 a. Chr.] *praedicto solis defectu qui Alyatte rege factus est urbis conditae* CLXX. EUSEB. Chron. (Hieron.) *solis facta defectio, cum futuram eam Thales ante dixisset, Alyattes et Astyages dimicaverunt* a. Abr. 1432 [585 a. Chr.]; 1433 [584] Arm. — Recentes astronomi plerique ponunt defectum 28. Maii 585 cf. Ginzel *Spez. Kanon* Berl. 1899 p. 171.

6. HEROD. I 75 *ὡς δὲ ἀπίκετο ἐπὶ τὸν Ἅλυν ποταμὸν ὁ Κροῖσος τὸ ἐνθεῦτεν, ὡς μὲν ἐγὼ λέγω, κατὰ τὰς ἐούσας γεφύρας διεβίβασε τὸν στρατόν, ὡς δὲ ὁ πολλὸς λόγος Ἑλλήνων, Θαλῆς οἱ ὁ Μιλήσιος διεβίβασε. ἀπορέοντος γὰρ Κροίσου, ὅκως οἱ διαβήσεται τὸν ποταμὸν ὁ στρατός . . . λέγεται παρεόντα τὸν Θαλῆν ἐν τῶι στρατοπέδωι ποιῆσαι αὐτῶι τὸν ποταμὸν ἐξ ἀριστερῆς χειρὸς ῥέοντα τοῦ στρατοῦ καὶ ἐκ δεξιῆς ῥέειν, ποιῆσαι δὲ ὧδε· ἄνωθεν τοῦ στρατοπέδου ἀρξάμενον διώρυχα βαθέαν ὀρύσσειν ἄγοντα μηνοειδέα, ὅκως ἂν τὸ στρατόπεδον ἱδρυμένον κατὰ νώτου λάβοι, ταύτηι κατὰ τὴν διώρυχα ἐκτραπόμενος ἐκ τῶν ἀρχαίων ῥεέθρων καὶ αὖτις παραμειβόμενος τὸ στρατόπεδον ἐς τὰ ἀρχαῖα ἐσβάλλοι. ὥστε ἐπείτε καὶ ἐσχίσθη τάχιστα ὁ ποταμός, ἀμφοτέρηι διαβατὸς ἐγένετο.*

7. EUSEB. Chron. graece ap. Cyrill. c. Iul. I p. 12 *τριακοστῆι πέμπτηι ὀλυμπιάδι* [640—37] *Θ. Μιλήσιος πρῶτος φυσικὸς φιλόσοφος γενέσθαι λέγεται, παρατείνεσθαι δὲ τὴν ζωὴν αὐτοῦ φασιν ἕως πεντηκοστῆς ὀγδόης ὀλ.* [548—5]; Hieron. (AP) Ol. 35, 1 [640], Armen. Ol. 35, 2 [639] olympiadis annum definiunt pro mortis epocha ol. 58 [sic etiam Hieron.] Arm. habet ol. 48 [588—5], sed idem sub lemmate *Thales moritur* Ol. 58, 1 (ut Hier. APSR [cet. 58, 2]). ABULFARAGIUS p. 33 Pococke: *tradit Cyrillus in libro suo quo respondet Iuliano . . . fuisse Thaletem ante initium regni Nebuchadnesaris* XXVIII *annis. dicit autem Porphyrius floruisse Thaletem post Nebuchadnesarem* CXXIII *annis.* cum Cyrilli epocha constet (Ol. 35 cf. supra), Nebucadnesaris annus unde Arabs proficiscitur est Ol. 42 [612—9]. ergo Porphyrii epocha incideret in ol. 72, 73 [489—486], quod absurdum. unde Rōper Arabum confusione regum cognominum [Bochtenasr I et II] nisus Nabonassaris aeram [ergo 747—123 = 624] intellexit. quem olim secutus sum cf. ad p. 9, 6. lenius Unger correcto numero CXXIII in XXIII epocham Porphyrii in 582 posuit. at cum initium Nebucadnesaris sec. Abulfaragium incidat in Ol. 42, Porphyrii epocha erit Ol. 47. 48 [589—6]. ergo veri simile est *ἀκμὴν* [*floruisse*] sec. illum poni in Ol. 48, 4 (solis defectionis anno, de quo cf. n. 5).

8. *Ἐκλογὴ Ἱστοριῶν* Parisina [Cramer An. Par. II 263 cf. Leo Bekkeri p. 36, 4] sub sexto Ezeciae anno: *κατὰ τούτους τοὺς χρόνους Θ. Μιλήσιος ἐν Τενέδωι ἀπέθανε καὶ Σίβυλλα Ἐρυθραία ἐγνωρίζετο.* ecloga non Eusebiana incerti est auctoris [Africani sec. Gelzer *Africanus* II 154; aliter 315], unde etiam CHRON. pasch. 214, 20 Bekk. sub Ezeciae anno 5 (ol. 10, 3) *τούτωι τῶι ἔτει Θ. ὁ*

κατά τινας δὲ μόνα δύο συνέγραψε Περὶ τροπῆς καὶ Ἰσημερίας, τὰ ἄλλ' ἀκατάληπτα εἶναι δοκιμάσας. δοκεῖ δὲ κατά τινας πρῶτος ἀστρολογῆσαι καὶ ἡλιακὰς ἐκλείψεις καὶ τροπὰς προειπεῖν, ὥς φησιν Εὔδημος [fr. 94 Speng.] ἐν τῇι περὶ τῶν Ἀστρολογουμένων ἱστορίαι· ὅθεν αὐτὸν καὶ Ξενοφάνης [fr. 19] καὶ Ἡρόδοτος [I 74] θαυμάζει. μαρτυρεῖ δ' αὐτῶι καὶ Ἡράκλειτος [fr. 38] καὶ Δημόκριτος.

ἔνιοι δὲ καὶ αὐτὸν πρῶτον εἰπεῖν φασιν ἀθανάτους τὰς ψυ- 24
χάς· ὧν ἐστι Χοιρίλος ὁ ποιητής [p. 182 Naeke]. πρῶτος δὲ καὶ τὴν ἀπὸ τροπῆς ἐπὶ τροπὴν πάροδον εὗρεν, καὶ πρῶτος τὸ τοῦ ἡλίου μέγεθος ⟨τοῦ ἡλιακοῦ κύκλου ὥσπερ καὶ τὸ τῆς σελήνης μέγεθος⟩ τοῦ σεληναίου ἑπτακοσιοστὸν καὶ εἰκοστὸν μέρος ἀπεφήνατο κατά τινας. πρῶτος δὲ καὶ τὴν ὑστάτην ἡμέραν τοῦ μηνὸς τριακάδα εἶπεν. πρῶτος δὲ καὶ περὶ φύσεως διελέχθη, ὥς τινες.

Ἀριστοτέλης [de anima A 2. 405ᵃ 19] δὲ καὶ Ἱππίας [fr. 10 FHG II 62] φασὶν αὐτὸν καὶ τοῖς ἀψύχοις μεταδιδόναι ψυχῆς, τεκμαιρόμενον ἐκ τῆς λίθου τῆς μαγνήτιδος καὶ τοῦ ἠλέκτρου. παρά τε Αἰγυπτίων γεωμετρεῖν μαθόντα φησὶ Παμφίλη [fr. 1, FHG III 520] πρῶτον καταγράψαι κύκλου τὸ τρίγωνον ὀρθογώνιον καὶ θῦσαι βοῦν. οἱ δὲ Πυθαγόραν φασίν, ὧν ἐστιν Ἀπολλόδωρος ὁ λογιστικός [cf. Diog. VIII 12]. (οὗτος προήγαγεν ἐπὶ πλεῖστον, ἃ φησι Καλλίμαχος ἐν τοῖς Ἰάμβοις [fr. 83 a. II 244 Schneid.] Εὔφορβον εὑρεῖν τὸν Φρύγα οἷον σκαληνὰ [καὶ] τρίγωνα καὶ ὅσα γραμμικῆς ἔχεται θεωρίας.) δοκεῖ δὲ καὶ ἐν τοῖς πολιτικοῖς ἄριστα βεβουλεῦσθαι. Κροίσου γοῦν πέμψαντος πρὸς Μιλησίους ἐπὶ συμμαχίαι ἐκώλυσεν· ὅπερ Κύρου κρατήσαντος ἔσωσε τὴν πόλιν. καὶ αὐτὸς δέ φησιν, ὡς Ἡρακλείδης [Ponticus fr. 47 Voss.] ἱστορεῖ, μονήρη αὐτὸν γεγονέναι καὶ ἰδιαστήν. ἔνιοι δὲ καὶ 26

---

1 *μόνα δύο* sic libri 2 *ἄλλα καταληπτὰ* libri 3 *προειπεῖν* male excerptum, melius Hesych. cf. schol. Plat. infra p. 12. 6 *αὐτὸ* P 11 lacunam fortasse Laertii operis tribuendam explevi Herm. XXIV 306; cf. Roeper *Z. f. d. Alterthumsw.* 1852, 443; nitor Apuleo (infra p. 16, 3); Cleomed. cycl. th. II p. 136, 28 Z.; Archim. aren. 1, 10 p. 248, 19. tradita intellegere studet Hultsch *Abh. z. Gesch. d. Math.* IX 194[2]. 13 *ὑστάτην* Scaliger (in exemplo Leidensi): *ὑστέραν* libri 16 *μεταδιδόναι* BP[1]: *διδόναι* FP[2] *ψυχῆς* Stephanus: *ψυχάς* libri 20 ⟨*ὅτε*⟩ *καὶ* Bywater 21 *αὐτὸς* B *οὗτος—θεωρίας* (24) emblema olim ad Pythagoram pertinens ut Diod. X 6, 4 docet cf. Walth. Volkmann *Quaest. de Diog. L.* I (Bresl. 1890) p. 5 22 *πλεῖον* Emperius *ἃ* om. B 23 [illegible] del. Meibom cf. Callim. 24 *γραμματικῆς* B 27 *καὶ αὐτὸς* libri: *Κλύτιος* Menagius [FHG II 333 fr. 3], *Πάταικος* Voss.; ego dubito conl. Laert. VIII[1] 4; accus. c. inf. posuisse videtur perspicui causa propter parenthesin

γῆμαι αὐτὸν καὶ Κύβισθον υἱὸν σχεῖν· οἱ δὲ ἄγαμον μεῖναι, τῆς δὲ ἀδελφῆς τὸν υἱὸν θέσθαι. ὅτε καὶ ἐρωτηθέντα διὰ τί οὐ τεκνοποιεῖ, διὰ φιλοτεκνίαν εἰπεῖν. καὶ λέγουσιν ὅτι τῆς μητρὸς ἀναγκαζούσης αὐτὸν γῆμαι ἔλεγεν 'οὐδέπω καιρός', εἶτα ἐπειδὴ παρήβησεν ἐγκειμένης εἰπεῖν 'οὐκέτι καιρός'. φησὶν δὲ καὶ Ἱερώνυμος ὁ Ῥόδιος ἐν τῷι δευτέρωι Τῶν σποράδην ὑπομνημάτων [fr. 8 Hiller], ὅτι βουλόμενος δεῖξαι ῥάιδιον εἶναι πλουτεῖν, φορᾶς ἐλαιῶν μελλούσης ἔσεσθαι, προνοήσας ἐμισθώσατο τὰ ἐλαιουργεῖα καὶ πάμπλειστα συνεῖλε χρήματα.

ἀρχὴν δὲ τῶν πάντων ὕδωρ ὑπεστήσατο, καὶ τὸν κόσμον ἔμ- 27
ψυχον καὶ δαιμόνων πλήρη. τάς τε ὥρας τοῦ ἐνιαυτοῦ φασιν αὐτὸν εὑρεῖν καὶ εἰς τριακοσίας ἑξήκοντα πέντε ἡμέρας διελεῖν.

οὐδεὶς δὲ αὐτοῦ καθηγήσατο, πλὴν ὅτι εἰς Αἴγυπτον ἐλθὼν τοῖς ἱερεῦσι συνδιέτριψεν. ὁ δὲ Ἱερώνυμος [fr. 21 Hiller] καὶ ἐκμετρῆσαί φησιν αὐτὸν τὰς πυραμίδας, ἐκ τῆς σκιᾶς παρατηρήσαντα ὅτε ἡμῖν ἰσομεγέθης ἐστίν. συνεβίω δὲ καὶ Θρασυβούλωι τῶι Μιλησίων τυράννωι, καθά φησι Μινύης [FHG II 335, 3]. τὰ δὲ περὶ τὸν τρίποδα φανερὰ τὸν εὑρεθέντα ὑπὸ τῶν ἁλιέων καὶ διαπεμφθέντα τοῖς σοφοῖς ὑπὸ τοῦ δήμου τῶν Μιλησίων. φασὶ γὰρ 28
Ἰωνικούς τινας νεανίσκους βόλον ἀγοράσαι παρὰ Μιλησίων ἁλιέων. ἀνασπασθέντος δὲ τοῦ τρίποδος ἀμφισβήτησις ἦν, ἕως οἱ Μιλήσιοι ἔπεμψαν εἰς Δελφούς· καὶ ὁ θεὸς ἔχρησεν οὕτως·

ἔκγονε Μιλήτου, τρίποδος πέρι Φοῖβον ἐρωτᾶις,
τίς σοφίαι πάντων πρῶτος, τούτου τρίποδ' αὐδῶ.

διδοῦσιν οὖν Θαλῆι· ὁ δὲ ἄλλωι καὶ ἄλλος ἄλλωι ἕως Σόλωνος. ὁ δὲ ἔφη σοφίαι πρῶτον εἶναι τὸν θεὸν καὶ ἀπέστειλεν εἰς Δελφούς. ταῦτα δή ὁ Καλλίμαχος ἐν τοῖς Ἰάμβοις ἄλλως ἱστορεῖ, παρὰ Δεανδρίου [fr. 3, FHG II 335] λαβὼν τοῦ Μιλησίου. Βαθυκλέα γάρ τινα Ἀρκάδα φιάλην καταλιπεῖν καὶ ἐπισκῆψαι 'δοῦναι τῶν σοφῶν ὀνησίστωι' [om. Schneid., cf. fr. 95, II 260]. ἐδόθη δὴ Θαλῆι καὶ

1 *Κύβισθον* Plut. Sol. 7: *κίβισθον* BP²; *κίδισθον* P¹: *κίβισσον* F *σχεῖν* Scaliger: *ἔχειν* libri 5 *καὶ* post *ἱερώνυμος* BP: om. F: corr. Cobet 7 *ῥάιδιον* Aristoteles (infra p. 14 n. 10, unde Hieronymus): *ῥᾶον* libri *ἐλαιῶν* F: om. BP 9 *συνεῖλε* libri: *συνέλεξε* ex Arist. Cobet; *συνεῖρε* Emperius 13 *δὲ* F (P?): *τε* BP² *ὅτι* F: *ὅτ'* PB 15 *αὐτόν φησι* F 16 *ἰσομεγέθεις εἰσί* libri: corr. Menagius cf. A 21 (p. 16) *συνεβίου* B 17 *μινύης* ? F¹ 24 *ὅς* Val. Max. et schol. Aristoph. *σοφία* BP: *σοφίη* F *πάντων* om. F 25 *διδοῦσιν* BP, mrg. F: *δηλοῦσιν* F 27 *δὴ ὁ* BP: *δὲ* F *Ἰαμβίοις* F 28 *λεανδρίου* PF (cf. p. 10, 16): *δὲ ἀνδρίου* B, verum est *Μαιανδρίου* 29 *τῶν* libri: *τῶι* Cobet 30 *ὀνησίστω* B (? P): *τῷ πρωτίστῳ* P² F cf. Phoenix ap. Ath. XI 495 D *δὴ*] *δὲ* F²

κατὰ περίοδον πάλιν Θαλῆι· ὁ δὲ τῶι Διδυμεῖ Ἀπόλλωνι ἀπέ- 29
στειλεν εἰπὼν οὕτω κατὰ τὸν Καλλίμαχον [fr. 95, II 260 Schn.]·

Θαλῆς με τῶι μεδεῦντι Νείλεω δήμου
δίδωσι, τοῦτο δὶς λαβὼν ἀριστεῖον.

τὸ δὲ πεζὸν οὕτως ἔχει· Θαλῆς Ἐξαμύου Μιλήσιος Ἀπόλλωνι Δελφινίωι Ἑλλήνων ἀριστεῖον δὶς λαβών. ὁ δὲ περιενεγκὼν τὴν φιάλην τοῦ Βαθυκλέους παῖς Θυρίων ἐκαλεῖτο, καθά φησιν Ἔλευσις ἐν τῶι Περὶ Ἀχιλλέως [FHG II 336, 3] καὶ Ἀλέξων ὁ Μύνδιος ἐν ἑνάτωι Μυθικῶν.

Εὔδοξος δ' ὁ Κνίδιος καὶ Εὐάνθης ὁ Μιλήσιός [FHG III 2*] φασι τῶν Κροίσου τινὰ φίλων λαβεῖν παρὰ τοῦ βασιλέως ποτήριον χρυσοῦν, ὅπως δῶι τῶι σοφωτάτωι τῶν Ἑλλήνων· τὸν δὲ δοῦναι Θαλῆι, καὶ περιελθεῖν εἰς Χίλωνα. δν πυνθάνεσθαι τοῦ Πυθίου 30
τίς αὐτοῦ σοφώτερος· καὶ τὸν ἀνειπεῖν Μύσωνα, περὶ οὗ λέξομεν.
(τοῦτον οἱ περὶ τὸν Εὔδοξον ἀντὶ Κλεοβούλου τιθέασι, Πλάτων δ' ἀντὶ Περιάνδρου.) περὶ αὐτοῦ δὴ τάδε ἀνεῖπεν ὁ Πύθιος·

Οἰταῖόν τινά φημι Μύσων' ἐνὶ Χηνὶ γενέσθαι
σοῦ μᾶλλον πραπίδεσσιν ἀρηρότα πευκαλίμηισιν.

ὁ δὲ ἐρωτήσας ἦν Ἀνάχαρσις. Δαΐμαχος δ' ὁ Πλατωνικὸς [fr. 6, FHG II 442] καὶ Κλέαρχος [fr. 44c, FHG II 317] φιάλην ἀποσταλῆναι ὑπὸ Κροίσου Πιττακῶι καὶ οὕτω περιενεχθῆναι.

Ἄνδρων δ' ἐν τῶι Τριποδι [fr. 1, FHG II 347] Ἀργείους ἆθλον ἀρετῆς τῶι σοφωτάτωι τῶν Ἑλλήνων τρίποδα θεῖναι· κριθῆναι δὲ Ἀριστόδημον Σπαρτιάτην, ὃν παραχωρῆσαι Χίλωνι. μέμνηται 31
τοῦ Ἀριστοδήμου καὶ Ἀλκαῖος [fr. 49 Bergk] οὕτως·

ὡς γὰρ δή ποτ' Ἀριστόδαμόν φασ' οὐκ ἀπάλαμνον ἐν Σπάρ-
[ται λόγον
εἰπεῖν· χρήματ' ἀνήρ, πενιχρὸς δ' οὐδεὶς πέλετ' ἐσλός .

ἔνιοι δέ φασιν ὑπὸ Περιάνδρου Θρασυβούλωι τῶι Μιλησίων τυράννωι πλοῖον ἔμφορτον ἀποσταλῆναι· τοῦ δὲ περὶ τὴν Κώιαν θάλασσαν ναναγήσαντος, ὕστερον εὑρεθῆναι πρὸς τινων ἁλιέων τὸν

---

1 *Διδυμεῖ* scripsi cf. p. 7, 14: *διδυμι* B: *διδυμαίωι* PF 5 *ἐξαμύου* sic libri 6 *Διδυμαίῳ* Menagius *περι* αγαγὼν* F 7 *παιδὸς* F 8 *ἀλέξων* BF mrg. P¹ (i. e. *Ἀλέξανδρος*): *λαέξων* P (ante ras.) 13 *Χίλωνα* sic libri 14 *αὐτοῦ* libri 15 *τοῦτον — Περιάνδρου* del. Menagius cf. § 41 *τὸν* om. F 16 *ἀνεῖλεν* Casaubonus (ex Plut. Sol. 4, Schol. Arist. Plut. 9) 19 *Δαΐμαχος* Casaubonus: *δαίδαχος* BP: *δαίδαλος* an *δαίδαχος* incertum F *Πλατωνικός*] probabiliter *Πλαταϊκός* Casaubonus 26 *φασ'* scripsi: *φασι'* Schneidewin: *φασὶν* BF: *δν* (sed exp. P¹) *φασὶν* P 28 *εἶπην* Schneidewin *οὐδὲ τίμιος* add. Schol. Pind. Isthm. II 17

τρίποδα. Φανόδικος [fr. 4, FHG IV 473] δὲ περὶ τὴν Ἀθηναίων θάλασσαν εὑρεθῆναι καὶ ἀνενεχθέντα εἰς ἄστυ γενομένης ἐκκλησίας Βίαντι πεμφθῆναι· διὰ τί δέ, ἐν τῶι περὶ Βίαντος λέξομεν. 32

ἄλλοι φασὶν ἠφαιστότευκτον εἶναι αὐτὸν καὶ δοθῆναι πρὸς τοῦ θεοῦ Πέλοπι γαμοῦντι· αὖθίς τε εἰς Μενέλαον ἐλθεῖν καὶ σὺν τῆι Ἑλένηι ἁρπασθέντα ὑπὸ Ἀλεξάνδρου ῥιφῆναι εἰς τὴν Κώιαν θάλασσαν πρὸς τῆς Λακαίνης, εἰπούσης ὅτι περιμάχητος ἔσται. χρόνωι δὲ Λεβεδίων τινῶν αὐτόθι γρῖφον ὠνησαμένων καταληφθῆναι καὶ τὸν τρίποδα, μαχομένων δὲ πρὸς τοὺς ἁλιέας, γενέσθαι τὴν ἄνοδον ἕως τῆς Κῶ· καὶ ὡς οὐδὲν ἤνυτον, τοῖς Μιλησίοις μητροπόλει οὔσηι μηνύουσιν. οἱ δ' ἐπειδὴ διαπρεσβευόμενοι ἠλογοῦντο, πρὸς τοὺς Κώιους πολεμοῦσι. καὶ πολλῶν ἑκατέρωθεν πιπτόντων ἐκπίπτει χρησμὸς δοῦναι τῶι σοφωτάτωι· καὶ ἀμφότεροι συνήινεσαν Θαλῆι. ὁ δὲ μετὰ τὴν περίοδον τῶι Διδυμεῖ τίθησιν 33
Ἀπόλλωνι. Κώιοις μὲν οὖν τοῦτον ἐχρήσθη τὸν τρόπον·

οὐ πρότερον λήξει νεῖκος Μερόπων καὶ Ἰώνων,
πρὶν τρίποδα χρύσειον, ὃν Ἥφαιστος βάλε πόντωι,
ἐκ πόλιος πέμψητε καὶ ἐς δόμον ἀνδρὸς ἱκηται,
ὃς σοφίαι τά τ' ἐόντα τά τ' ἐσσόμενα πρό τ' ἐόντα.

Μιλησίοις δέ·

ἔκγονε Μιλήτου, τρίποδος πέρι Φοῖβον ἐρωτᾶις;
καὶ ὡς προείρηται. καὶ τόδε μὲν οὕτως.

Ἕρμιππος δ' ἐν τοῖς Βίοις [fr. 12, FHG III 39] εἰς τοῦτον ἀναφέρει τὸ λεγόμενον ὑπό τινων περὶ Σωκράτους. ἔφασκε γάρ, φησί, τριῶν τούτων ἕνεκα χάριν ἔχειν τῆι τύχηι· πρῶτον μὲν ὅτι ἄνθρωπος ἐγενόμην καὶ οὐ θηρίον, εἶτα ὅτι ἀνὴρ καὶ οὐ γυνή, τρίτον ὅτι Ἕλλην καὶ οὐ βάρβαρος. λέγεται δ' ἀγόμενος ὑπὸ 34
γραὸς ἐκ τῆς οἰκίας, ἵνα τὰ ἄστρα κατανοήσηι, εἰς βόθρον ἐμπεσεῖν καὶ αὐτῶι ἀνοιμώξαντι φάναι τὴν γραῦν· 'σὺ γάρ, ὦ Θαλῆ, τὰ ἐν ποσὶν οὐ δυνάμενος ἰδεῖν τὰ ἐπὶ τοῦ οὐρανοῦ οἴει γνώσεσθαι'; οἵδε δ' αὐτὸν ἀστρονομούμενον καὶ Τίμων, καὶ ἐν τοῖς Σίλλοις [fr. 6 W.] ἐπαινεῖ αὐτὸν λέγων·

οἷόν θ' ἑπτὰ Θάλητα σοφῶν σοφὸν ἀστρονόμημα.

---

8 γρίφον P (a. r.): γρεῖφον B: γρύπων F 9 δὲ F: δὴ BP 11 οὖση sic BF: οὖσι P 14 θαλῆ PF¹ corr.: θαλὴν B: θαλῆν F¹ διδυμεῖ BP¹: διδυμαίωι F: δινδυμαίωι P² τίθησιν BP: ἀνατίθησιν F 16 οὐ BF: μὴ P λήξει (superscr. ν) P 18 σοφία B (F¹?) Diodorus IX 3: δεδάυκε P¹ a. r.: δεδάηκε P²; fuit σοφὸς ἦι πρό τ' ἐόντα libri: προδέδορκεν Diodorus 20 ἐρωτᾶις om. B. 21 καὶ ante ὡς del. falso Froben 23 ἐπὶ B 31 οἷον θ' ἑπτὰ BP¹: οἷον ἕπειτα FP²

τὰ δὲ γεγραμμένα ὑπ' αὐτοῦ φησι Λόβων ὁ Ἀργεῖος [FHG III 27**] εἰς ἔπη τείνειν διακόσια. ἐπιγεγράφθαι δ' αὐτοῦ ἐπὶ τῆς εἰκόνος τόδε·

τόνδε Θαλῆν Μίλητος Ἰὰς θρέψασ' ἀνέδειξεν
ἀστρολόγων πάντων πρεσβύτατον σοφίαι.

τῶν τε ἀιδομένων αὐτοῦ τάδε εἶναι· 35

οὔ τι τὰ πολλὰ ἔπη φρονίμην ἀπεφήνατο δόξαν·
ἓν τι μάτευε σοφόν,
ἓν τι κεδνὸν αἱροῦ·
λύσεις γὰρ ἀνδρῶν κωτίλων γλώσσας ἀπεραντολόγους.

φέρεται δὲ καὶ ἀποφθέγματα αὐτοῦ τάδε· πρεσβύτατον τῶν ὄντων θεός· ἀγένητον γάρ. κάλλιστον κόσμος· ποίημα γὰρ θεοῦ. μέγιστον τόπος· ἅπαντα γὰρ χωρεῖ. τάχιστον νοῦς· διὰ παντὸς γὰρ τρέχει. ἰσχυρότατον ἀνάγκη· κρατεῖ γὰρ πάντων. σοφώτατον χρόνος· ἀνευρίσκει γὰρ πάντα. οὐδὲν ἔφη τὸν θάνατον διαφέρειν τοῦ ζῆν. 'σὺ οὖν' ἔφη τις 'διὰ τί οὐκ ἀποθνήισκεις'; 'ὅτι', ἔφη, 'οὐδὲν διαφέρει'. πρὸς τὸν πυθόμενον τί πρότερον 36
γεγόνοι, νὺξ ἢ ἡμέρα, 'ἡ νύξ' ἔφη 'μιᾶι ἡμέραι πρότερον'. ἠρώτησέ τις αὐτόν, εἰ λήθοι θεοὺς ἄνθρωπος ἀδικῶν· 'ἀλλ' οὐδὲ διανοούμενος' ἔφη. πρὸς τὸν μοιχὸν ἐρόμενον, εἰ ὀμόσειε μὴ μεμοιχευκέναι, 'οὐ χεῖρον' ἔφη 'μοιχείας ἐπιορκία.' ἐρωτηθεὶς τί δύσκολον, ἔφη 'τὸ ἑαυτὸν γνῶναι'· τί δὲ εὔκολον, 'τὸ ἄλλωι ὑποθέσθαι'· τί ἥδιστον, 'τὸ ἐπιτυγχάνειν'· τί τὸ θεῖον, 'τὸ μήτε ἀρχὴν ἔχον μήτε τελευτήν'· τί δύσκολον εἴη τεθεαμένος, ἔφη· 'γέροντα τύραννον'. πῶς ἄν τις ἀτυχίαν ῥᾷστα φέροι, 'εἰ τοὺς ἐχθροὺς χεῖρον πράσσοντας βλέποι'· πῶς ἂν ἄριστα καὶ δικαιότατα βιώσαιμεν, 'ἐάν ἃ τοῖς ἄλλοις ἐπιτιμῶμεν, αὐτοὶ μὴ δρῶμεν'· τίς εὐδαι- 37
μων, 'ὁ τὸ μὲν σῶμα ὑγιής, τὴν δὲ ψυχὴν εὔπορος, τὴν δὲ φύσιν εὐπαίδευτος'. φίλων παρόντων καὶ ἀπόντων μεμνῆσθαί φησι· μὴ τὴν ὄψιν καλλωπίζεσθαι, ἀλλὰ τοῖς ἐπιτηδεύμασιν εἶναι καλόν. 'μὴ πλούτει' φησί 'κακῶς μηδὲ διαβαλλέτω σε λόγος πρὸς τοὺς

2 αὐτῶι Bywater conl. §§ 79 et 96, at cf. § 39 5 ἀστρολόγων Reiske: ἀστρολόγον libri σοφία BP: σοφίη F 6 αὐτόν B 8 ἓν τι P: ἔντι, corr. ex ἐόντει? F: εοντι B 10 βύσεις Cobet ex Ambrosii obstrues: potius δήσεις 12 ἀγένητον B: ἀγέννητον PF 13 τόπος in ras. F¹ 18 γεγόνοι B: γεγόνει PF ἡ νύξ] aliter Plut. Alex. 64 cf. Clem. Al. Strom. VI, 731 Pott. 19 Pittaci Theo II 97, 30 Sp. λήθοι BF: λάθοι F 20 ὀμόσειε Cobet: ὀμόσει libri 21 χείρων F 22 ὑποτίθεσθαι P 23 τὸ (ante ἐπιτυγχάνειν) F: om. BP 24 δύσκολον falso iteratum ex v. 14: παραδοξότατον Plutarchus VII sap. conv. 2: καινότατον idem de genio Socr. 6, unde τί δὲ καινὸν coni. Menagius 28 ψυχὴν BP¹: τύχην F φύσιν BP¹: ψυχὴν F

πίστεως κεκοινωνηκότας'. '*οὓς ἂν ἐράνους εἰσενέγκῃς*' *φησί* '*τοῖς γονεῦσιν, τοὺς αὐτοὺς προσδέχου καὶ παρὰ τῶν τέκνων. τὸν Νεῖλον εἶπε πληθύειν ἀνακοπτομένων τῶν ῥευμάτων ὑπὸ τῶν ἐτησίων ἐναντίων ὄντων.*

φησὶ δ' Ἀπολλόδωρος ἐν τοῖς Χρονικοῖς [fr. 76, FHG I 445] *γεγενῆσθαι αὐτὸν κατὰ τὸ πρῶτον ἔτος τῆς τριακοστῆς πέμπτης ὀλυμπιάδος* [640]. *ἐτελεύτησε δ' ἐτῶν ἑβδομήκοντα ὀκτώ* (*ἢ* ,*ὡς* Σωσικράτης [fr. 10, FHG IV 501] *φησίν, ἐνενήκοντα*)· *τελευτῆσαι γὰρ ἐπὶ τῆς πεντηκοστῆς ὀγδόης ὀλυμπιάδος* [548—5], *γεγονότα κατὰ Κροῖσον, ὃν καὶ τὸν Ἅλυν ὑποσχέσθαι ἄνευ γεφύρας περᾶσαι, τὸ ῥεῖθρον παρατρέψαντα.* 38

γεγόνασι δὲ καὶ ἄλλοι Θαλαῖ, καθά φησι Δημήτριος ὁ Μάγνης ἐν τοῖς Ὁμωνύμοις, πέντε· ῥήτωρ Καλλατιανὸς κακόζηλος· ζωγράφος Σικυώνιος μεγαλοφυής· τρίτος ἀρχαῖος πάνυ κατὰ Ἡσίοδον καὶ Ὅμηρον καὶ Λυκοῦργον· (τέταρτος οὗ μέμνηται Δοῦρις ἐν τῷι Περὶ ζωγραφίας [fr. 77, FHG II 487]· *πέμπτος νεώτερος, ἄδοξος, οὗ μνημονεύει Διονύσιος ἐν Κριτικοῖς).*

ὁ δ' οὖν σοφὸς ἐτελεύτησεν ἀγῶνα θεώμενος γυμνικὸν ὑπό 39 *τε καύματος καὶ δίψους καὶ ἀσθενείας, ἤδη γηραιός. καὶ αὐτῦο ἐπιγέγραπται τῶι μνήματι* [Anth. Pal. VII 84]·

ἦ ὀλίγον τόδε σᾶμα (τὸ δὲ κλέος οὐρανόμακες)
τῶ πολυφροντίστω τοῦτο Θάλητος ὄρη.

ἔστι καὶ παρ' ἡμῖν ἐς αὐτὸν ἐν τῶι πρώτωι τῶν Ἐπιγραμμάτων ἢ Παμμέτρωι τόδε τὸ ἐπίγραμμα [Anth. Pal. VII 85]·

γυμνικὸν αὖ ποτ' ἀγῶνα θεώμενον, ἡέλιε Ζεῦ,
τὸν σοφὸν ἄνδρα Θαλῆν ἥρπασας ἐκ σταδίου.
αἰνέω ὅττι μιν ἐγγὺς ἀπήγαγες· ἦ γὰρ ὁ πρέσβυς
οὐκέθ' ὁρᾶν ἀπὸ γῆς ἀστέρας ἠδύνατο.

τούτου ἐστὶν τὸ Γνῶθι σαυτόν, ὅπερ Ἀντισθένης ἐν ταῖς 40 *Διαδοχαῖς* [FHG III 182*] *Φημονόης εἶναί φησιν, ἐξιδιοποιήσασθαι δὲ αὐτὸ Χίλωνα.*

---

3 *πληθύειν* sic BPF 6 *γεγενῆσθαι* BP: *γεγονέναι* F *πέμπτης*] $\overline{\text{ε}}$ης F: $\overline{\Theta}$ restituebam Apollodoro Mus. Rh. 31, 16 7 *ἐτελεύτησεν* omisso *δ'* B 13 *καλλατιανὸς* Cobet: *καλλαντιανὸς* B: *καλαντιανὸς* P: *καλαντινιανὸς* F 15 quartus (= alter) et quintus (= primus) post Dem. additi 16 *ζωγραφίας* BP: *ζωγράφων* F 17 *Κρητικοῖς* Casaubonus 18 *γοῦν* F 19 *γηραιὸς ὤν* F 20 *ἐπέγραψε* F 21 *ἦ ῥ'* Anth. (Plan.) *σᾶμα* Anth.: *σῆμα* P¹F: *σῶμα* B *οὐρανόμακες* BP: *οὐρανόμηκες* F Anth. 22 *τῶ* P²: *τῷ δὲ* vel *τῶδε* BF¹P¹ *ὄρη* BP¹ Anth.: *ὄρει* FP² 23 *ἡμῖν* BP¹: *ἡμῶν* P²F. tum delendum esset *παρ'* *ἐς* BP: *εἰς* F 25 *αὖ* P, Anth.: *ἀ* B¹: eras. B² om. F¹ *ἡέλιε* (cf. *καύματος* 19)] *Ἥλεῖε* Casaubonus 26 *σταδίου* F Anth.: *σταδίων* BP 28 *τῆς* B¹ 31 *ἑαυτῶ* F

Περὶ δὴ τῶν ἑπτά (ἄξιον γὰρ ἐνταῦθα καθολικῶς κἀκείνων ἐπιμνησθῆναι) λόγοι φέρονται τοιοῦτοι. Λάμων ὁ Κυρηναῖος γεγραφὼς Περὶ τῶν φιλοσόφων [FHG IV 277] *πᾶσιν ἐγκαλεῖ, μάλιστα δὲ τοῖς ἑπτά. Ἀναξιμένης δέ φησι πάντας ἐπιθέσθαι ποιητικῇ· ὁ δὲ Δικαίαρχος* [fr. 28, FHG II 243 cf. Ineditum Vaticanum ed. de Arnim Herm. XXVII 120. 126] *οὔτε σοφοὺς οὔτε φιλοσόφους φησὶν αὐτοὺς γεγονέναι, συνετοὺς δέ τινας καὶ νομοθετικούς. Ἀρχέτιμος δὲ ὁ Συρακούσιος* [FHG IV 318] *ὁμιλίαν αὐτῶν ἀναγέγραφε παρὰ Κυψέλῳ, ἣν καὶ αὐτός φησι παρατυχεῖν· Ἔφορος* [fr. 101, FHG I 262] *δὲ παρὰ Κροίσῳ πλὴν Θαλοῦ. φασὶ δέ τινες καὶ ἐν Πανιωνίῳ καὶ ἐν Κορίνθῳ καὶ ἐν Δελφοῖς συνελθεῖν αὐτούς. διαφωνοῦνται δὲ καὶ αἱ ἀποφάσεις αὐτῶν καὶ ἄλλου ἄλλο* 41 *φασὶν εἶναι, ὡς ἐκεῖνο·*

ἦν Λακεδαιμόνιος Χίλων σοφός, ὃς τάδ' ἔλεξε·
μηδὲν ἄγαν· καιρῷι πάντα πρόσεστι καλά.

στασιάζεται δὲ καὶ περὶ τοῦ ἀριθμοῦ αὐτῶν. Λεάνδριος [fr. 4, FHG II 336] *μὲν γὰρ ἀντὶ Κλεοβούλου καὶ Μύσωνος Λεώφαντον Γοργιάδα Λεβέδιον ἢ Ἐφέσιον ἐγκρίνει καὶ Ἐπιμενίδην τὸν Κρῆτα· Πλάτων δὲ ἐν Πρωταγόραι* [p. 343 A] *Μύσωνα ἀντὶ Περιάνδρου· Ἔφορος* [fr. 101, FHG I 262] *δὲ ἀντὶ Μύσωνος Ἀνάχαρσιν· οἱ δὲ καὶ Πυθαγόραν προσγράφουσιν. Δικαίαρχος* [fr. 28, FHG II 244] *δὲ τέσσαρας ὡμολογημένους ἡμῖν παραδίδωσιν Θαλῆν, Βίαντα, Πιττακόν, Σόλωνα. ἄλλους δὲ ὀνομάζει ἕξ, ὧν ἐκλέξασθαι τρεῖς, Ἀριστόδημον, Πάμφυλον, Χίλωνα Λακεδαιμόνιον, Κλεόβουλον, Ἀνάχαρσιν, Περίανδρον. ἔνιοι προστιθέασιν Ἀκουσίλαον Κάβα ἢ Σκάβρα Ἀργεῖον. Ἕρμιππος δ' ἐν τῶι Περὶ τῶν σοφῶν* [fr. 8, 42 FHG III 37] *ἑπτακαίδεκά φησιν, ὧν τοὺς ἑπτὰ ἄλλους ἄλλως αἱρεῖσθαι· εἶναι δὲ Σόλωνα, Θαλῆν, Πιττακόν, Βίαντα, Χίλωνα, ⟨Μύσωνα⟩, Κλεόβουλον, Περίανδρον, Ἀνάχαρσιν, Ἀκουσίλαον, Ἐπιμενίδην, Λεώφαντον, Φερεκύδην, Ἀριστόδημον, Πυθαγόραν, Λᾶσον Χαρμαντίδου ἢ Σισυμβρίνου, ἢ ὡς Ἀριστόξενος, Χαβρίνου, Ἑρμιονέα, Ἀναξαγόραν. Ἱππόβοτος δὲ ἐν τῆι τῶν Φιλοσόφων ἀνα-*

---

3 *ὁ γεγραφὼς* Bywater 4 *ποιητικῇ· ὁ δὲ* Stephanus: *ποιητικῆς δὲ* BP¹: *ποιητικά ὁ δὲ* F 8 *δὲ* BF: *τε* P 9 *παρατυχεῖν* BP¹: *περιτυχεῖν* F *εὔφορος* PF 11 *αὐτοῖς* F¹ 12 *αἱ* B: om. PF *ἀποφάνσεις* F *αὐτῶν* om. B¹ *φασὶν εἶναι* P: *εἶναι φασὶν* F: *φασὶν* B¹ (fortasse recte) 16 *Λεάνδριος* cf. § 28 18 *Γοργιάδα* Reiske: *γοργιάδα* PB: *κορσίλλα* F, mrg. P²: *γρ. γοργασιάδα* F 21 *δὲ* superscr. F 22 *ὡμολογουμένους* F 24 *Πάμφιλον* Froben at cf. Roeperus in *Z. f. Altert.* 1852, 453; turbas non expedio 26 *σκάβα* F 27 *ἄλλος* B 29 *Μύσωνα* inseruit Casaubonus 31 *χαρμαντίδους* B

γραφῆι· Ὀρφέα, Λίνον, Σόλωνα, Περίανδρον, Ἀνάχαρσιν, Κλεόβουλον, Μύσωνα, Θαλῆν, Βίαντα, Πιττακόν, Ἐπίχαρμον, Πυθαγόραν.

φέρονται δὲ καὶ τοῦ Θαλοῦ ἐπιστολαὶ αἵδε·

Θαλῆς Φερεκύδει.

πυνθάνομαί σε πρῶτον Ἰώνων μέλλειν λόγους ἀμφὶ τῶν θείων 43
χρημάτων εἰς τοὺς Ἕλληνας φαίνειν. καὶ τάχα μὲν ἡ γνώμη τοι
δικαίη ἐς τὸ ξυνὸν καταθέσθαι γραφὴν ἢ ἐφ' ὁποιοισοῦν ἐπιτρέ-
πειν χρῆμα εἰς οὐδὲν ὄφελος. εἰ δή τοι ἥδιον, ἐθέλω γενέσθαι
λεσχηνωτὴς περὶ ὁτέων γράφεις· καὶ ἦν κελεύηις, παρὰ σὲ ἀφίξο-
μαι εἰς Σῦρον. ἦ γὰρ ἂν οὐ φρενήρεες εἴημεν ἐγώ τε καὶ Σόλων
ὁ Ἀθηναῖος, πλώσαντες μὲν ἐς Κρήτην κατὰ ⟨τὴν⟩ τῶν κεῖθι
ἱστορίην, πλώσαντες δὲ ἐς Αἴγυπτον ὁμιλήσοντες τοῖς ἐκείνηι ὅσοι
ἱερέες τε καὶ ἀστρονόμοι, παρὰ σὲ δὲ μὴ πλώσαιμεν. ἥξει γὰρ
καὶ ὁ Σόλων, ἢν ἐπιτρέπηις. σὺ μέντοι χωροφιλέων ὀλίγα φοι- 44
τέεις ἐς Ἰωνίην, οὐδέ σε ποθῆι ἴσχει ἀνδρῶν ξείνων· ἀλλ' ὡς ἔλ-
πομαι, ἑνὶ μούνωι χρήματι πρόσκεαι τῆι γραφῆι. ἡμεῖς δὲ οἱ μηδὲν
γράφοντες περιχωρέωμεν τήν τε Ἑλλάδα καὶ Ἀσίην.

Θαλῆς Σόλωνι.

ὑπαποστὰς ἐξ Ἀθηνέων δοκέεις ἄν μοι ἁρμοδιώτατα ἐν Μι-
λήτωι οἶκον ποιέεσθαι παρὰ τοῖς ἀποίκοις ὑμέων· καὶ γὰρ ἐνταῦθά
τοι δεινὸν οὐδέν. εἰ δὲ ἀσχαλήσεις ὅτι καὶ Μιλήσιοι τυραννευό-
μεθα — ἐχθαίρεις γὰρ πάντας αἰσυμνήτας — ἀλλὰ τέρποι' ἂν
σὺν τοῖς ἑταίροις ἡμῖν καταβιούς. ἐπέστειλε δὲ σοὶ καὶ Βίης ἥκειν
ἐς Πριήνην· σὺ δέ, εἰ προσηνέστερόν τοι τὸ Πριηνέων ἄστυ, κεῖθι
οἰκέειν, καὶ αὐτοὶ παρὰ σὲ οἰκήσομεν.

---

6 ἐς F ξ**ηνας B¹ 7 ἢ P¹ (cf. Herod. IX 26): μᾶλλον ἢ B: καὶ μᾶλλον ἢ F¹P² 8 ῥῆμα Emperius, at cf. v. 16 fortasse ὡς οὐδὲν ὄφελος cf. Diog. IX 40 9 λεσχηνώτης libri: λεσχηνευτὴς Scaliger; illud retinui et in Anaximenis vita ter traditum neque analogia destitutum cf. Lobeckii Rhemat. p. 204 11 ante πλώσαντες add. εἰ Casaubonus ἐς PF: εἰς B τὴν τῶν Menagius: τῶν libri 12 ὁμιλήσοντες P et (ὁ superscripto et, ex corr.) B: ὁμιλήσαντες F ἐκεῖ Cobet 13 τε superscr. F ἀστρολόγοι F πλώσαιμεν PF: πλώσεμεν B: πλωσόμενοι Bywater: del. rectius Cobetus 14 ὁ om. F 16 ἡμέες Menagius 17 περιχωρέωμεν B: περιχορεύομεν P: περιχωρέομεν F καὶ τὴν ἀσίην F 19 ἀθηνέων P²: ἀθηναίων BP¹F δοκέ*οις F ἁρμοδιώτατα om. P 20 ἐνταῦθα sic libri 21 τυραννευόμεθα B: τυραννεόμεθα PF 22 πάντως Bergk αἰσυμίντας, ιν in ras., B τέρποι' scripsi: τρέποι' B: τέρποιο, sed τερπ in ras., PF ἑταίροις P: ἑτέροις B: ἑτάροις F 23 δέ τοι Menagius 24 κεῖθι P: κειοι B: *κεῖθι F 25 οἰκήσωμεν BF

2. Suidas.

Θαλῆς Ἐξαμύου καὶ Κλεοβουλίνης Μιλήσιος, ὡς δὲ Ἡρόδοτος [I 170] *Φοῖνιξ, γεγονὼς πρὸ Κροίσου ἐπὶ τῆς* $\overline{\text{λε}}$ *ὀλυμπιάδος* [640 — 637], *κατὰ δὲ Φλέγοντα* [cf. Mus. Rh. 31, 18²] *γνωριζόμενος ἦδη ἐπὶ τῆς* $\overline{\zeta}$ [752—749]. *ἔγραψε περὶ μετεώρων ἐν ἔπεσι, περὶ ἰσημερίας καὶ ἄλλα πολλά. ἐτελεύτησε δὲ γηραιὸς θεώμενος γυμνικὸν ἀγῶνα, πιληθεὶς δὲ ὑπὸ τοῦ ὄχλου καὶ ἐκλυθεὶς ὑπὸ τοῦ καύματος* [ex Hesychio].

πρῶτος δὲ τὸ τοῦ σοφοῦ ἔσχεν ὄνομα καὶ πρῶτος τὴν ψυχὴν εἶπεν ἀθάνατον, ἐκλείψεις τε καὶ ἰσημερίας κατείληφεν. ἀποφθέγματα δὲ αὐτοῦ πλεῖστα καὶ τὸ θρυλούμενον 'γνῶθι σαυτόν.' τὸ γὰρ 'ἐγγύα πάρα δ' ἄτα' Χίλωνός ἐστι μᾶλλον ἰδιοποιησαμένου αὐτὸ καὶ τὸ 'μηδὲν ἄγαν' [ex Laertio cf. Cedren. I 275, 14]

Θαλῆς ὁ φυσικὸς φιλόσοφος ἐπὶ Δαρείου (1) *προειπὼν τὴν τοῦ ἡλίου ἔκλειψιν.*

3. Schol. Platonis in Remp. 600 A.

Θαλῆς Ἐξαμύου Μιλήσιος, Φοῖνιξ δὲ καθ' Ἡρόδοτον. οὗτος πρῶτος ὠνομάσθη σοφός. εὗρε γὰρ τὸν ἥλιον ἐκλείπειν ἐξ ὑποδρομῆς σελήνης καὶ μικρὰν ἄρκτον αὐτὸς ἔγνω καὶ τὰς τροπὰς πρῶτος Ἑλλήνων καὶ περὶ μεγέθους ἡλίου καὶ φύσεως, ἀλλὰ καὶ ἄψυχα ψυχὴν ἔχειν ὁπωσοῦν ἐκ τῆς μαγνήτιδος καὶ τοῦ ἠλέκτρου. ἀρχὴν δὲ τῶν στοιχείων τὸ ὕδωρ. τὸν δὲ κόσμον ἔμψυχον ἔφη καὶ δαιμόνων πλήρη. ἐπαιδεύθη ἐν Αἰγύπτῳ ὑπὸ τῶν ἱερέων. τούτου τὸ γνῶθι σαυτόν. ἐτελεύτησε δὲ μονήρης γηραιὸς γυμνικὸν ἀγῶνα θεώμενος ὑπὸ καύματος ἐκλυθείς [ex Hesychio].

4. Herodot. I 170 *χρηστὴ δὲ καὶ πρὶν ἢ διαφθαρῆναι Ἰωνίην Θάλεω ἀνδρὸς Μιλησίου ἐγένετο* [sc. *ἡ γνώμη*], *τὸ ἀνέκαθεν γένος ἐόντος Φοινικος, ὃς ἐκέλευε ἓν βουλευτήριον Ἴωνας ἐκτῆσθαι, τὸ δὲ εἶναι ἐν Τέῳ* (*Τέων γὰρ μέσον εἶναι Ἰωνίης*), *τὰς δὲ ἄλλας πόλιας οἰκεομένας μηδὲν ἧσσον νομίζεσθαι κατάπερ εἰ δῆμοι εἶεν.* cf. I 146 de Cadmeis Ioniae et imprimis Mileti conditionibus.

5. Idem I 74 (bellum inter Alyatten et Cyaxaren) *διαφέρουσι δέ σφι ἐπ' ἴσης τὸν πόλεμον τῶι ἕκτωι ἔτει συμβολῆς γενομένης συνήνεικε ὥστε τῆς μάχης συνεστεώσης τὴν ἡμέρην ἐξαπίνης νύκτα γενέσθαι. τὴν δὲ μεταλλαγὴν ταύτην τῆς ἡμέρης Θαλῆς ὁ Μιλήσιος τοῖσι Ἴωσι προηγόρευσε ἔσεσθαι, οὖρον προθέμενος ἐνιαυτὸν τοῦτον ἐν τῶι δὴ καὶ ἐγένετο ἡ μεταβολή.* Clem. Strom. I 65 p. 354 P. *Θαλῆν δὲ Εὔδημος ἐν ταῖς Ἀστρολογικαῖς ἱστορίαις τὴν γενομένην ἔκλειψιν τοῦ ἡλίου προειπεῖν φησι, καθ' οὓς χρόνους συνῆψαν μάχην*

πρὸς ἀλλήλους Μῆδοί τε καὶ Λυδοὶ βασιλεύοντος Κυαξάρους μὲν τοῦ Ἀστυάγους πατρὸς Μήδων, Ἀλυάττου δὲ τοῦ Κροίσου Λυδῶν . . . εἰσὶ δὲ οἱ χρόνοι ἀμφὶ τὴν ν̄ ὀλυμπιάδα [580—77] (extrema ex Tatiano 41 *περὶ τῆς τῶν ἑπτὰ σοφῶν ἡλικίας ἀναγράψομεν· τοῦ γὰρ πρεσβυτάτου τῶν προειρημένων Θάλητος γενομένου περὶ τὴν πεντηκοστὴν ὀλυμπιάδα* cf. Eus. Chr. Ol. 50 [Cyrill. c. Iul. I p. 13 E]). PLIN. N. H. II 53 *apud Graecos autem investigavit* [sc. defectus rationem] *primus omnium Thales Milesius olympiadis* XLVIII *anno quarto* [585/4 a. Chr.] *praedicto solis defectu qui Alyatte rege factus est urbis conditae* CLXX. EUSEB. Chron. (Hieron.) *solis facta defectio, cum futuram eam Thales ante dixisset, Alyattes et Astyages dimicaverunt* a. Abr. 1432 [585 a. Chr.]; 1433 [584] Arm. — Recentes astronomi plerique ponunt defectum 28. Maii 585 cf. Ginzel *Spez. Kanon* Berl. 1899 p. 171.

6. HEROD. I 75 *ὡς δὲ ἀπίκετο ἐπὶ τὸν Ἅλυν ποταμὸν ὁ Κροῖσος τὸ ἐνθεῦτεν, ὡς μὲν ἐγὼ λέγω, κατὰ τὰς ἐούσας γεφύρας διεβίβασε τὸν στρατόν, ὡς δὲ ὁ πολλὸς λόγος Ἑλλήνων, Θαλῆς οἱ ὁ Μιλήσιος διεβίβασε. ἀπορέοντος γὰρ Κροίσου, ὅκως οἱ διαβήσεται τὸν ποταμὸν ὁ στρατός . . . λέγεται παρεόντα τὸν Θαλῆν ἐν τῶι στρατοπέδωι ποιῆσαι αὐτῶι τὸν ποταμὸν ἐξ ἀριστερῆς χειρὸς ῥέοντα τοῦ στρατοῦ καὶ ἐκ δεξιῆς ῥέειν, ποιῆσαι δὲ ὧδε· ἄνωθεν τοῦ στρατοπέδου ἀρξάμενον διώρυχα βαθέαν ὀρύσσειν ἄγοντα μηνοειδέα, ὅκως ἂν τὸ στρατόπεδον ἱδρυμένον κατὰ νώτου λάβοι, ταύτηι κατὰ τὴν διώρυχα ἐκτραπόμενος ἐκ τῶν ἀρχαίων ῥεέθρων καὶ αὖτις παραμειβόμενος τὸ στρατόπεδον ἐς τὰ ἀρχαῖα ἐσβάλλοι. ὥστε ἐπείτε καὶ ἐσχίσθη τάχιστα ὁ ποταμός, ἀμφοτέρηι διαβατὸς ἐγένετο.*

7. EUSEB. Chron. graece ap. Cyrill. c. Iul. I p. 12 *τριακοστῆι πέμπτηι ὀλυμπιάδι* [640—37] *Θ. Μιλήσιος πρῶτος φυσικὸς φιλόσοφος γενέσθαι λέγεται, παρατείνεσθαι δὲ τὴν ζωὴν αὐτοῦ φασιν ἕως πεντηκοστῆς ὀγδόης ὀλ.* [548—5]; Hieron. (AP) Ol. 35, 1 [640], Armen. Ol. 35, 2 [639] olympiadis annum definiunt pro mortis epocha ol. 58 [sic etiam Hieron.] Arm. habet ol. 48 [588—5], sed idem sub lemmate *Thales moritur* Ol. 58, 1 (ut Hier. APSR [cet. 58, 2]). ABULFARAGIUS p. 33 Pococke: *tradit Cyrillus in libro suo quo respondet Iuliano . . . fuisse Thaletem ante initium regni Nebuchadnesaris* XXVIII *annis. dicit autem Porphyrius floruisse Thaletem post Nebuchadnesarem* CXXIII *annis.* cum Cyrilli epocha constet (Ol. 35 cf. supra), Nebucadnesaris annus unde Arabs proficiscitur est Ol. 42 [612—9]. ergo Porphyrii epocha incideret in ol. 72, 73 [489—486], quod absurdum. unde Rōper Arabum confusione regum cognominum [Bochtenasr I et II] nisus Nabonassaris aeram [ergo 747—123 = 624] intellexit. quem olim secutus sum cf. ad p. 9, 6. lenius Unger correcto numero CXXIII in XXIII epocham Porphyrii in 582 posuit. at cum initium Nebucadnesaris sec. Abulfaragium incidat in Ol. 42, Porphyrii epocha erit Ol. 47. 48 [589—6]. ergo veri simile est *ἀκμὴν* [*floruisse*] sec. illum poni in Ol. 48, 4 (solis defectionis anno, de quo cf. n. 5).

8. *Ἐκλογὴ Ἱστοριῶν* Parisina [Cramer An. Par. II 263 cf. Leo Bekkeri p. 36, 4] sub sexto Ezeciae anno: *κατὰ τούτους τοὺς χρόνους Θ. Μιλήσιος ἐν Τενέδωι ἀπέθανε καὶ Σίβυλλα Ἐρυθραία ἐγνωρίζετο.* ecloga non Eusebiana incerti est auctoris [Africani sec. Gelzer *Africanus* II 154; aliter 315], unde etiam CHRON. pasch. 214, 20 Bekk. sub Ezeciae anno 5 (ol. 10, 3) *τούτωι τῶι ἔτει Θ. ὁ*

Μιλήσιος φιλόσοφος ἐν Τενέδωι ἀπέθανεν. Sibylla Erythraea in Eusebio iuxta Ezechiam Ol. 9, 3 collocatur. de huius epochae natura cf. Phlegon supra p. 12 n. 2. Tenedum propter Cleostratum (v. p. 18) scholae astronomicae quasi diadochum fictam esse vidit Wilamowitz.

9. PLATO Theaet. 174A. *ὥσπερ καὶ Θαλῆς ἀστρονομοῦντα καὶ ἄνω βλέποντα, πεσόντα εἰς φρέαρ, Θρᾷττά τις ἐμμελὴς καὶ χαρίεσσα θεραπαινὶς ἀποσκῶψαι λέγεται, ὡς τὰ μὲν ἐν οὐρανῶι προθυμοῖτο εἰδέναι, τὰ δ' ἔμπροσθεν αὐτοῦ καὶ παρὰ πόδας λανθάνοι αὐτόν.*

10. ARISTOT. Pol. A 11 1259a6 *πάντα γὰρ ὠφέλιμα ταῦτ' ἐστὶ τοῖς τιμῶσι τὴν χρηματιστικήν, οἷον καὶ τὸ Θάλεω τοῦ Μιλησίου. τοῦτο γάρ ἐστι κατανόημά τι χρηματιστικόν, ἀλλ' ἐκείνωι μὲν διὰ τὴν σοφίαν προσάπτουσι. τυγχάνει δὲ καθόλου τι ὄν. ὀνειδιζόντων γὰρ αὐτῶι διὰ τὴν πενίαν ὡς ἀνωφελοῦς τῆς φιλοσοφίας οὔσης, κατανοήσαντά φασιν αὐτὸν ἐλαιῶν φορὰν ἐσομένην ἐκ τῆς ἀστρολογίας, ἔτι χειμῶνος ὄντος εὐπορήσαντα χρημάτων ὀλίγων ἀρραβῶνας διαδοῦναι τῶν ἐλαιουργείων τῶν τ' ἐν Μιλήτωι καὶ Χίωι πάντων ὀλίγου μισθωσάμενον ἅτ' οὐδενὸς ἐπιβάλλοντος. ἐπειδὴ δ' ὁ καιρὸς ἦκε, πολλῶν ζητουμένων ἅμα καὶ ἐξαίφνης ἐκμισθοῦντα ὃν τρόπον ἠβούλετο, πολλὰ χρήματα συλλέξαντα ἐπιδεῖξαι, ὅτι ῥάιδιόν ἐστι πλουτεῖν τοῖς φιλοσόφοις, ἂν βούλωνται, ἀλλ' οὐ τοῦτ' ἔστι περὶ ὃ σπουδάζουσιν.*

11. PLUT. Sol. 2 *καὶ Θαλῆν δέ φασιν ἐμποριαι χρήσασθαι καὶ Ἱπποκράτην τὸν μαθηματικόν, καὶ Πλάτωνι τῆς ἀποδημίας ἐφόδιον ἐλαίου τινὸς ἐν Αἰγύπτωι διάθεσιν γενέσθαι.* de Is. et Osir. 34 *οἴονται δὲ καὶ Ὅμηρον ὥσπερ Θαλῆ μαθόντα παρ' Αἰγυπτίων ὕδωρ ἀρχὴν ἁπάντων καὶ γένεσιν τίθεσθαι.* IOSEPH. c. Ap. I 2 *ἀλλὰ μὴν καὶ τοὺς περὶ τῶν οὐρανίων τε καὶ θείων πρώτους παρ' Ἕλλησι φιλοσοφήσαντας οἷον Φερεκύδην τε τὸν Σύριον καὶ Πυθαγόραν καὶ Θάλητα πάντες συμφώνως ὁμολογοῦσιν Αἰγυπτίων καὶ Χαλδαίων γενομένους μαθητὰς ὀλίγα συγγράψαι καὶ ταῦτα τοῖς Ἕλλησιν εἶναι δοκεῖ πάντων ἀρχαιότατα καὶ μόλις αὐτὰ πιστεύουσιν ὑπ' ἐκείνων γεγράφθαι.* AËTIUS de plac. I 3, 1 [Dox. 276] *φιλοσοφήσας ἐν Αἰγύπτωι ἦλθεν εἰς Μίλητον πρεσβύτερος.* IAMBL. V. Pythag. 12 *προετρέψατο* [Thales] *τὸν Πυθαγόραν εἰς Αἴγυπτον διαπλεῦσαι καὶ τοῖς ἐν Μέμφιδι καὶ Διοσπόλει μάλιστα συμβαλεῖν ἱερεῦσι· παρὰ γὰρ ἐκείνων καὶ ἑαυτὸν ἐφωδιάσθαι ταῦτα, δι' ἃ σοφὸς παρὰ τοῖς πολλοῖς νομίζεται.* PROCL. in Eucl. 65, 3 [ex Eudemo] *ὥσπερ οὖν παρὰ τοῖς Φοίνιξιν διὰ τὰς ἐμπορείας καὶ τὰ συναλλάγματα τὴν ἀρχὴν ἔλαβεν ἡ τῶν ἀριθμῶν ἀκριβὴς γνῶσις, οὕτω δὴ καὶ παρ' Αἰγυπτίοις ἡ γεωμετρία διὰ τὴν εἰρημένην αἰτίαν εὑρηται. Θαλῆς δὲ πρῶτον εἰς Αἴγυπτον ἐλθὼν μετήγαγεν εἰς τὴν Ἑλλάδα τὴν θεωρίαν ταύτην καὶ πολλὰ μὲν αὐτὸς εὗρεν, πολλῶν δὲ τὰς ἀρχὰς τοῖς μετ' αὐτὸν ὑφηγήσατο τοῖς μὲν καθολικώτερον ἐπιβάλλων, τοῖς δὲ αἰσθητικώτερον.*

DOCTRINAE.

12. ARISTOT. Metaphys. A 3. 983b18 *τὸ μέντοι πλῆθος καὶ τὸ εἶδος τῆς τοιαύτης ἀρχῆς οὐ τὸ αὐτὸ πάντες λέγουσιν, ἀλλα Θαλῆς μὲν ὁ τῆς τοιαύτης ἀρχηγὸς φιλοσοφίας ὕδωρ εἶναί φησιν (διο καὶ τὴν γῆν ἐφ' ὕδατος ἀπεφαίνετο εἶναι), λαβὼν ἴσως τὴν ὑπόληψιν ταύτην ἐκ τοῦ πάντων ὁρᾶν τὴν τροφὴν*

ὑγρὰν οὖσαν καὶ αὐτὸ τὸ θερμὸν ἐκ τούτου γιγνόμενον καὶ τούτῳ ζῶν (τὸ δ' ἐξ οὗ γίγνεται, τοῦτ' ἐστὶν ἀρχὴ πάντων), διά τε δὴ τοῦτο τὴν ὑπόληψιν λαβὼν ταύτην καὶ διὰ τὸ πάντων τὰ σπέρματα τὴν φύσιν ὑγρὰν ἔχειν, τὸ δ' ὕδωρ ἀρχὴ τῆς φύσεώς ἐστι τοῖς ὑγροῖς. εἰσὶ δέ τινες οἳ καὶ τοὺς παμπαλαίους καὶ πολὺ πρὸ τῆς νῦν γενέσεως καὶ πρώτους θεολογήσαντας οὕτως οἴονται περὶ τῆς φύσεως ὑπολαβεῖν· Ὠκεανόν τε γὰρ καὶ Τηθὺν ἐποίησαν τῆς γενέσεως πατέρας, καὶ τὸν ὅρκον τῶν θεῶν ὕδωρ, τὴν καλουμένην ὑπ' αὐτῶν Στύγα τῶν ποιητῶν· τιμιώτατον μὲν γὰρ τὸ πρεσβύτατον, ὅρκος δὲ τὸ τιμιώτατόν ἐστιν.

13. Simpl. Phys. 23, 21 [ex Theophrasti Phys. Dox. fr. 1. Doxogr. 475, 1] τῶν δὲ μίαν καὶ κινουμένην λεγόντων τὴν ἀρχήν, οὓς καὶ φυσικοὺς ἰδίως καλεῖ [Aristoteles] οἱ μὲν πεπερασμένην αὐτήν φασιν, ὥσπερ Θαλῆς μὲν Ἑξαμύου Μιλήσιος καὶ Ἵππων, ος δοκεῖ καὶ ἄθεος γεγονέναι, ὕδωρ ἔλεγον τὴν ἀρχὴν ἐκ τῶν φαινομένων κατὰ τὴν αἴσθησιν εἰς τοῦτο προαχθέντες· καὶ γὰρ τὸ θερμὸν τῶι ὑγρῶι ζῆι καὶ τὰ νεκρούμενα ξηραίνεται καὶ τὰ σπέρματα πάντων ὑγρὰ καὶ ἡ τροφὴ πᾶσα χυλώδης· ἐξ οὗ δέ ἐστιν ἕκαστα τούτωι καὶ τρέφεσθαι πέφυκε· τὸ δὲ ὕδωρ ἀρχὴ τῆς ὑγρᾶς φύσεώς ἐστι καὶ συνεκτικὸν πάντων· διὸ πάντων ἀρχὴν ὑπέλαβον εἶναι τὸ ὕδωρ καὶ τὴν γῆν ἐφ' ὕδατος ἀπεφήναντο κεῖσθαι.

14. Arist. de caelo B 13. 294ᵃ28 οἱ δ' ἐφ' ὕδατος κεῖσθαι [sc. τὴν γῆν]. τοῦτον γὰρ ἀρχαιότατον παρειλήφαμεν τὸν λόγον, ὃν φασιν εἰπεῖν Θαλῆν τὸν Μιλήσιον ὡς διὰ τὸ πλωτὴν εἶναι μένουσαν ὥσπερ ξύλον ἢ τι τοιοῦτον ἕτερον (καὶ γὰρ τούτων ἐπ' ἀέρος μὲν οὐθὲν πέφυκε μένειν, ἀλλ' ἐφ' ὕδατος), ὥσπερ οὐ τὸν αὐτὸν λόγον ὄντα περὶ τῆς γῆς καὶ τοῦ ὕδατος τοῦ ὀχοῦντος τὴν γῆν.

15. Seneca Nat. Quaest. III 14 *Thaletis inepta sententia est. ait enim terrarum orbem aqua sustineri et vehi more navigii mobilitateque eius fluctuare tunc cum dicitur tremere* (e Posidonio cf. VI 6).

16. Herod. II 20 Graecarum de Nili inundatione opinionum ἡ ἑτέρη μὲν λέγει τοὺς ἐτησίας ἀνέμους εἶναι αἰτίους πληθύειν τὸν ποταμὸν κωλύοντας ἐς θάλασσαν ἐκρέειν τὸν Νεῖλον (significatur Thales cf. Dox. 228).

17. Dercyllides ap. Theon. astr. 198, 14 H. Εὔδημος ἱστορεῖ ἐν ταῖς Ἀστρολογίαις, ὅτι Οἰνοπίδης εὗρε πρῶτος τὴν τοῦ ζωιδιακοῦ διάζωσιν [l. λόξωσιν] καὶ τὴν τοῦ μεγάλου ἐνιαυτοῦ περίστασιν, Θαλῆς δὲ ἡλίου ἔκλειψιν καὶ τὴν κατὰ τὰς τροπὰς αὐτοῦ περιοδον, ὡς οὐχ ἴση ἀεὶ συμβαίνει.

18. Plin. N. H. XVIII 213 *occasum matutinum Vergiliarum Hesiodus (nam huius quoque nomine exstat Astrologia) tradidit fieri, cum aequinoctium autumni conficeretur Thales XXV. die ab aequinoctio, Anaximander XXIX., Euctemon XLVIII.* cf. p. 17 B 1.

19. Apuleius Flor. 18 *Thales Milesius ex septem illis sapientiae memoratis viris facile praecipuus . . . maximas res parvis lineis repperit: temporum ambitus, ventorum flatus, stellarum meatus, tonitruum sonora miracula, siderum obliqua curricula, solis annua reverticula, idem lunae vel nascentis incrementa*

vel senescentis dispendia vel delinquentis obstiticula. idem sane iam proclivi senectute divinam rationem de sole commentus est, quam equidem non didici modo, verum etiam experiundo comprobavi, quotiens sol magnitudine sua circulum quem permeat metiatur. id a se recens inventum Thales memoratur edocuisse Mandraytum [l. *Mandrolytum*] *Prienensem, qui nova et inopinata cognitione impendio delectatus optare iussit quantam vellet mercedem sibi pro tanto documento rependi: 'satis' inquit 'mihi fuerit mercedis' Thales sapiens, 'si id quod a me didicisti cum perferre ad quosdam coeperis, tibi non adsciveris, sed eius inventi me potius quam alium repertorem praedicaveris.'*

20. Procl. in Eucl. 157, 10 (ex Eudemo) *τὸ μὲν οὖν διχοτομεῖσθαι τὸν κύκλον ὑπὸ τῆς διαμέτρου πρῶτον Θαλῆν ἐκεῖνον ἀποδεῖξαί φασιν.* 250, 20 *τῶι μὲν οὖν Θαλῆι τῶι παλαιῶι πολλῶν τε ἄλλων εὑρέσεως ἕνεκα καὶ τοῦδε τοῦ θεωρήματος χάρις. λέγεται γὰρ δὴ πρῶτος ἐκεῖνος ἐπιστῆσαι καὶ εἰπεῖν, ὡς ἄρα παντὸς ἰσοσκελοῦς αἱ πρὸς τῇ βάσει γωνίαι ἴσαι εἰσίν, ἀρχαϊκώτερον δὲ τὰς ἴσας ὁμοίας προσειρηκέναι.* 299, 1 *τοῦτο τοίνυν τὸ θεώρημα δείκνυσιν, ὅτι δύο εὐθειῶν ἀλλήλας τεμνουσῶν αἱ κατὰ κορυφὴν γωνίαι ἴσαι εἰσίν, εὑρημένον μέν, ὥς φησιν Εὔδημος, ὑπὸ Θαλοῦ πρώτου.* 352, 14 *Εὔδημος δὲ ἐν ταῖς Γεωμετρικαῖς ἱστορίαις εἰς Θαλῆν τοῦτο ἀνάγει τὸ θεώρημα* [triangulorum identitatem, si bini anguli et singula latera eadem sunt]*· τὴν γὰρ τῶν ἐν θαλάττηι πλοίων ἀπόστασιν, δι' οὗ τρόπου φασὶν αὐτὸν δεικνύναι, τούτωι προσχρῆσθαί φησιν ἀναγκαῖον.*

21. Plin. H. Nat. 36, 82 *mensuram altitudinis earum* [scil. pyramidum] *deprehendere invenit Th. Milesius umbram metiendo qua hora par esse corpori solet* (cf. Hieronym. supra p. 5, 14). Plut. conv. vii sap. 2 p. 147 A. *τὴν βακτηρίαν στήσας ἐπὶ τῶι πέρατι τῆς σκιᾶς ἣν ἡ πυραμὶς ἐποίει, γενομένων τῆι ἐπαφῆι τῆς ἀκτῖνος δυοῖν τριγώνων ἔδειξας, ὃν ἡ σκιὰ πρὸς τὴν σκιὰν λόγον εἶχε, τὴν πυραμίδα πρὸς τὴν βακτηρίαν ἔχουσαν.*

22. Arist. de anima A 5. 411a7 *καὶ ἐν τῶι ὅλωι δέ τινες αὐτὴν* [sc. *τὴν ψυχήν*] *μεμεῖχθαί φασιν, ὅθεν ἴσως καὶ Θ. ᾠήθη πάντα πλήρη θεῶν εἶναι.* ib. A 2. 405a19 *ἔοικε δὲ καὶ Θ., ἐξ ὧν ἀπομνημονεύουσι, κινητικόν τι τὴν ψυχὴν ὑπολαβεῖν, εἴπερ τὸν λίθον ἔφη ψυχὴν ἔχειν, ὅτι τὸν σίδηρον κινεῖ.*

23. Aët. I 7, 11 (D. 301) *Θ. νοῦν τοῦ κόσμου τὸν θεόν, τὸ δὲ πᾶν ἔμψυχον ἅμα καὶ δαιμόνων πλῆρες· διήκειν δὲ καὶ διὰ τοῦ στοιχειώδους ὑγροῦ δύναμιν θείαν κινητικὴν αὐτοῦ.*

Apophthegmata (cf. Diog. § 35 sqq. p. 8, 11).

24. Plato Protag. 343 A *τούτων* [sc. *τῶν φιλοσόφως λακωνιζόντων*] *ἦν καὶ Θαλῆς ὁ Μιλήσιος καὶ Πιττακὸς ὁ Μυτιληναῖος καὶ Βίας ὁ Πριηνεὺς καὶ Σόλων ὁ ἡμέτερος καὶ Κλέοβουλος ὁ Λίνδιος καὶ Μύσων ὁ Χηνεὺς καὶ ἕβδομος ἐν τούτοις ἐλέγετο Λακεδαιμόνιος Χίλων· οὗτοι πάντες ζηλωταὶ καὶ ἐρασταὶ καὶ μαθηταὶ ἦσαν τῆς Λακεδαιμονίων πολιτείας· καὶ καταμάθοι ἄν τις αὐτῶν τὴν σοφίαν τοιαύτην οὖσαν ῥήματα βραχέα ἀξιομνημόνευτα ἑκάστωι εἰρημένα· ἃ οὗτοι καὶ κοινῆι ξυνελθόντες ἀπαρχὴν τῆς σοφίας ἀνέθεσαν τῶι Ἀπόλλωνι εἰς τὸν νεὼν τὸν ἐν Δελφοῖς, γράψαντες ταῦτα, ἃ δὴ πάντες*

ὑμνοῦσι; Γνῶθι σαυτόν καὶ Μηδὲν ἄγαν. τοῦ δὴ ἕνεκα ταῦτα λέγω; ὅτι οὗτος ὁ τρόπος ἦν τῶν παλαιῶν τῆς φιλοσοφίας, βραχυλογία τις Λακωνική.

25. Stob. flor. 1, 172 Hense *Δημητρίου Φαληρέως τῶν ἑπτὰ σοφῶν ἀποφθέγματα. δ. Θ. Ἑξαμύου Μιλήσιος ἔφη·* 1. *ἐγγύα, πάρα δ' ἄτα.* 2. *φίλων παρόντων καὶ ἀπόντων μέμνησο* [Laert. § 37]. 3. *μὴ τὴν ὄψιν καλλωπίζου, ἀλλ' ἐν τοῖς ἐπιτηδεύμασιν ἴσθι καλός* [ibid.]. 4. *μὴ πλούτει κακῶς.* 5. *μή σε διαβαλλέτω λόγος πρὸς τοὺς πίστεως κεκοινωνηκότας* [4. 5 coniungit Laert. ib.]. 6. *κολακεύειν γονεῖς μὴ ὄκνει.* 7. *μὴ προσδέχου τὸ φαῦλον* [*πατρὸς λοιδορίαν μὴ προσδέχου· φαῦλον γάρ* gnom. Boissonadii cod. Par. 1630]. 8. *οἵους ἂν ἑράνους ἐνέγκῃς τοῖς γονεῦσι, τοιούτους αὐτὸς ἐν τῷ γήρᾳ παρὰ τῶν τέκνων προσδέχου* [*οἵους—τοιούτους* Maximus; *οἵους—τούτους* Stob.: *οὕς—τοὺς αὐτοὺς* Laert., Paris. *εἰσενέγκῃς* Laert., Paris. ceterum est flos Demosthenicus cf. 21, 101 = 184]. 9. *χαλεπὸν τὸ ἑαυτὸν γνῶναι* [*τὸ εὖ* Stob.; Vatic. 742: *ἑαυτὸν* Stob. (Brux.), Paris.; cf. Laert. § 36]. 10. *ἥδιστον οὖ ἐπιθυμεῖς τυχεῖν* [*οὗ ἐπιθ.* Paris.; *τοῦ ἐπιθυμίας* Stob. A[1]]; ut 1 et 9 ex Pythii templi, sic 10 ex Delii Letoi vestibulo translata (cf. Ar. Eth. Nic. 1099[b] 27. Eudem. 1214[a]5. Theogn. 256. Sophocl. ap. Stob. flor. 103, 15). 11—13. *ἀνιαρὸν ἀργία, βλαβερὸν ἀκρασία, βαρὺ ἀπαιδευσία.* 14. *δίδασκε καὶ μάνθανε τὸ ἄμεινον.* 15. *ἀργὸς μὴ ἴσθι μηδ' ἂν πλουτῇς.* 16. *κακὰ ἐν οἴκῳ κρύπτε* [*τὰ καλά* Paris. 1630]. 18. *φθονοῦ μᾶλλον ἢ οἰκτίρου* [*φθόνου χάριν μὴ οἰκτείρου* Stob.: correxi cl. Pind. P. I 85. Herod. 3, 52]. 18. *μέτρωι χρῶ.* 19. *μὴ πᾶσι πίστευε.* 20. *ἄρχων κόσμει σεαυτόν.*

B. THALETIS QUAE FEREBANTUR SCRIPTA.

1. *ΝΑΥΤΙΚΗ ΑΣΤΡΟΛΟΓΙΑ*

Diog. I 23 [cf. supra p. 3, 11] *κατά τινας μὲν σύγγραμμα κατέλιπεν οὐδέν· ἡ γὰρ εἰς αὐτὸν ἀναφερομένη Ναυτικὴ ἀστρολογία Φώκου λέγεται εἶναι τοῦ Σαμίου. Καλλίμαχος δ' αὐτὸν οἶδεν εὑρετὴν τῆς ἄρκτου τῆς μικρᾶς λέγων ἐν τοῖς Ἰάμβοις οὕτως· 'καὶ τῆς ἁμάξης ἐλέγετο σταθμήσασθαι τοὺς ἀστερίσκους ἧι πλέουσι Φοίνικες'.* Simpl. phys. 23, 29 *Θ. δὲ πρῶτος παραδέδοται τὴν περὶ φύσεως ἱστορίαν τοῖς Ἕλλησιν ἐκφῆναι, πολλῶν μὲν καὶ ἄλλων προγεγονότων, ὡς καὶ τῶι Θεοφράστωι* [Phys. dox. 1, D. 475] *δοκεῖ, αὐτὸς δὲ πολὺ διενεγκὼν ἐκείνων ὡς ἀποκρύψαι πάντας τοὺς πρὸ αὐτοῦ. λέγεται δὲ ἐν γραφαῖς μηδὲν καταλιπεῖν πλὴν τῆς καλουμένης Ναυτικῆς ἀστρολογίας.* Suid. [cf. p. 12 n. 2] *ἔγραψε περὶ μετεώρων ἐν ἔπεσι.* Plut. Pyth. or. 18. 402 E *πρότερον μὲν ἐν ποιήμασιν ἐξέφερον οἱ φιλόσοφοι τὰ δόγματα καὶ τοὺς λόγους ὥσπερ Ὀρφεὺς καὶ Ἡσίοδος καὶ Παρμενίδης καὶ Ξενοφάνης καὶ Ἐμπεδοκλῆς* [*καὶ Θαλῆς*]. . . . *οὐδὲ ἀστρολογίαν ἀδοξοτέραν ἐποίησαν οἱ περὶ Ἀρίσταρχον καὶ Τιμόχαριν καὶ Ἀρίστυλλον καὶ Ἵππαρχον καταλογάδην γράφοντες, ἐν μέτροις πρότερον Εὐδόξου καὶ Ἡσιόδου καὶ Θαλοῦ γραφόντων, εἴ γε Θ. ἐποίησεν ὡς ἀληθῶς τὴν εἰς αὐ-*

τὸν ἀναφερομένην Ἀστρολογίαν. hoc sexti saeculi carmen fuit astrorum catalogus in ionicorum nautarum usum compositum anonymum, cui postea nomina nobilia fuere indita. similia Cleostrati et Hesiodi q. f. ἀστρονομία. cf. A 18. mathematici libri indicium habes A 20.

2. ΠΕΡΙ ΑΡΧΩΝ ΑΒ

GALEN. in Hipp. de hum. I 1 [XVI 37 K.] Θ. μὲν οὖν καίπερ ἐκ τοῦ ὕδατος φήσας συνεστάναι πάντα, ἀλλ' ὅμως καὶ τοῦτο βούλεται [sc. μεταβάλλειν εἰς ἄλληλα τὰ στοιχεῖα]. ἄμεινον δὲ καὶ αὐτοῦ τὴν ῥῆσιν προσθεῖναι ἐκ τοῦ δευτέρου Περὶ τῶν ἀρχῶν ἔχουσαν ὧδέ πως· 'τὰ μὲν οὖν πολυθρύλητα τέτταρα, ὧν τὸ πρῶτον ὕδωρ εἶναί φαμεν καὶ ὡσανεὶ μόνον στοιχεῖον τίθεμεν, πρὸς σύγκρισίν τε καὶ πήγνυσιν καὶ σύστασιν τῶν ἐγκοσμίων πρὸς ἄλληλα συγκεράννυται. πῶς δέ, ἤδη λέλεκται ἡμῖν ἐν τῶι πρώτωι'. impudenter fictus liber Romana opinor aetate.

3. 4. ΠΕΡΙ ΤΡΟΠΗΣ. ΠΕΡΙ ΙΣΗΜΕΡΙΑΣ

DIOG. I 23 [p. 4, 1] κατά τινας δὲ μόνα δύο συνέγραψε· Περὶ τροπῆς καὶ ἰσημερίας, τα ἄλλ' ἀκατάληπτα εἶναι δοκιμάσας. cf. Suid. p. 12. quia Thales auctor perhibebatur doctrinae de aequinoctio cett. sexto saeculo in Graeciam perlatae (cf. supra p. 4, 10. 12. n. 3), libri in hunc finem postea fraudulenter compositi.

2. CLEOSTRATUS TENEDIUS

TESTIMONIA (cf. Thaletis A 8).

1. THEOPHR. de sign. 4 *διὸ καὶ ἀγαθοὶ γεγένηνται κατὰ τόπους τινὰς ἀστρονόμοι ἔνιοι οἷον Ματριχέτας ἐν Μηθύμνῃ ἀπὸ τοῦ Λεπετύμνου, καὶ Κλεόστρατος ἐν Τενέδῳ ἀπὸ τῆς Ἴδης καὶ Φαεινὸς Ἀθήνησιν ἀπὸ τοῦ Ἀνκαβηττοῦ τὰ περὶ τὰς τροπὰς συνεῖδε.*

2. ARATI VITA 2, 5 p. 324, 10 Maass. *πολλοὶ γὰρ καὶ ἄλλοι* (praeter Aratum) *Φαινόμενα ἔγραψαν καὶ Κλεόστρατος* [*κλεοπάτρης*: corr. Bergk, Meineke] *καὶ Σμίνθης* (v. infra) *καὶ Ἀλέξανδρος ὁ Αἰτωλὸς καὶ Ἀλέξανδρος ὁ Ἐφέσιος καὶ Ἀλέξανδρος ὁ Ἀνκαῖτης καὶ Ἀνακρέων καὶ Ἀρτεμίδωρος καὶ Ἵππαρχος καὶ ἄλλοι πολλοί.*

3. ATHEN. VII 278 A *ὁ δὲ ὀψοδαίδαλος Ἀρχέστρατος ἐν τῇι Γαστρολογίαι (οὕτως γὰρ ἐπιγράφεσθαί φησι Ἀνκόφρων ἐν τοῖς Περὶ κωμωιδίας, ὡς· τὴν Κλεοστράτου τοῦ Τενεδίου Ἀστρολογίαν) περὶ τῆς ἁμίας φησίν.*

ΑΣΤΡΟΛΟΓΙΑ

1.

SCHOL. EURIP. in Rhes. 528 *ὁ μὲν οὖν Παρμενίσκος πρώτα σημεῖά φησι λέγεσθαι τὰς τοῦ σκορπίου πρώτας μοίρας διὰ τὸ ὑπὸ τῶν ἀρχαίων οὕτως αὐτὰς λέγεσθαι, διότι ταύταις ὁ Βοώτης ἅμα ἄρχεται καταδύεσθαι. Κλεόστρατον γοῦν τὸν Τενέδιον ἀρχαῖον * * * οὕτως·*

ἀλλ' ὁπόταν τρίτον ἦμαρ ἐπ' ὀγδώκοντα μένηισι
σκορπίου εἰς ἅλα πίπτει ἅμ' ἠοῖ φαινομένηφι.

versum unum (vel plures) inter 1 et 3 incipientem a voce *σκορπίος* intercidisse credo, quo sec. antiquiorem opinionem *πρῶται μοῖραι* scorpii i. e. Chelae Bootae occasum secum ferre dicebantur (cf. Hipparch. II 2, 20 p. 146, 22 Man.). *σκορπίος* Meinekei et *πέλησι* Schwartzii non sufficiunt. lacunam post alterum versum ponere mavult Wilamowitz, ut subiectum significans *πρώτας μοίρας* (velut *τὰ πρῶτα*) tertii versus initio interciderit: '*at cum* LXXXIII*um diem manserint Scorpii primores partes in mare cadunt*'.

2.

PLIN. h. nat. II 31 *obliquitatem eius* [sc. caeli] *intellexisse, hoc est rerum foras aperuisse, Anaximander Milesius traditur primus olympiade quinquagesima octava* [548—5], *signa deinde in eo Cleostratus et prima arietis et sagittari; sphaeram ipsam ante multo Atlas.* hinc sagittarii Sileni imaginem, ex ionica certe arte ad posteritatem propagatam, e Cleostrati 'sphaera' deduxit Bethe Mus. Rh. LV 428.

3. XENOPHANES COLOPHONIUS

A. TESTIMONIA VITAE CARMINUM DOCTRINAE

Vitae

1. Laertius Diogenes IX 18—20.

*Ξενοφάνης Δεξίου ἢ, ὡς Ἀπολλόδωρος, Ὀρθομένους Κολο-*18
φώνιος ἐπαινεῖται πρὸς τοῦ Τίμωνος· φησὶ γοῦν Ξεινοφάνην — ἐπικόπτην [fr. 40 W.]. *οὗτος ἐκπεσὼν τῆς πατρίδος ἐν Ζάγκλῃ τῆς Σικελίας * * * διέτριβε δὲ καὶ ἐν Κατάνῃ. διήκουσε δὲ κατ' ἐνίους μὲν οὐδενός, (κατ' ἐνίους δὲ Βότωνος Ἀθηναίου ἢ, ὥς τινες, Ἀρχελάου). καί, ὡς Σωτίων φησί, κατ' Ἀναξίμανδρον ἦν. γέγραφε δὲ ἐν ἔπεσι καὶ ἐλεγείας καὶ ἰάμβους καθ' Ἡσιόδου καὶ Ὁμήρου, ἐπικόπτων αὐτῶν τὰ περὶ θεῶν εἰρημένα. ἀλλὰ καὶ αὐτὸς ἐραψῴδει τὰ ἑαυτοῦ. ἀντιδοξάσαι τε λέγεται Θαλῆι καὶ Πυθαγόραι, καθάψασθαι δὲ καὶ Ἐπιμενίδου. μακροβιώτατός τε γέγονεν, ὥς που καὶ αὐτός φησιν· ἤδη—ἑτύμως* [fr. 8].

φησὶ δὲ τέτταρα εἶναι τῶν ὄντων στοιχεῖα, κόσμους δὲ ἀπείρους, οὐ παραλλακτοὺς δέ. τὰ νέφη συνίστασθαι τῆς ἀφ' ἡλίου ἀτμίδος ἀναφερομένης καὶ αἰρούσης αὐτὰ εἰς τὸ περιέχον. οὐσίαν θεοῦ σφαιροειδῆ, μηδὲν ὁμοιον ἔχουσαν ἀνθρώπωι· ὅλον δὲ ὁρᾶν καὶ ὅλον ἀκούειν, μὴ μέντοι ἀναπνεῖν· σύμπαντά τε εἶναι νοῦν καὶ φρόνησιν καὶ ἀίδιον. πρῶτός τε ἀπεφήνατο, ὅτι πᾶν τὸ γινόμενον φθαρτόν ἐστι καὶ ἡ ψυχὴ πνεῦμα·

ἔφη δὲ καὶ τὰ πολλὰ ἥσσω νοῦ εἶναι. καὶ τοῖς τυράννοις

4 lacunam posui, qua etiam Veliae mentionem haustam putat Wilamowitz *δὲ καὶ* BP: *δὲ* del. P¹F 5 *κατ' ἐνίους—Ἀρχελάου* pertinent alio, fort. ad Xenophontem, cuius initia in Archelai, ultimi physicorum, aetatem et Botonis cuius technas Theramenes usurpasse videtur [V. X or. 837 A] incidere dici poterat. cf. A 6 7 *δὲ καὶ ἐν ἔπεσιν ἐλ.* F 13 *οὐ παραλλακτοὺς* BP¹: *ἀπαραλλάκτους* P² 16 *ἀναπνεῖν*] ut Pythagoras docuerat Ar. Phys. *Δ* 6. 213ᵇ23 19 *καὶ τοῖς τυράννοις*] idem de Aesopo Diod. IX 28, simile Callistheni suasisse Aristotelem refert Val. Max. VII 2 extr. 11; Amm. Marc. XVIII 3, 7

ἐντυγχάνειν ἢ ὡς ἥκιστα ἢ ὡς ἥδιστα. Ἐμπεδοκλέους δὲ εἰπόντος 20
αὐτῶι ὅτι ἀνεύρετός ἐστιν ὁ σοφός, 'εἰκότως' ἔφη 'σοφὸν γὰρ εἶναι
δεῖ τὸν ἐπιγνωσόμενον τὸν σοφόν'. φησὶ δὲ Σωτίων πρῶτον αὐ-
τὸν εἰπεῖν ἀκατάληπτα εἶναι τὰ πάντα, πλανώμενος.

ἐποίησε δὲ καὶ Κολοφῶνος κτίσιν καὶ τὸν εἰς Ἐλέαν τῆς Ἰτα-
λίας ἀποικισμὸν ἔτη δισχίλια. καὶ ἤκμαζε κατὰ τὴν ἑξηκοστὴν
ὀλυμπιάδα [540—537]. *φησὶ δὲ Δημήτριος ὁ Φαληρεὺς ἐν τῶι*
Περὶ γήρως καὶ Παναίτιος ὁ Στωικὸς ἐν τῶι Περὶ εὐθυμίας [fr. 17
Fowler] *ταῖς ἰδίαις χερσὶ θάψαι τοὺς υἱεῖς αὐτόν, καθάπερ καὶ*
Ἀναξαγόραν. δοκεῖ δὲ πεπρᾶσθαι ὑπὸ ⟨ καὶ λελύσθαι ὑπὸ⟩ τῶν*
Πυθαγορικῶν Παρμενίσκου καὶ Ὀρεστάδου, καθά φησι Φαβωρῖνος
ἐν Ἀπομνημονευμάτων πρώτωι [fr. 2, FHG III 577]. *γέγονε δὲ καὶ*
ἄλλος Ξενοφάνης Λέσβιος ποιητὴς ἰάμβων.

1 Maxim. 17 p. 585 [XCI 826, 3 Migne] *Ἐμπεδοκλῆς ὁ φυσικὸς πρὸς τὸν*
λέγοντα ὅτι οὐδένα σοφὸν εὑρεῖν δύναμαι 'κατὰ λόγον' εἶπε 'τὸν γὰρ ζη-
τοῦντα σοφὸν αὐτὸν πρότερον εἶναι δεῖ σοφόν' cf. Anton. Mel. I 50 p. 91 [CXXXVI
935 B Migne] 'Io. Dam.' II 141 [Stob. IV 226, 12 Mein.]. haec recensio fortasse
verior ex auctore Laertii nescio quo pacto fluxit in Gnomol. Parisin. 160 Stern-
bach (Act. Ac. Crac. XX p. 152); v. Emped. test.; de Empedoclis cum Xen. com-
mercio cf. infra n. 5 5 *ἐποίησε — δισχίλια* videtur Lobonis fraus Hillero Mus.
Rhen. XXXIII 529; contra Immisch Philol. XLIX 208 10 intercidit nomen
velut Hieronis (nam res ad Platonis exemplar ficta videtur), cetera supplevi.

---

2 Idem IX 21 *Ξενοφάνους δὲ διήκουσε Παρμενίδης Πύρητος Ἐλεάτης.*
τοῦτον Θεόφραστος ἐν τῆι Ἐπιτομῆι [fr. 6a Dox. 482] *Ἀναξιμάνδρου φησὶν*
ἀκοῦσαι. cf. Parmen. testim. A 1.

3. Heraclitus fr. 40 *πολυμαθίη νόον ἔχειν οὐ διδάσκει· Ἡσίοδον γὰρ*
ἂν ἐδίδαξε καὶ Πυθαγόρην αὖτίς τε Ξενοφάνεα καὶ Ἑκαταῖον.

4. Cicero Acad. II 118 (e Theophr.) *Xenophanes paulo etiam antiquior*
(Anaxagora) *unum esse omnia.*

5. Diog. VIII 56 *Ἕρμιππος* [FHG II 42, 27] *οὐ Παρμενίδου, Ξενοφάνους*
δὲ γεγονέναι ζηλωτήν (Empedoclem), *ὡι καὶ συνδιατρῖψαι καὶ μιμήσασθαι τὴν*
ἐποποιίαν (cf. supra v. 1).

6. Lucian. Macrob. 20 *Ξ. ὁ Δεξίνου μὲν υἱός, Ἀρχελάου δὲ τοῦ φυσικοῦ*
μαθητής, ἐβίωσεν ἔτη ἓν καὶ ἐνενήκοντα. error magisterii ut in Diog. § 18
(p. 20, 5); uterque biographo lemmata confundere solito utitur.

7. Censor. 15, 3 *X. Colophonius maior annorum centum fuit.*

8. Clem. Strom. I 353 P. *τῆς Ἐλεατικῆς ἀγωγῆς Ξ. ὁ Κολοφώνιος κατ-*
ήρχει, ὅν φησι Τίμαιος [fr. 92, FHG I 215] *κατὰ Ἱέρωνα τὸν Σικελίας δυνάστην*
καὶ Ἐπίχαρμον τὸν ποιητὴν γεγονέναι, Ἀπολλόδωρος [fr. 77, FHG I 445] *δὲ*

κατὰ τὴν τεσσαρακοστὴν ὀλυμπιάδα [620—61] *γενόμενον, παρατετακέναι ἄχρι Δαρείου τε καὶ Κύρου χρόνων.* ex eodem compendio Sext. adv. math. I 257: *Ξ. Κολοφώνιος ἐγένετο περὶ τὴν τεσσαρακοστὴν ὀλυμπιάδα* [cf. Mus. Rh. 31, 22. v. ad fr. 8].

9. Eus. Chron. a) sub Ol. 56 [556—3] *Ξ. Κολοφώνιος ἐγνωρίζετο* (anni variantur: Arm. Hier. A 2, ceteri 3 et 57, 1. 2). b) sub Ol. 59 [544—1] sec. Cyrill. *Ἴβυκὸς ὁ μελοποιὸς καὶ Φερεκύδης ὁ ἱστοριογράφος καὶ Φωκυλίδης καὶ Ξενοφάνης ὁ φυσικὸς παρωιδιῶν ποιητής* [sic scripsi: *τραγωιδιῶν ποιηταί* Cyr.: *scriptor tragoediarum* Hier. Arm.: *τραγωιδοποιός* Sync.], variatur in ceteris annus: Arm. Ol. 60, 1 Pherecydes; 60, 4 Xenophanes: Hier. 59, 4 Xenoph. (P); 60, 1 (AF) 61, 3 (cett.), vera est ol. 60, 1 [540] cf. Diog. § 20. aliter Eus. P. E. X 14, 14 [cf. XIV 15, 11. 17, 10] *κατὰ δὲ τὸν αὐτὸν τῶι Ἀναξαγόραι χρόνον ἠκμασαν ἄνδρες φυσικοὶ Ξ. τε καὶ Πυθαγόρας ... τὸν δὲ Ξενοφάνην λέγεται ὁ Παρμενίδης διαδέξασθαι* [e diadocharum compendio; Anaxagorae natalis annus et Pythagorae fatalis est ol. 70 [500] sec. Eus. Chron. [Ol. 70, 4 Hier. (APF) vel 69, 3. 70, 2 Arm.].

10. Theol. arithm. p. 40 Ast. *φ γὰρ καὶ ιδ* [numerus corruptus] *ἔτη ἔγγιστα ἀπὸ τῶν Τρωικῶν ἱστορεῖται μέχρι Ξενοφάνους τοῦ φυσικοῦ καὶ τῶν Ἀνακρέοντός τε καὶ Πολυκράτους χρόνων καὶ τῆς ὑπὸ Ἅρπάγου τοῦ Μήδου Ἰώνων πολιορκίας καὶ ἀναστάσεως, ἣν Φωκαεῖς φυγόντες Μασσαλίαν ὤικισαν· πᾶσι γὰρ τούτοις ὁμόχρονος ὁ Πυθαγόρας.*

11. Plut. reg. apophth. p. 175 C [cf. Gnomol. Paris. ed. Sternbach (Act. Ac. Cracov. philol. XX) p. 152] *πρὸς δὲ Ξενοφάνην τὸν Κολοφώνιον εἰπόντα μόλις οἰκέτας δύο τρέφειν· 'ἀλλ' Ὅμηρος' εἶπεν* (Hiero) *'δν σὺ διασύρεις, πλείονας ἢ μυρίους τρέφει τεθνηκώς.'* de Zoilo et Philadelpho idem Vitruv. VII praef.

12. Arist. Rhet. B 23. 1399^{b} 5 *ἄλλος* [sc. *τόπος*] *ἐκ τοῦ, τὸ συμβαῖνον ἐὰν ἦι ταὐτόν, ὅτι καὶ ἐξ ὧν συμβαίνει ταὐτά· οἷον Ξ. ἔλεγεν ὅτι 'ὁμοίως ἀσεβοῦσιν οἱ γενέσθαι φάσκοντες τοὺς θεοὺς τοῖς ἀποθανεῖν λέγουσιν' ἀμφοτέρως γὰρ συμβαίνει μὴ εἶναι τοὺς θεούς ποτε.* apophthegmatice hoc ut proxima.

13. Idem ibid. B 26. 1400^{b} 5 *οἷον Ξ. Ἐλεάταις ἐρωτῶσιν, εἰ θύωσι τῆι Λευκοθέαι καὶ θρηνῶσιν ἢ μή, συνεβούλευεν, εἰ μὲν θεὸν ὑπολαμβάνουσιν, μὴ θρηνεῖν, εἰ δ' ἄνθρωπον, μὴ θύειν.* transformat Plut. Amat. 18, 12. 756 D *Ξ. Αἰγυπτίοις ἐκέλευσε τὸν Ὄσιριν εἰ θνητὸν νομίζουσι μὴ τιμᾶν ὡς θνητόν, εἰ δὲ θεὸν ἡγοῦνται μὴ θρηνεῖν.* de Is. et Os. 70. 379 B *εὖ μὲν οὖν Ξ. ὁ Κολοφώνιος ἠξίωσε τοὺς Αἰγυπτίους, εἰ θεοὺς νομίζουσι, μὴ θρηνεῖν, εἰ δὲ θρηνοῦσι, θεοὺς μὴ νομίζειν.* [similiter de Heraclito Epiphanius Anc. 104 I 206, 10 Dindorf et Aristocritus Theos. ed. Buresch *Klaros* p. 118 n. 69 cf. qui eodem fonte abusus videtur Clem. Protr. 4, 50 p. 44 P.] de superstit. 13 p. 171 E *Ξ. ὁ φυσικὸς τοὺς Αἰγυπτίους κοπτομένους ἐν ταῖς ἑορταῖς καὶ θρηνοῦντας δρῶν ὑπέμνησεν οἰκείως· 'οὗτοι' φησίν 'εἰ μὲν θεοί εἰσι, μὴ θρηνεῖτε αὐτούς· εἰ δ' ἄνθρωποι, μὴ θύετε αὐτοῖς'* [idem de Lycurgo ad Thebanos Leucotheam colentibus Ps. Plut. apophth. Lac. 26 p. 228 E].

14. ARIST. Rhet. A 15. 1377ª 19 *καὶ τὸ τοῦ Ξενοφάνους ἁρμόττει ὅτι οὐκ ἴση πρόκλησις αὕτη* [iuris iurandi] *ἀσεβεῖ πρὸς εὐσεβῆ, ἀλλ' ὁμοία καὶ εἰ ἰσχυρὸς ἀσθενῆ πατάξαι ἢ πλησῆναι προκαλέσαιτο.*

15. IDEM Metaph. Γ 5. 1010ª4 *διὸ εἰκότως μὲν λέγουσιν, οὐκ ἀληθῆ δὲ λέγουσιν· οὕτω γὰρ ἁρμόττει μᾶλλον εἰπεῖν ἢ ὥσπερ Ἐπίχαρμος εἰς Ξενοφάνην* (adnotat Alex. ad. h. l. p. 308, 12 Hayd. *ὡς Ἐπιχάρμου τοῦ τῆς κωμωιδίας ποιητοῦ εἰς Ξενοφάνην βλασφημότερά τινα καὶ ἐπηρεαστικὰ εἰρηκότος, δι' ὧν εἰς ἀμαθίαν τινὰ καὶ ἀγνωσίαν τῶν ὄντων σκώπτων διέβαλεν αὐτόν*). Epicharmum de pantheismo Xenophanis dixisse: *εἰκότως μὲν οὐκ ἔφα τόδ', ἀλλ' ἀληθέως ἔφα* statuit Gomperz *Wien. Sitz.* 78, 569 cf. Arist. Poet. 25. 1460ᵇ35. 1461ᵇ15. 18. 1456ª24 Rhet. B 24. 1402ᵇ8 cf. ad fr. 25.

16. PLUT. de vit. pud. 5 p. 530 E *μὴ δυσωπηθῆις μηδὲ δείσηις σκωπτόμενος, ἀλλ' ὥσπερ Ξ. Λάσου τοῦ Ἑρμιονέως μὴ βουλόμενον αὐτῶι συγκυβεύειν δειλὸν ἀποκαλοῦντος ὡμολόγει καὶ πάνυ δειλὸς εἶναι πρὸς τὰ αἰσχρὰ καὶ ἄτολμος.*

17. IDEM de commun. notit. 46, 3 p. 1084 F *ὁ μὲν οὖν Ξ. διηγουμένου τινὸς ἐγχέλεις ἑωρακέναι ἐν ὕδατι θερμῶι ζώσας· 'οὐκοῦν' εἶπεν 'ἐν ψυχρῶι αὐτὰς ἑψήσομεν'.*

CARMINUM.

18. DIOG. IX 22 *καὶ αὐτὸς* (Parmenides) *δὲ διὰ ποιημάτων φιλοσοφεῖ καθάπερ Ἡσιόδός τε καὶ Ξ. καὶ Ἐμπεδοκλῆς.* cf. p. 17 B 1 et p. 21 A 5.

19. IDEM IX 18 (cf. 20, 6) *γέγραφε δὲ ἐν ἔπεσι* (i. e. hexametris, *Περὶ φύσεως* fr. 24—42) *καὶ ἐλεγείας* (fr. 1—8) *καὶ ἰάμβους καθ' Ἡσιόδου καὶ Ὁμήρου* (*Σίλλους* fr. 10—22), *ἐπικόπτων αὐτῶν τα περὶ θεῶν εἰρημένα.* Π 46 [ex Aristotelis *Περὶ ποιητῶν* fr. 75 Rose³] *ἀποθανόντι δὲ* [scil. Ὁμήρωι *ἐφιλονίκει*] *Ξ. ὁ Κολοφώνιος καὶ Κέρκωψ Ἡσιόδωι ζῶντι, τελευτήσαντι δὲ ὁ προειρημένος Ξ.*

20. STRABO XIV p. 643 *Ξ. ὁ φυσικὸς ὁ τοὺς Σίλλους ποιήσας διὰ ποιημάτων.*

21. APUL. Florida c. 20: *canit enim Empedocles carmina, Plato dialogos ... Xenocrates* [*Xenophanes* Casaubonus, veri similius *Crates* Rohde] *satiras.*

22. PROCL. ad Hesiod. opp. 284 (e Plutarcho): *Ξενοφάνης διά δή τινα πρὸς τοὺς κατ' αὐτὸν φιλοσόφους καὶ ποιητὰς μικροψυχίαν Σίλλους ἀτόπους ἐκθεῖναι* (*συνθεῖναι* Paris. 2771) *λέγεται κατὰ πάντων φιλοσόφων καὶ ποιητῶν.*

23. SCHOL. ABT ad B 212: *ἤδη δὲ οὐ Ξενοφάνει, ἀλλ' Ὁμήρωι πρώτωι Σίλλοι πεποίηνται, ἐν οἷς αὐτός τε τὸν Θερσίτην σιλλαίνει καὶ ὁ Θερσίτης τοὺς ἀρίστους.* cetera de sillis testim. in Timone posui.

24. ARIUS DID. ap. Stob. ecl. II 1, 18 (p. 6, 14 W.) *Ξενοφάνους πρώτου λόγος ἦλθεν εἰς τοὺς Ἕλληνας ἄξιος γραφῆς ἅμα παιδιᾶι τάς τε τῶν ἄλλων τόλμας ἐπιπλήττοντος καὶ τὴν αὐτοῦ παριστάντος εὐλάβειαν, ὡς ἄρα θεὸς μὲν οἶδε τὴν ἀλήθειαν, 'δόκος—τέτυκται'* (fr. 34, 4). cf. Timon fr. 45 W.

25. CICERO Acad. Prior. II 23, 74 *Parmenides, Xenophanes, minus bonis quamquam versibus* (antecedit Empedoclis mentio), *sed tamen illi versibus increpant eorum adrogantiam quasi irati, qui cum sciri nihil possit, audeant se*

scire dicere. versuum iudicium opinor ex Aristotelis de poetis dialogi libro I (cf. poet. I. 1447^{b} 18) fluxit ut n. 26.

26. PHILO de provid. II 39: *Non ita tamen Xenophanes aut Parmenides aut Empedocles sive alii quicumque theologi a poesi capti sunt divini viri* [sc. deos mendaces finierunt], *sed potius theoriam naturae gaudio amplexi et vitam omnem ad pietatem laudemque deorum dedicantes optimi quidem viri comperti sunt, poetae tamen non felices: quos oportebat divinitus spiritum sortiri gratiamque de caelo, metrum carmen rhythmumque caelestem ac divinum, ut poemata vera relinquerent velut prototypum libri perfectum et pulcrum cunctis exemplar.* Ibid. 42 *at quare Empedocles, Parmenides, Xenophanes aemulatorque istorum chorus non sortiti sunt spiritum Musarum, cum theologiam exercuerunt?* 48 *age interim ponamus inter nos universum ingenitum ac sempiternum iuxta illud quod suggerit sermo celeberrimorum philosophantium sicut canseribunt Parmenides, Empedocles, Zeno, Cleanthes aliique divi homines ac velut verus quidam proprieque sacer coetus* (cf. Wendland *Philo üb. d. Vorsehung* Berl. 1892, 58. 60 et test. Parmenid.).

27. ATHEN. XIV 632 C *ὅτι δὲ πρὸς τὴν μουσικὴν οἰκειότατα διέκειντο οἱ ἀρχαῖοι δῆλον καὶ ἐξ Ὁμήρου· ὃς διὰ τὸ μεμελοποιηκέναι πᾶσαν ἑαυτοῦ τὴν ποίησιν ἀφροντιστὶ [τοὺς] πολλοὺς ἀκεφάλους ποιεῖ στίχους καὶ λαγαροὺς ἔτι δὲ μειούρους. Ξενοφάνης δὲ καὶ Σόλων καὶ Θέογνις καὶ Φωκυλίδης, ἔτι δὲ Περίανδρος ὁ Κορίνθιος ἐλεγειοποιὸς καὶ τῶν λοιπῶν οἱ μὴ προσάγοντες πρὸς τὰ ποιήματα μελωιδίαν ἐκπονοῦσι τοὺς στίχους τοῖς ἀριθμοῖς καὶ τῇ τάξει τῶν μέτρων καὶ σκοποῦσιν ὅπως αὐτῶν μηδεὶς ⟨μήτε⟩ ἀκέφαλος ἔσται μήτε λαγαρὸς μήτε μείουρος.*

DOCTRINAE.

28. ARIST. *q. f. de Melisso Xenophane Gorgia cc. 3. 4.*

Hic liber a Peripatetico eclectico (i. e. sceptica, platonica, stoica admiscente) circa Christi natalem conscriptus videtur (cf. Act. ac. Berol. 1900, unde Xenophanea capita excerpsi). codices L(ipsiensis gr. 16 s. XIV) et R(omanus Vaticanus gr. 1302 s. XIV).

[ARISTOTELOUS] PERI XENOPHANOUS.

3.

ed. Bekker
p. 977^{a}

Ἀδύνατόν φησιν εἶναι, εἴ τι ἔστι, γενέσθαι, τοῦτο λέγων 1
ἐπὶ τοῦ θεοῦ· ἀνάγκη γὰρ ἤτοι ἐξ ὁμοίου ἢ ἐξ ἀνομοίου γενέσθαι τὸ γενόμενον· ἀδυνατὸν δὲ οὐδέτερον· οὔτε γὰρ ὅμοιον ὑφ' ὁμοίου προσήκειν τεκνωθῆναι μᾶλλον ἢ τεκνῶσαι (ταὐτὰ γὰρ ἅπαντα τοῖς γε ἴσοις καὶ ὁμοίως ὑπάρχειν πρὸς ἄλληλα) οὔτ' ἂν ἐξ ἀνομοίου τἀνόμοιον γενέσθαι. εἰ γὰρ 2

977^{a} 12 *ἀριστοτέλους* L: om. R 15 *ὁμοίων ἢ ἐξ ὁμοίων* R 18 *ἴσοις ἢ ὁμοίοις* R 19 *ἂν*] *αὖ* Apelt *τἀνόμοιον* L: *οὔτ' ἀνόμοιον* R

977ª γίγνοιτο ἐξ ἀσθενεστέρου τὸ ἰσχυρότερον ἢ ἐξ ἐλάττονος το μεῖζον ἢ ἐκ χείρονος τὸ κρεῖττον, ἢ τοὐναντίον τὰ χείρω ἐκ τῶν κρειττόνων, τὸ οὐκ ὂν ἐξ ὄντος ⟨ἢ τὸ ὂν ἐξ οὐκ ὄντος⟩ ἂν γενέσθαι· ὅπερ ἀδύνατον. ἀίδιον μὲν οὖν διὰ ταῦτα εἶναι τὸν θεόν. εἰ δ' ἔστιν ὁ θεὸς 3 ἁπάντων κράτιστον, ἕνα φησὶν αὐτὸν προσήκειν εἶναι. εἰ γὰρ δύο ἢ πλείους εἶεν, οὐκ ἄν ἔτι κράτιστον καὶ βέλτιστον αὐτὸν εἶναι πάντων. ἕκαστος γὰρ ὢν θεὸς τῶν πολλῶν ὁμοίως ἂν τοιοῦτος εἴη. τοῦτο γὰρ θεὸν καὶ θεοῦ δύναμιν εἶναι, κρατεῖν, ἀλλὰ μὴ κρατεῖσθαι, καὶ πάντων κράτιστον εἶναι. ὥστε καθὸ μὴ κρείττων, κατὰ τοσοῦτον οὐκ εἶναι θεόν. πλειόνων 4 οὖν ὄντων, εἰ μὲν εἶεν τὰ μὲν ἀλλήλων κρείττους τὰ δὲ ἥττους, οὐκ ἂν εἶναι θεούς· πεφυκέναι γὰρ τὸ θεῖον μὴ κρατεῖσθαι. ἴσων δὲ ὄντων, οὐκ ἂν ἔχειν θεοῦ φύσιν, ὃν δεῖν εἶναι 5 κράτιστον· τὸ δὲ ἴσον οὔτε βέλτιον οὔτε χεῖρον εἶναι τοῦ ἴσου· ὥστ' εἴπερ εἴη τε καὶ τοιοῦτον εἴη θεός, ἕνα μόνον εἶναι τὸν θεόν. οὐδὲ γὰρ οὐδὲ πάντα δύνασθαι ἂν ἃ βούλοιτο. οὐ γὰρ ἂν δύνασθαι πλειόνων ὄντων· ἕνα ἄρα εἶναι μόνον. ἕνα δ' 6 ὄντα ὅμοιον εἶναι πάντη, ὁρῶντα καὶ ἀκούοντα τάς τε ἄλλας αἰσθήσεις ἔχοντα πάντη· εἰ γὰρ μή, κρατεῖν ἂν καὶ κρατεῖσθαι ὑπ' ἀλλήλων τὰ μέρη θεοῦ [ὄντα], ὅπερ ἀδύνατον.

977ᵇ 1 πάντη δ' ὅμοιον ὄντα σφαιροειδῆ εἶναι· οὐ γαρ τῇ μὲν τῇ 7 δ' οὐ τοιοῦτον εἶναι, ἀλλὰ πάντη. ἀίδιον δὲ ὄντα καὶ ἕνα 8 καὶ ⟨ὅμοιον καὶ⟩ σφαιροειδῆ οὔτε ἄπειρον οὔτε πεπεράνθαι. ἄπειρον μὲν ⟨γὰρ⟩ τὸ μὴ ὂν εἶναι· τοῦτο γὰρ οὔτε μέσον οὔτε ἀρχὴν καὶ τέλος οὔτ' ἄλλο οὐδὲν μέρος ἔχειν, τοιοῦτον δὲ εἶναι τὸ ἄπειρον· οἷον δὲ τὸ μὴ ὄν, οὐκ ἂν εἶναι τὸ ὄν· περαίνειν δὲ πρὸς ἄλληλα, εἰ πλείω εἴη. τὸ δὲ ἓν οὔτε τῶι οὐκ ὄντι οὔτε τοῖς πολλοῖς ὡμοιῶσθαι· ἓν γὰρ ⟨ὂν⟩ οὐκ ἔχειν, πρὸς ὅτι περανεῖ. τὸ δὴ τοι- 9 οῦτον ἕν, ὃν τὸν θεὸν εἶναι λέγει, οὔτε κινεῖσθαι οὔτε ἀκίνητον εἶναι· ἀκίνητον μὲν γὰρ εἶναι τὸ μὴ ὄν· οὔτε χὰρ ἂν εἰς αὐτὸ ἕτερον οὔτ' ἐκεῖνο εἰς ἄλλο ἐλθεῖν. κινεῖσθαι δὲ τὰ πλείω ὄντα ἑνός· ἕτερον γὰρ εἰς ἕτερον δεῖν κινεῖσθαι.

977ª 22 *ὄν* prius om. R. add. Brandis *ἂν* om. R *γίγνεσθαι* Blass 24 *φησὶ προσήκειν αὐτὸν* (om. *εἶναι*) R 25 *δύο*: L: *δή* R *ἤ* L: *ἢ ἔτι* R, at cf. ᵇ15 *αὐτῶν* L 26 *ὢν* (ex *ὢν*?) L: *ἂν* R *ὁμοίως ἄν* L: *ὅμοιος ὢν* R 28 *πάντα* LR corr: Karsten *κράτιστον* Karsten: *κρατεῖσθαι* LR 29 *κρεῖττον* R 30 *τὸ θεῖον* L: *θν* R 32 *θεοῦ* Bonitz: *θεὸν* LR *φύσιν ὄν* M. P. Hoffmann: *φύσιμ* in ras. R: *φύσιν* L 33 *χέριον* R 35 *ἄρα* om. R 35. 36 *οὐ δύνασθαι* del. Blass 37 *ὁρᾶν τε καὶ ἀκούειν* LR: corr. Wendland cf. 39 39 *ὄντα* (olim adscriptam ad *ἀκούειν* 37 emendationem) delevi

977ᵇ 2 *ὄντα* R: *οὕτω* L 3 *ὅμοιον καὶ* add. Wendland *πεπεράσθαι* R *μὲν γὰρ τὸ* Bonitz (cf. 10): *μὲν ὃ* L: *ὃ* R 4 *οὐδὲν μέρος* L: *μέρος οὐδὲν* R 7 *εἶεν* R 8 *ὄν* add. Blass *ἔχει* LR: corr. Bonitz *περανεῖ* R: *περανθείη* L *δὲ* Bekker 9 *ἕν, ὄν* scripsi: *ἓν, ὄν* L: *ὄν, ἓν ὄν* R *ἀκίνητον* L: *κινητὸν* R 10 *ἀκίνητον* L: *ἀνόνητον* R

977ᵇ 13 εἰς μὲν οὖν τὸ μὴ ὂν οὐδὲν ἂν κινηθῆναι. τὸ γὰρ μὴ ὂν 10
οὐδαμῆ εἶναι, εἰ δὲ εἰς ἄλληλα μεταβάλλοι, πλείω ἂν τὸ ἕν
15 εἶναι ἑνός. διὰ ταῦτα δὴ κινεῖσθαι μὲν ἂν τὰ δύο ἢ πλείω
ἑνός, ἠρεμεῖν δὲ καὶ ἀκίνητον εἶναι τὸ οὐδέν. τὸ δὲ ἓν οὔτε 11
ἀτρεμεῖν οὔτε κινεῖσθαι· οὔτε γὰρ τῶι μὴ ὄντι οὔτε τοῖς πολ-
λοῖς ὅμοιον εἶναι. κατὰ πάντα δὲ οὕτως ἔχοντα τὸν θεόν,
ἀίδιόν τε καὶ ἕνα, ὅμοιόν τε καὶ σφαιροειδῆ ὄντα, οὔτε ἄπει-
20 ρον οὔτε πεπερασμένον οὔτε ἠρεμοῦντα οὔτε κινητὸν εἶναι.

4.

Πρῶτον μὲν οὖν λαμβάνει τὸ γιγνόμενον καὶ οὗτος 1
ἐξ ὄντος γίγνεσθαι, ὥσπερ ὁ Μέλισσος. καίτοι τί κωλύει
μήτ' ἐξ ὁμοίου ⟨μήτ' ἐξ ἀνομοίου⟩ τὸ γιγνόμενον γίγνεσθαι,
ἀλλ' ἐκ μὴ ὄντος;
ἔτι οὐδὲν μᾶλλον ὁ θεὸς ἀγένητος ἢ καὶ τἆλλα πάντα, εἴ-
25 περ ἅπαντα ἐξ ὁμοίου ἢ ἐξ ἀνομοίου γέγονεν (ὅπερ ἀδύνατον)·
ὥστε ἢ οὐδέν ἐστι παρὰ τὸν θεὸν ἢ καὶ τὰ ἄλλα ἀΐδια πάντα.
ἔτι κράτιστον τὸν θεὸν λαμβάνει, τοῦτο δυνατώτατον καὶ 2
βέλτιστον λέγων· οὐ δοκεῖ δὲ τοῦτο κατὰ τὸν νόμων, ἀλλὰ
πολλὰ κρείττους εἶναι ἀλλήλων οἱ θεοί. οὐκ οὖν ἐκ τοῦ δο-
30 κοῦντος εἴληφε ταύτην κατὰ τοῦ θεοῦ τὴν ὁμολογίαν. τὸ τε 3
κράτιστον εἶναι τὸν θεὸν οὐχ οὕτως ὑπολαμβάνειν λέγεται,
ὡς πρὸς ἄλλο τι τοιαύτη ἡ τοῦ θεοῦ φύσις, ἀλλὰ πρὸς τὴν
αὑτοῦ διάθεσιν, ἐπεί τοί γε πρὸς ἕτερον οὐδὲν ἂν κωλύοι μὴ
τῆι αὑτοῦ ἐπιεικείαι καὶ ῥώμηι ὑπερέχειν, ἀλλὰ διὰ τὴν
35 τῶν ἄλλων ἀσθένειαν. θέλοι δ' ἂν οὐδεὶς οὕτω τὸν θεὸν
φάναι κράτιστον εἶναι, ἀλλ' ὅτι αὐτὸς ἔχει ὡς οἷόν τε
ἄριστα, καὶ οὐδὲν ἐλλείπει καὶ εὖ καὶ καλῶς ἔχειν αὐτῶι· ἅμα
γὰρ ἴσως ⟨οὕτως⟩ ἔχοντι κἀκεῖνο ἂν συμβαίνοι. οὕτω δὲ δια- 4
39 κεῖσθαι καὶ πλείους αὐτοὺς ὄντας οὐδὲν ἂν κωλύοι, ἅπαντας ὡς
978ᵃ 1 οἷόν τε ἄριστα διακειμένους, καὶ κρατίστους τῶν ἄλλων, οὐχ
αὑτῶν ὄντας. ἔστι δ', ὡς ἔοικε, καὶ ἄλλα. κράτιστον γὰρ 5
εἶναι τὸν θεόν φησι, τοῦτο δὲ τινῶν εἶναι ἀνάγκη· ἕνα τ' ὄντα

977ᵇ 14 ἂν τὸ ἓν (vel ὂν) Karsten: αὐτὸν LR 15 διὰ] κατὰ Wendland
ἂν deleverim 6 δὲ καὶ L: γὰρ R 18 fortasse δὴ ἔχοντα Apelt: ἔχ[illegible]
(ἔχεις) L: ἔχοις R 20 ἠρεμοῦντα scripsi: ἠρεμῖν (comp.) L: ἠρεμεῖν R κινη-
τὸν Fülleborn: ἀκίνητον sic LR 21 καὶ οὗτος τὸ γιγνόμενον γίγνεσθαι ἐξ
ὄντος R 23 ὁμοίας R add. Brandis 24 ἢ L: εἰ R 25 ἢ ἐξ] ἢ καὶ ἐξ
L: ἢ R 26 παρὰ L: περὶ R 30 κατὰ R: om. L 31 ὑπολαμβάνων LR:
corr. Vahlen; ὑπολαμβανόντων Blass λέγεται] ἐνδέχεται Vahlen; at cf. 975ᵇ 17
32 τοιαύτη LR: corr. in τοῦ αὐτὴ R¹ 33 τοί γε L: τοῦ γὰρ R 34 fort.
ἐπικρατείαι διὰ τὴν R: τὴν διὰ L 35 θέλει R 37 ἐλλείπει L: ἐκλείπει R
αὐτὸν Bergk ἅμα] ἀλλὰ Bergk; ἄριστα Wendland 38 add. Wilson κἀ-
κείνωι L συμβαίνη R 39 οὐδὲν ἂν κωλύηι L: οὐδένα κωλύει R

978ᵃ 1 οἷόν τε L: οἵονται R 3 ἕνα· τὸν τὰ πάντα L: ἕνα τὰ πάντα
R: corr. Franc. Kern; δὲ malebat Mullach

978ª πάντη ὁρᾶν καὶ ἀκούειν οὐδὲν προσήκει· οὐδὲ γὰρ εἰ μὴ καὶ
5 τῇδ' ὁρᾶι, χεῖρον ὁρᾶι ταύτῃ, ἀλλ' οὐχ ὁρᾶι. ἀλλ' ἴσως τοῦτο
βούλεται τὸ πάντη αἰσθάνεσθαι, ὅτι οὕτως ἂν βέλτιστα ἔχοι,
ὅμοιος ὢν πάντη. ἔτι τοιοῦτος ὢν διὰ τί σφαιροειδὴς ἂν εἴη, 6
ἀλλ' οὐχ [ὅτι] ἑτέραν τινὰ μᾶλλον ἔχων ἰδέαν, ὅτι πάντη
ἀκούει καὶ πάντη κρατεῖ; ὥσπερ γὰρ ὅταν λέγωμεν τὸ
10 ψιμύθιον ὅτι πάντη ἐστὶ λευκόν, οὐδὲν ἄλλο σημαίνο-
μεν ἢ ὅτι ἐν ἅπασιν αὐτοῦ τοῖς μέρεσιν ἐγκέχρωσται ἡ
λευκότης· τί δὴ κωλύει οὕτως κἀκεῖ τὸ πάντη ὁρᾶν καὶ
ἀκούειν καὶ κρατεῖν λέγεσθαι, ὅτι ἅπαν ὃ ἄν τις αὐτοῦ
λαμβάνηι μέρος, τοῦτ' ἔσται πεπονθός; ὥσπερ δὲ οὐδὲ τὸ
15 ψιμύθιον, οὐδὲ τὸν θεὸν ἀνάγκη εἶναι διὰ τοῦτο σφαιροειδῆ.
ἔτι μήτε ἄπειρον ⟨εἶναι⟩ μήτε πεπεράνθαι σῶμά γε ὄντα καὶ ἔχοντα 7
μέγεθος πῶς οἷόν τε, εἴπερ τοῦτ' ἐστὶν ἄπειρον ὃ ἂν μὴ ἔχηι
πέρας δεκτικὸν ὂν πέρατος, πέρας δ' ἐν μεγέθει καὶ πλή-
θει ἐγγίγνεται καὶ ἐν ἅπαντι τῶι ποσῶι, ὥστε εἰ μὴ ἔχει
20 πέρας μέγεθος ὂν ἄπειρόν ἐστιν; ἔτι δὲ σφαιροειδῆ ὄντα 8
ἀνάγκη πέρας ἔχειν· ἔσχατα γὰρ ἔχει, εἴπερ μέσον ἔχει
αὑτοῦ, οὗ πλεῖστον ἀπέχει. μέσον δὲ ἔχει σφαιροειδὴς ὤν·
τοῦτο γάρ ἐστι σφαιροειδὲς ὃ ἐκ τοῦ μέσου ὁμοίως πρὸς τὰ
ἔσχατα. σῶμα δ' ἔσχατα ἢ πέρατα ἔχειν, οὐδὲν διαφέρει. ••• εἰ 9
25 γὰρ καὶ τὸ μὴ ὂν ἄπειρόν ἐστι, τί οὐκ ἄν καὶ τὸ ὂν ἄπειρον; τί γὰρ
κωλύει ἔνια ταὐτ' ἂν λεχθῆναι κατὰ τοῦ ὄντος καὶ μὴ ὄντος;
τό τε γὰρ ὂν οὐκ ὂν οὐδεὶς νῦν αἰσθάνεται, καὶ ὂν δέ τις οὐκ
ἂν αἰσθάνοιτο ἃ νῦν· ἄμφω δὲ λεκτὰ καὶ διανοητά ••• οὐ λευ-
κόν τε τὸ μὴ ὄν· ἢ οὖν διὰ τοῦτο τὰ ὄντα πάντα λευκά, ὅπως
30 μή τι ταὐτὸ κατὰ τοῦ ὄντος σημήνωμεν καὶ μὴ ὄντος, ἢ οὐ-

978ª 4 *οὐ γὰρ* LR: δὲ superscr. L¹ *εἰμὶ καὶ* R: *εἰ μη* (*μ* ex *κ*) L 7 *διὰ τί* L: *διότι* R, unde *ὅτι* varia l. in v. 8 8 *ὅτι* del. Karsten *πάντη* ⟨*ὁρᾶι καὶ πάντη*⟩ Wendland 10 *πάντα* R *ἄλλό τι* R 11 *ἢ* om. L *ἐγκέχρησται* R 14 *λαμβάνει* R 15 *διὰ τοῦτο εἶναι* R 16 add. Karsten: post *ἄπειρον* coeperat *εἶ* L; corr. *μήτε* L¹ *ὄντα* Spengel: *ὢν* L: om. R *ἔχον* sic R: *ἔχων* L: corr. Speng. 18 *λεκτικὸν* R 19 *ἓν γίγνεται* R *ὥστε ἂν μὴ ἔχῃ* R 20 *ὂν* L: *ὅσον* R 22 *αὐτοῦ.* ÷ *οὗ* sic. L: *αὐτοῦ τοῦ* R cf. p. 6; explico: *extrema habet deus, siquidem centrum sui habet, a quo illa longissime absunt* *ἀπέχει* sic LR *σφαιροειδὲς ὄν* LR: corr. Spengel 23 *δ* ÷ *ἐκ* L: *ὂν ἐκ* R *πρὸς*] *πυρὸς* R 24 *δ'* L: om. R *οἷον διαφέρει* (fuit *διαφέρειν*, corr. L²) L: *οἷον διαφορεῖ* R: corr. Bergk lacunam statui 25 *ἄπειρόν ἐστι, τί οὐκ ἄν* scripsi (similia Didotiana): *ἄπεστι, οὐκ ἄν* (*οὐκ* in corr., cuius prima littera fortasse *τ* fuit) L: *ἁπλοῦν οὐκ ἄν* R 26 *ταὐτὰ* R: *ταῦτα*, corr. in *ταῦτ' ἄν* L 27 *ὂν δέ* R: sententia corrupta. vix haec sufficiant: *τό τε γὰρ ὂν ἢ ὄν οὐδεὶς νῦν αἰσθάνεται καὶ ὁμοίως δέ τις οὐκ ἂν αἰσθάνοιτο* ⟨*τὸ*⟩ *μὴ ὄν* *ἃ* R: om. L 28 *καὶ* L: *ὅπ* (om. compendium *ερ* simillimum insequentis litterae *δ*?) R (*ὅπῃ* Bern. 402); fortasse *καὶ διανοητά* vel *ὅπερ διανοητά* glossema, quo hausta sint *οἷον λευκὸν μὲν τὸ ὄν* 28. 29 *λευκὸν τὲ* (sic) LR; *λ. δὲ* Brandis 29 *ἢ* Brandis: *εἰ* LR 30 *ταὐτὸ κατὰ τοῦ ὄντος* R: *κατὰ τοῦ* ex *κατ' αὐτοῦ* (om. *ταὐτό*) L¹ *σημήνωμεν* L: *σημαίνωμεν* R

978ª 31 δέν, οἶμαι, κωλύει καὶ τῶν ὄντων τι μὴ εἶναι λευκόν· οὕτω δὲ καὶ μᾶλλον ἂν ἀπόφασιν δέξαιτο, τὸ ἄπειρον. εἰ κατὰ τὸ πάλαι λεχθέν τι [μᾶλλον] παρὰ τὸ μὴ ἔχειν ⟨πέρας⟩ ἐστὶν ἄπειρον· ὥστε καὶ τὸ ὂν ἢ ἄπειρον ἢ πέρας ἔχον ἐστίν. ἴσως δὲ 10
35 ἄτοπον καὶ τὸ προσάπτειν τῶι μὴ ὄντι ἀπειρίαν· οὐ γὰρ πᾶν, εἰ μὴ ἔχει πέρας, ἄπειρον λέγομεν, ὥσπερ οὐδ' ἄνισον οὐκ ἂν φαῖμεν εἶναι τὸ μὴ ἴσον. ἔ⟨τι⟩ τί οὐκ ἂν ἔχοι ὁ θεὸς πέρας εἰς 11
ὧν, ἀλλ' οὐ πρὸς θεόν; εἰ δὲ ἓν μόνον ἐστὶν ὁ θεός, ⟨ἓν⟩ ἂν εἴη
978ᵇ 1 μόνον καὶ τὰ τοῦ θεοῦ μέρη. ἔτι καὶ τοῦτ' ἄτοπον, εἰ τοῖς 12
πολλοῖς ξυμβέβηκεν πεπεράνθαι πρὸς ἄλληλα, διὰ τοῦτο τὸ ἓν μὴ ἔχειν πέρας. πολλὰ γὰρ τοῖς πολλοῖς καὶ τῶι ἑνὶ ὑπάρχει ταὐτά, ἐπεὶ καὶ τὸ εἶναι κοινὸν αὐτοῖς ἐστιν.
5 ἄτοπον οὖν ἴσως ἂν εἴη, εἰ διὰ τοῦτο μὴ φαῖμεν εἶναι τὸν θεόν, εἰ τὰ πολλὰ ἔστιν, ὅπως μὴ ὅμοιον ἔσται αὐτοῖς ταύτη. ἔτι τί κωλύει πεπεράνθαι καὶ ἔχειν πέρατα ἓν ὄντα τὸν 13
θεόν; ὡς καὶ ὁ Παρμενίδης λέγει ἓν ὂν εἶναι αὐτὸν 'πάντοθεν εὐκύκλου σφαίρας ἐναλίγκιον ὄγκωι, μεσσόθεν ἰσοπα-
10 λές'. τὸ γὰρ πέρας τινὸς μὲν ἀνάγκη εἶναι, οὐ μέντοι πρός τί γε, οὐδὲ ἀνάγκη τὸ ἔχον πέρας πρός τι ἔχειν πέρας, ὡς πεπερασμένον πρὸς τὸ [μὴ] ἐφεξῆς ἄπειρον, ἀλλ' ἔστι τὸ πεπεράνθαι ἔσχατα ἔχειν, ἔσχατα δ' ἔχον οὐκ ἀνάγκη πρός τι ἔχειν. ἐνίοις μὲν οὖν συμβαίνοι 14
14ª γ' ἄν, καὶ πεπεράνθαι ⟨καὶ⟩ πρός τι συνάπτειν, τοῖς
14ᵇ δὲ πεπεράνθαι μέν, μὴ μέντοι πρός τι πεπεράν-
15 θαι. πάλιν περὶ τοῦ ἀκίνητον εἶναι τὸ ὂν καὶ το ⟨μὴ⟩ ὄν 15
15ª ⟨λεκτέον ὅτι τὸ ὑπολαμβάνειν ἀκίνητον εἶναι τὸ μὴ ὄν⟩, ὅτι καὶ τὸ ὂν κινεῖται, ἴσως ὁμοίως τοῖς ἔμπροσθεν ἄτοπον. καὶ ἔτι· ἆρά γε οὐ ταὐτὸ ἄν τις ὑπολάβοι τὸ μὴ κινεῖσθαι

978ª 31 *οἶμαι* om. R *τι μὴ* L: *τίμιον* R 31 *οὕτω — ἐστὶν* (34) ut potui emendavi (cf. 978ᵇ 29): *οὕτω δὲ καὶ ἄλλην οὖν ἀπόφασιν δέξονται τὸ ἄπειρον. εἰ μὴ τὸ πάλαι λεχθὲν τί μᾶλλον παρὰ τὸ μὴ ἔχειν ἢ μὴ ἔχειν ἐστὶν ἅπαν· ὥστε καὶ τὸ ὂν ἢ ἄπειρον ἢ πέρας ἔχον ἐστὶν* [tum *ἅπαν — ἐστὶν* omisso priore *ἢ* iterat L, om. R] LR; praeivit *ἂν — δέξαιτο* Bekker 32 *τὸ ἄπειρον* appositum ad *ἀπόφασιν* (subiectum *τὸ ὄν*) dubito an glossema sit 33 *λεχθέν*] ª17 35 *ἄτοπον καὶ τὸ* vulg.: *ἄτοπον τὸ καὶ* L: *τὸ ἄτοπον καὶ* R: *τὸ ἄτοπον τὸ καὶ* L¹ 36 *οὐκ*] fortasse *ἅπαν* 37 *ἴσον* Spengel: *ὂν* LR; cf. 978ᵇ 10 add. Brandis (*ἔτ*ι sic L) 38 *ἀλλ' οὐ* R: *ἄλλου* L; cf. ᵇ10 *ἓν* alterum add. Urbinas 108: om. LR (fortasse extrusum interpretamento *ὁ θεός*)

978ᵇ 1 *ἔτι* Kern: *ἐπεὶ* LR 2 *συμβέβηκε* R 5 *φαμὲν* L 6 *ταύτηι* R: *ταν* vacuum III litt. L; scil. *τῶι εἶναι* 8 *Παρμενίδης*] fr. 8, 43. 44 *λέγεις* L: corr. L¹ *αὐτὸ* L 9 *ὂν τῶι* R *μεσόθεν* LR 10 *ἀνάγκην* sic L: *ἀνάγκη ἴσως* sic R 12 *μὴ* del. Mullach *ἀπείρου* LR: corr. Mullach; *ὡς — ἀπείρου* del. Wilson 13 *οὐκ ἂν* L 14 *σχεῖν* R *οὖν* L: *οὐ* R *συμβαίνει πᾶν* LR: corr. Wilson 14ª *καὶ πεπεράνθαι — πρός τι* (14ᵇ) L: om. R *καὶ* (post *πεπεράνθαι*) add. Brandis 15 *τὸ ὂν καὶ τὸ ἓν* L: *τὸ ὂν καὶ τὸ ὂν* R: corr. Urbin. 108 15ª addidi 16 *ἔμπροσθεν*] cf. § 9 sqq. 17 *τις*] *τι* R

978ᵇ 18 καὶ τὸ ἀκίνητον εἶναι, ἀλλὰ τὸ μὲν ἀπόφασιν τοῦ κινεῖσθαι,
ὥσπερ τὸ μὴ ἴσον, ὅπερ καὶ κατὰ τοῦ μὴ ὄντος εἰπεῖν
20 ἀληθές, τὸ δὲ ἀκίνητον τῶι ἔχειν πως ἤδη λέγεσθαι, ὥσπερ
τὸ ἄνισον, καὶ ἐπὶ τῶι ἐναντίωι τοῦ κινεῖσθαι, τῶι ἠρεμεῖν,
ὡς καὶ σχεδον αἱ ἀπὸ τοῦ ᾱ ἀποφάσεις ἐπὶ ἐναντίοις λέ-
γονται; τὸ μὲν οὖν μὴ κινεῖσθαι ἀληθὲς ἐπὶ τοῦ μὴ ὄντος,
τὸ δὲ ἠρεμεῖν οὐχ ὑπάρχει τῶι μὴ ὄντι. ὁμοίως δὲ οὐδὲ ⟨τὸ⟩
25 ἀκίνητον εἶναι σημαίνει ταὐτόν. ἀλλ' οὗτος ἐπὶ τῶι ἠρεμεῖν
αὐτῶι χρῆται, καὶ φησὶ τὸ μὴ ὂν ἠρεμεῖν, ὅτι οὐκ ἔχει
μετάβασιν. ὅπερ τε καὶ ἐν τοῖς ἄνω εἴπομεν, ἄτοπον ἴσως, 16
εἴ τι τῶι μὴ ὄντι προσάπτομεν, τοῦτο μὴ ἀληθὲς εἶναι κατὰ
τοῦ ὄντος εἰπεῖν, ἄλλως τε κἂν ἀπόφασις ᾖ τὸ λεχθέν, οἷον
30 καὶ τὸ μὴ κινεῖσθαι μηδὲ μεταβαίνειν ἐστί. πολλὰ
γὰρ ἄν, καθάπερ καὶ ἐλέχθη, ἀφαιροῖτο τῶν ὄντων κατη-
γορεῖν. οὐδὲ γὰρ ἂν πολλὰ ἀληθὲς εἰπεῖν εἴη μὴ ἕν, εἴπερ
καὶ τὸ μὴ ὂν ἐστι μὴ ἕν. ἔτι ἐπ' ἐνίων τἀναντία ξυμβαί- 17
νειν δοκεῖ κατὰ τὰς αὐτὰς ἀποφάσεις· οἷον ἀνάγκη ἢ ἴσον
35 ἢ ἄνισον, ἄν τι πλῆθος ἢ μέγεθος ᾖ, καὶ ἄρτιον ἢ περιτ-
τόν, ἂν ἀριθμὸς ᾖ· ὁμοίως δ' ἴσως καὶ τὸ ⟨ὂν ἢ⟩ ἠρεμεῖν ἢ
κινεῖσθαι ἀνάγκη, ἂν σῶμα ᾖ· ἔτι εἰ καὶ διὰ τοῦτο μὴ 18
κινεῖται ὁ θεός τε καὶ τὸ ἕν, ὅτι τὰ πολλὰ κινεῖται τῶι
979ᵃ 1 εἰς ἄλληλα ἰέναι, τί κωλύει καὶ τὸν θεὸν κινεῖσθαι εἰς
ἄλλο; οὐδα⟨μοῦ γὰρ λέγει⟩ ὅτι ⟨ἓν ἐστι⟩ μόνον, ἀλλ' ὅτι εἷς
μόνος θεός. εἰ δὲ καὶ 19
οὕτως, τί κωλύει εἰς ἄλληλα κινουμένων τῶν μερῶν τοῦ
⟨θεοῦ⟩ κύκλωι φέ⟨ρεσθαι τὸν⟩ θεόν; οὐ γὰρ δὴ τὸ τοιοῦτον
ἕν, ὥσπερ ὁ Ζήνων,
5 πολλὰ εἶναι φήσει. αὐτὸς γὰρ σῶμα λέγει εἶναι τὸν
θεόν, εἴτε τόδε τὸ πᾶν εἴτε ὅ τι δήποτε αὐτὸ λέγων· ἀσώ-
ματος γὰρ ὢν πῶς ἂν σφαιροειδὴς εἴη; ἔτι μόνως γ' ἄν 20
οὕτως οὔτ' ἂν κινοῖτο οὔτ' ἂν ἠρεμοῖ μηδαμοῦ γε ὤν; ἐπεὶ δὲ
σῶμά ἐστι, τί ἂν αὐτο κωλύοι κινεῖσθαι, ὡς ἐλέχθη;

978ᵇ 18 τοῦ Bekker: τῶι L: om. R 19 ὥσπερ μὴ τὸ ἴσον ὥσπερ R
εἰπεῖν Bonitz: εἴπερ LR 24 addidi 25 σημαίνει R: συμβαίνει L; scil. et
τὸ μὴ κινεῖσθαι et τὸ ἠρεμεῖν ἐπὶ τὸ L 27 τε L: om. R: δὲ Apelt ἄνω]
978ᵃ 35 29 ἀπόφασιν R τὸ λεχθέν, οἷον Apelt: τὸ ÷λε÷χθέν L: τὸ ἐλεγ-
χθέντων R 30 μεταλαμβάνειν LR: corr. Felicianus 31 κατηγορεῖ LR: corr.
Weise 33 ἕν. ἔτι Spengel: ἕν· εἴτε sic LR 34 τὰς αὐτὰς L: τοσαύτας R:
αὐτὰς τὰς Wilson οἷον Bonitz: ὧν R: ὂν L 35 ἢ μέγεθος ᾖ Felicianus:
ἢ. μὴ ὡσῆ L: ἢ καὶ μὴ ὡς ἢ R 36 ἄν R: κἂν L δ' ἴσως L: δ' ἕως R
ὂν ἢ addidi; nam ἠρεμεῖν, η ex o, L¹

979ᵃ 2 οὐδα (lac. x litt. L, v R) ὅτι (τι R) (lac. vii litt. L, v R) μόνον (μον
R) LR: suppl. pleraque Kern 3 οὗτος L: αὐτὸς R: corr. Apelt 4 θεοῦ
in lac. v litt. om. LR φε (lac. vii litt.) L: om. R: suppl. Bergk 6 post εἴτε
add. δὲ R αὐτὸ sic LR 7 ἔτι μόνως Apelt: ἐπιμόνως R: ἐπεὶ μόνως L
γ' ἄν Bergk: τἂν L: ὅταν R 8 γε] τε R 9 αὐτὸν Bergk κωλύει R.

29. PLATO Sophist. p. 242 C. D [hospes Eleaticus loquitur] *μῦθόν τινα ἕκαστος φαίνεταί μοι διηγεῖσθαι παισὶν ὡς οὖσιν ἡμῖν, ὁ μὲν ὡς τρία τὰ ὄντα, πολεμεῖ δὲ ἀλλήλοις ἐνίοτε αὐτῶν ἅττα πῃ, τοτὲ δὲ καὶ φίλα γιγνόμενα γάμους τε καὶ τόκους καὶ τροφὰς τῶν ἐκγόνων παρέχεται* [Pherecydes]· *δύο δὲ ἕτερος εἰπών, ὑγρὸν καὶ ξηρὸν ἢ θερμὸν καὶ ψυχρόν, συνοικίζει τε αὐτὰ καὶ ἐκδίδωσι* [cf. Archelaus]· *τὸ δὲ παρ' ἡμῶν Ἐλεατικὸν ἔθνος, ἀπὸ Ξενοφάνους τε καὶ ἔτι πρόσθεν ἀρξάμενον* [cf. Phileb. p. 16 C. D], *ὡς ἑνὸς ὄντος τῶν πάντων καλουμένων οὕτω διεξέρχεται τοῖς μύθοις.* cf. Philop. ad Phys. A 5 p. 125, 27 Vitell. *ὁ Πορφύριός φησι τὸν Ξενοφάνη τὸ ξηρὸν καὶ τὸ ὑγρὸν δοξάσαι ἀρχάς, τὴν γῆν λέγω καὶ τὸ ὕδωρ, καὶ χρῆσιν αὐτοῦ παρατίθεται τοῦτο δηλοῦσαν 'γῆ — γίνονται'* [fr. 29]· *ταύτης δὲ τῆς δόξης δοκεῖ καὶ Ὅμηρος εἶναι ἐν οἷς φησιν 'ἀλλ' ὑμεῖς μὲν πάντες ὕδωρ καὶ γαῖα γένοισθε'* [H 99]. Porphyrius utitur Allegoriarum corpore cf. Prob. Verg. p. 21, 3. [Plut.] Vit. Hom. 93 [Dox. 92]

30. ARISTOT. Metaph. A 5. 986^{b} 18 *Παρμενίδης μὲν γὰρ ἔοικε τοῦ κατὰ τὸν λόγον ἑνὸς ἅπτεσθαι, Μέλισσος δὲ τοῦ κατὰ τὴν ὕλην· διὸ καὶ ὁ μὲν πεπερασμένον, ὁ δ' ἄπειρόν φησιν εἶναι αὐτό· Ξενοφάνης δὲ πρῶτος τούτων ἐνίσας* (*ὁ γὰρ Παρμενίδης τούτου λέγεται γενέσθαι μαθητής*) *οὐδὲν διεσαφήνισεν οὐδὲ τῆς φύσεως τούτων οὐδετέρας ἔοικε θιγεῖν, ἀλλ' εἰς τὸν ὅλον οὐρανὸν ἀποβλέψας τὸ ἓν εἶναί φησι τὸν θεόν· οὗτοι μὲν οὖν, καθάπερ εἴπομεν, ἀφετέοι πρὸς τὴν νῦν παροῦσαν ζήτησιν, οἱ μὲν δύο καὶ πάμπαν ὡς ὄντες μικρὸν ἀγροικότεροι, Ξενοφάνης καὶ Μέλισσος* [Orvieto *πρῶτος — οὐδὲ* cancellavit cf. Dox. 110].

31. SIMPL. Phys. 22, 22—23, 20. *ἀνάγκη τοίνυν τὴν ἀρχὴν ἢ μίαν εἶναι* 1 *ἢ οὐ μίαν, ταὐτόν δὲ εἰπεῖν πλείους, καὶ εἰ μίαν, ἤτοι ἀκίνητον ἢ κινουμένην. καὶ εἰ ἀκίνητον, ἤτοι ἄπειρον ὡς Μέλισσος ὁ Σάμιος δοκεῖ λέγειν, ἢ πεπερασμένην ὡς Παρμενίδης Πύρητος Ἐλεάτης, οὐ περὶ φυσικοῦ στοιχείου λέγοντες οὗτοι, ἀλλὰ περὶ τοῦ ὄντως ὄντος.*

μίαν δὲ τὴν ἀρχὴν ἤτοι ἓν τὸ ὂν καὶ πᾶν (καὶ οὔτε πεπερασμένον 2 *οὔτε ἄπειρον οὔτε κινούμενον οὔτε ἠρεμοῦν) Ξενοφάνην τὸν Κολοφώνιον τὸν Παρμενίδου διδάσκαλον ὑποτίθεσθαί φησιν ὁ Θεόφραστος, ὁμολογῶν ἑτέρας εἶναι μᾶλλον ἢ τῆς περὶ φύσεως ἱστορίας τὴν μνήμην τῆς τούτου δόξης.*

τὸ γὰρ ἓν τοῦτο καὶ πᾶν τὸν θεὸν ἔλεγεν ὁ Ξενοφάνης· ὃν ἕνα μὲν 3 *δείκνυσιν ἐκ τοῦ πάντων κράτιστον εἶναι. πλειόνων γάρ, φησίν, ὄντων ὁμοίως ὑπάρχειν ἀνάγκη πᾶσι τὸ κρατεῖν· τὸ δὲ πάντων κράτιστον καὶ ἄριστον θεός.*

ἀγένητον δὲ ἐδείκνυεν ἐκ τοῦ δεῖν τὸ γινόμενον ἢ ἐξ ὁμοίου ἢ ἐξ ἀνο- 4 *μοίου γίνεσθαι. ἀλλὰ τὸ μὲν ὅμοιον ἀπαθές φησιν ὑπὸ τοῦ ὁμοίου· οὐδὲν γὰρ μᾶλλον γεννᾶν ἢ γεννᾶσθαι προσήκει τὸ ὅμοιον ἐκ τοῦ ὁμοίου· εἰ δὲ ἐξ ἀνομοίου γίνοιτο, ἔσται τὸ ὂν ἐκ τοῦ μὴ ὄντος. καὶ οὕτως ἀγένητον καὶ ἀΐδιον ἐδείκνυ.*

οὔτε δὲ ἄπειρον οὔτε πεπερασμένον εἶναι, διότι ἄπειρον μὲν τὸ μὴ ὂν 5 *ὡς οὔτε ἀρχὴν ἔχον οὔτε μέσον οὔτε τέλος, περαίνειν δὲ πρὸς ἄλληλα τὰ πλείω.*

παραπλησίως δέ καὶ τὴν κίνησιν ἀφαιρεῖ καὶ τὴν ἠρεμίαν. ἀκίνητον 6 *μὲν γὰρ εἶναι τὸ μὴ ὄν· οὔτε γὰρ ἂν εἰς αὐτὸ ἕτερον οὔτε αὐτὸ πρὸς ἄλλο ἐλθεῖν· κινεῖσθαι δὲ τὰ πλείω τοῦ ἑνός· ἕτερον γὰρ εἰς ἕτερον μεταβάλλειν* [*μεταβάλλει* codd.: corr. Usener].

ὥστε καὶ ὅταν ἐν ταὐτῷι μένειν λέγηι καὶ μὴ κινεῖσθαι, ἀεὶ δ' — 7

ἄλλῃ' [fr. 26] *οὐ κατὰ τὴν ἠρεμίαν τὴν ἀντικειμένην τῇ κινήσει μένειν αὐτό* [DE: *αὐτόν* E[a]F] *φησιν, ἀλλὰ κατὰ τὴν ἀπὸ κινήσεως καὶ ἠρεμίας ἐξηιρημένην μονήν.*

Νικόλαος δὲ ὁ Δαμασκηνὸς ὡς ἄπειρον καὶ ἀκίνητον λέγοντος αὐτοῦ 8 *τὴν ἀρχὴν ἐν τῇι Περὶ θεῶν ἀπομνημονεύει, Ἀλέξανδρος δὲ ὡς πεπερασμένον αὐτὸ καὶ σφαιροειδές.*

ἀλλ' ὅτι μὲν οὔτε ἄπειρον οὔτε πεπερασμένον αὐτὸ δείκνυσιν, ἐκ τῶν 9 *προειρημένων δῆλον· πεπερασμένον δὲ καὶ σφαιροειδὲς αὐτὸ διὰ τὸ παντα-χόθεν ὅμοιον λέγειν. καὶ πάντα νοεῖν δέ φησιν αὐτὸ λέγων* [*λέγειν* codd.: correxi] '*ἀλλ*' — *κραδαίνει*' [fr. 25].

Simplicius ex Alexandro parum diligenter transscripsit primum Theophrasti ex Physicorum Placitis eclogam (fr. 5 Dox. p. 480), ubi etiam versus Xenophanis citati esse videntur, tum Aristotelis q. f. de MXG [cf. A 28] excerpta, et sunt quidem: § 1 paraphr. Ar. Phys. 184[b] 15, § 2 Theophrastea admixta parenthesi ex Ar. de MXG; § 3 ex l. de MXG 977[a] 14. 23—28, § 4 indidem 977[a] 15—22; § 5 ind. 977[b]2—7; § 6 ex 977 [b]8—12; § 7 Theophrastea admixto l. de MXG 977[b] 17 sqq.; § 8 ex Alexandro ipso; § 9 Simplicii iudicium adiecto versu ex Theophrasteis Alexandri. cetera Theophrasti excerpta eaque magis sincera continuo n. 32 sqq.

32. [Plut.] Strom. 4 [Eus. P.E I 8, 4. Dox. 580] *Ξ. δὲ ὁ Κολοφώνιος ἰδίαν τινὰ ὁδὸν πεπορευμένος καὶ παρηλλαχυῖαν πάντας τοὺς προειρημένους* [Thaleta, Anaximandrum, Anaximenen] *οὔτε γένεσιν οὔτε φθορὰν ἀπολείπει, ἀλλ εἶναι λέγει τὸ πᾶν ἀεὶ ὅμοιον· εἰ γὰρ γίγνοιτο τοῦτο, φησίν, ἀναγκαῖον προ τούτου μὴ εἶναι· τὸ μὴ ὂν δὲ οὐκ ἂν γένοιτο οὐδ' ἄν τὸ μὴ ὂν ποιήσαι τι οὔτε ὑπὸ τοῦ μὴ ὄντος γένοιτ' ἄν τι. ἀποφαίνεται δὲ καὶ τὰς αἰσθήσεις ψευδεῖς καὶ καθόλου σὺν αὐταῖς καὶ αὐτὸν τὸν λόγον διαβάλλει. ἀποφαίνεται δὲ καὶ τῶι χρόνωι καταφερομένην συνεχῶς καὶ κατ' ὀλίγον τὴν γῆν εἰς τὴν θάλασσαν χωρεῖν. φησὶ δὲ καὶ τὸν ἥλιον ἐκ μικρῶν καὶ πλειόνων πυρίων* [*πυριδίων* Toup] *ἀθροίζεσθαι. ἀποφαίνεται δὲ καὶ περὶ θεῶν ὡς οὐδεμιᾶς ἡγεμονίας ἐν αὐτοῖς οὔσης· οὐ γὰρ ὅσιον δεσπόζεσθαί τινα τῶν θεῶν· ἐπιδεῖσθαί τε μηδενὸς αὐτῶν μηδένα μηδ' ὅλως· ἀκούειν δὲ καὶ ὁρᾶν καθόλου καὶ μὴ κατὰ μέρος. ἀποφαίνεται δὲ καὶ τὴν γῆν ἄπειρον εἶναι καὶ κατὰ πᾶν μέρος μὴ* [*μὴ* ante *κατὰ* transp. Brandis] *περιέχεσθαι ὑπὸ ἀέρος· γίνεσθαι δὲ ἅπαντα ἐκ γῆς· τὸν δὲ ἥλιον καὶ τὰ ἄστρα ἐκ τῶν νεφῶν γίνεσθαι.*

33. Hippol. Ref. I 14 [Dox. 565] *Ξ. δὲ ὁ Κολοφώνιος Ὀρθομένους υἱός.* 1 *οὕτως ἕως Κύρου διέμεινεν. οὗτος ἔφη πρῶτος ἀκαταληψίαν εἶναι πάντων εἰπὼν οὕτως· 'εἰ γὰρ — τέτυκται'* [fr. 34, 3, 4].

λέγει δὲ ὅτι οὐδὲν γίνεται οὐδὲ φθείρεται οὐδὲ κινεῖται καὶ ὅτι ἓν τὸ 2 *πᾶν ἐστιν ἔξω μεταβολῆς. φησὶ δὲ καὶ τὸν θεὸν εἶναι ἀίδιον καὶ ἕνα καὶ ὅμοιον πάντῃ καὶ πεπερασμένον καὶ σφαιροειδῆ καὶ πᾶσι τοῖς μορίοις αἰσθητικόν. τὸν δὲ ἥλιον ἐκ μικρῶν πυριδίων ἀθροιζομένων γίνεσθαι καθ' ἑκά-* 3 *στην ἡμέραν, τὴν δὲ γῆν ἄπειρον εἶναι καὶ μήτε ὑπ' ἀέρος μήτε ὑπὸ τοῦ οὐρανοῦ περιέχεσθαι. καὶ ἀπείρους ἡλίους εἶναι καὶ σελήνας, τὰ δὲ πάντα εἶναι ἐκ γῆς. οὗτος τὴν θάλασσαν ἁλμυρὰν ἔφη διὰ τὸ πολλὰ μείγματα συρρέειν* 4 *ἐν αὐτῇι. ὁ δὲ Μητρόδωρος διὰ τὸ ἐν τῇι γῇι διηθεῖσθαι τούτου χάριν γίνεσθαι ἁλμυράν. ὁ δὲ Ξενοφάνης μίξιν τῆς γῆς πρὸς τὴν θάλασσαν γίνεσθαι* 5

δοκεῖ καὶ τῶι χρόνωι ὑπὸ τοῦ ὑγροῦ λύεσθαι, φάσκων τοιαύτας ἔχειν ἀποδείξεις, ὅτι ἐν μέσηι γῆι καὶ ὄρεσιν εὑρίσκονται κόγχαι, καὶ ἐν Συρακούσαις δὲ ἐν ταῖς λατομίαις λέγει εὑρῆσθαι τύπον ἰχθύος καὶ φωκῶν [*φυκῶν* Gomperz], *ἐν δὲ Πάρωι τύπον ἀφύης* [*δάφνης* libri: corr. Gronov] *ἐν τῶι βάθει τοῦ λίθου, ἐν δὲ Μελίτηι* [*μελίτωι* libri: corr. Karsten] *πλάκας συμπάντων θαλασσίων. ταῦτα* 6 *δέ φησι γενέσθαι ὅτε πάντα ἐπηλώθησαν πάλαι, τὸν δὲ τύπον ἐν τῶι πηλῶι ξηρανθῆναι. ἀναιρεῖσθαι δὲ τοὺς ἀνθρώπους πάντας, ὅταν ἡ γῆ κατενεχθεῖσα εἰς τὴν θάλατταν πηλὸς γένηται, εἶτα πάλιν ἄρχεσθαι τῆς γενέσεως, καὶ ταύτην πᾶσι τοῖς κόσμοις γίνεσθαι μεταβολήν* [*καὶ τοῦτο — καταβάλλειν* libri: correxi]. e biographo est ducta § 1, cetera e Theophrasto.

34. Cic. Acad. II 118 *X. paulo etiam antiquior* [scil. Anaxagora] *unum esse omnia neque id esse mutabile et id esse deum neque natum umquam et sempiternum, conglobata figura.* d. n. deor. I 11, 28 *tum Xenophanes qui mente adiuncta omne praeterea quod esset infinitum deum voluit esse, de ipsa mente item reprehenditur* [*reprehenderetur* archetypus] *ut ceteri, de infinitate autem vehementius, in qua nihil neque sentiens neque coniunctum potest esse.*

35. Galen. hist. phil. 7 (Dox. 604, 17) . . . *Ξενοφάνην μὲν περὶ πάντων ἠπορηκότα, δογματίσαντα δὲ μόνον τὸ εἶναι πάντα ἓν καὶ τοῦτο ὑπάρχειν θεὸν πεπερασμένον, λογικόν, ἀμετάβλητον.*

36. Theodoret. IV 5 ex Aët. [Dox. 284 not.] *Ξ. μὲν οὖν ὁ Ὀρθομένους ὁ Κολοφώνιος ὁ τῆς Ἐλεατικῆς αἱρέσεως ἡγησάμενος ἓν εἶναι τὸ πᾶν ἔφησε σφαιροειδὲς καὶ πεπερασμένον, οὐ γενητὸν ἀλλ' ἀίδιον καὶ πάμπαν ἀκίνητον. πάλιν δὲ αὖ τῶνδε τῶν λόγων ἐπιλαθόμενος ἐκ τῆς γῆς φῦναι ἅπαντα εἴρηκεν· αὐτοῦ γὰρ δὴ τόδε τὸ ἔπος ἐστίν ' ἐκ γῆς — τελευτᾶι '.* [fr. 27]. Ex Allegoriis homericis Stob. ecl. I 10, 12 *Ξ. ἀρχὴν τῶν ὄντων πάντων εἶναι τὴν γῆν. γράφει γὰρ ἐν τῶι Περὶ φύσεως ' ἐκ — τελευτᾶι '.* Olympiod. de arte sacr. 24 [Berthelot *Collect. des Alchim. gr.* I 2] p. 82, 21 *τὴν μὲν γὰρ γῆν οὐδεὶς ἐδόξασεν εἶναι ἀρχήν, εἰ μὴ Ξ. ὁ Κολοφώνιος.* Galen. in Hippocr. d. nat. hom. XV 25 K. *κακῶς δὲ καὶ τῶν ἐξηγητῶν ἔνιοι κατεψεύσαντο Ξενοφάνους ὥσπερ καὶ Σαβῖνος ὧδέ πως γράψας αὐτοῖς ὀνόμασιν· ' οὔτε γὰρ πάμπαν ἀέρα λέγω τὸν ἄνθρωπον ὥσπερ Ἀναξιμένης οὔτε ὕδωρ ὡς Θαλῆς οὔτε γῆν ὡς ἔν τινι Ξενοφάνης '· οὐδαμόθεν γὰρ εὑρίσκεται ὁ Ξ. ἀποφηνάμενος οὕτως . . . καὶ Θεόφραστος δ' ἂν ἐν ταῖς τῶν Φυσικῶν δοξῶν ἐπιτομαῖς τὴν Ξενοφάνους δόξαν, εἴπερ οὕτως εἶχεν, ἐγεγράφει* cf. Arist. Metaph. A 8. 989ª 5.

37. Aët. II 1, 3 [D. 327] *Ἀναξίμανδρος, Ἀναξιμένης, Ἀρχέλαος, Ξενοφάνης Διογένης, Λεύκιππος, Δημόκριτος, Ἐπίκουρος ἀπείρους κόσμους ἐν τῶι ἀπείρωι κατὰ πᾶσαν περιαγωγήν* [*περίστασιν* Plut.], sc. *γίνεσθαι καὶ φθείρεσθαι*; II 4, 11 [D. 332] *Ξ. ἀγένητον καὶ ἀίδιον καὶ ἄφθαρτον τὸν κόσμον.*

38. Idem II 13, 14 [D. 343] *Ξ. ἐκ νεφῶν μὲν πεπυρωμένων* [sc. *τὰ ἄστρα γίνεσθαι*]· *σβεννυμένους δὲ καθ' ἑκάστην ἡμέραν ἀναζωπυρεῖν νύκτωρ καθάπερ τοὺς ἄνθρακας· τὰς γὰρ ἀνατολὰς καὶ τὰς δύσεις ἐξάψεις εἶναι καὶ σβέσεις.*

39. Idem II 18, 1 [D. 347] *Ξ. τοὺς ἐπὶ τῶν πλοίων φαινομένους οἷον ἀστέρας, οὓς καὶ Διοσκούρους καλοῦσί τινες, νεφέλια εἶναι κατὰ τὴν ποιὰν κίνησιν παραλάμποντα.*

40. — 20, 3 [D. 348] Ξ. ἐκ νεφῶν πεπυρωμένων εἶναι τὸν ἥλιον. [hoc ex Theophrasto per Posidonium, sequitur ipsius Theophr. ecloga:] Θεόφραστος ἐν τοῖς Φυσικοῖς [fr. 16] γέγραφεν ἐκ πυριδίων τῶν συναθροιζομένων μὲν ἐκ τῆς ὑγρᾶς ἀναθυμιάσεως, συναθροιζόντων δὲ τὸν ἥλιον.

41. — II 24, 4 [D. 354] Ξ. κατὰ σβέσιν [sc. τὴν ἔκλειψιν, rectius δύσιν, ἡλίου γίνεσθαι] ἕτερον δὲ πάλιν ταῖς ἀνατολαῖς γίνεσθαι. παριστόρηκε δὲ καὶ ἔκλειψιν ἡλίου ἐφ' ὅλον μῆνα καὶ πάλιν ἔκλειψιν ἐντελῆ, ὥστε τὴν ἡμέραν νύκτα φανῆναι [in censum veniunt eclipses totales a. 542. 531. 530. 517. 503. 502. 493. 477. 470 cf. Ginzel *Kanon* p. 54 sqq.].

41. — II 24, 9 [D. 355] Ξ. πολλοὺς εἶναι ἡλίους καὶ σελήνας κατὰ κλίματα τῆς γῆς καὶ ἀποτομὰς καὶ ζώνας, κατὰ δέ τινα καιρὸν ἐκπίπτειν τὸν δίσκον εἴς τινα ἀποτομὴν τῆς γῆς οὐκ οἰκουμένην ὑφ' ἡμῶν καὶ οὕτως ὥσπερ κενεμβατοῦντα ἔκλειψιν ὑποφαίνειν· ὁ δ' αὐτὸς τὸν ἥλιον εἰς ἄπειρον μὲν προΐέναι, δοκεῖν δὲ κυκλεῖσθαι διὰ τὴν ἀπόστασιν.

42. — II 30, 8 [D. 362] Ξ. τὸν μὲν ἥλιον χρήσιμον εἶναι πρὸς τὴν τοῦ κόσμου καὶ τὴν τῶν ἐν αὐτῷ ζώιων γένεσίν τε καὶ διοίκησιν, τὴν δὲ σελήνην παρέλκειν.

43. — II 25, 4 [D. 356] Ξ. νέφος εἶναι πεπιλημένον [sc. τὴν σελήνην]. II 28, 1 [D. 358] Ἀναξίμανδρος, Ξενοφάνης, Βήρωσος ἴδιον αὐτὴν ἔχειν φῶς. II 29, 5 [D. 360] Ξ. καὶ τὴν μηνιαίαν ἀπόκρυψιν κατὰ σβέσιν [sc. γίνεσθαι].

44. — III 2, 11 [D. 367] Ξ. πάντα τὰ τοιαῦτα [sc. κομήτας, διάττοντας, δοκίδας] νεφῶν πεπυρωμένων συστήματα ἢ κινήματα [πιλήματα Zeller].

45. — III 3, 6 [D. 368] Ξ. ἀστραπὰς γίνεσθαι λαμπρυνομένων τῶν νεφῶν κατὰ τὴν κίνησιν.

46. — III 4, 4 [D. 371] Ξ. ἀπὸ τῆς τοῦ ἡλίου θερμότητος ὡς ἀρκτικῆς αἰτίας τὰν τοῖς μεταρσίοις συμβαίνειν. ἀνελκομένου γὰρ ἐκ τῆς θαλάττης τοῦ ὑγροῦ τὸ γλυκὺ διὰ τὴν λεπτομέρειαν διακρινόμενον νέφη τε συνιστάνειν ὁμιχλούμενον καὶ καταστάζειν ὄμβρους ὑπὸ πιλήσεως καὶ διατμίζειν τὰ πνεύματα. γράφει γαρ διαρρήδην 'πηγὴ δ' — ὕδατος' [fr. 30, 1].

47. Aristot. de caelo B 13. 294ª 21 οἱ μὲν γὰρ διὰ ταῦτα ἄπειρον τὸ κάτω τῆς γῆς εἶναί φασιν, ἐπ' ἄπειρον αὐτὴν ἐρριζῶσθαι λέγοντες ὥσπερ Ξ. ὁ Κολοφώνιος, ἵνα μὴ πράγματ' ἔχωσι ζητοῦντες τὴν αἰτίαν. διὸ καὶ Ἐμπεδοκλῆς οὕτως ἐπέπληξεν εἰπὼν ὡς 'εἶπερ — ἰδόντων [fr. 39]; cf. Simpl. ad Ar. l. c. p. 522, 7 Heib. ἀγνοῶ δὲ ἐγὼ τοῖς Ξενοφάνους ἕπεσι τοῖς περὶ τούτου μὴ ἐντυχών, πότερον τὸ κάτω μέρος τῆς γῆς ἄπειρον εἶναι λέγων διὰ τοῦτο μένειν αὐτήν φησιν ἢ τὸν ὑποκάτω τῆς γῆς τόπον καὶ αἰθέρα ἄπειρον καὶ διὰ τοῦτο ἐπ' ἄπειρον καταφερομένην τὴν γῆν δοκεῖν ἠρεμεῖν. οὔτε γὰρ ὁ Ἀριστοτέλης διεσάφησεν οὔτε τὰ Ἐμπεδοκλέους ἔπη διορίζει σαφῶς· 'γῆς' γὰρ 'βάθη' λέγοιτο ἂν καὶ ἐκεῖνα εἰς ἃ κάτεισιν. ex Aristotele Pseudar. de MXG 2, 21 p. 976ª 32 ἔτι τί κωλύει καὶ πλείω ὄντα ἑνὸς μεγέθει ἄπειρα εἶναι; ὡς καὶ ὁ Ξ. ἄπειρον τό τε βάθος τῆς γῆς καὶ τοῦ ἀέρος φησὶν εἶναι (tum citat ex Arist. Emp. fr. cit). Aët. III 9, 4 [D. 376] Ξ. ἐκ τοῦ κατωτέρου μέρους εἰς ἄπειρον [μέρος] ἐρριζῶσθαι [scil. τὴν γῆν], ἐξ ἀέρος δὲ καὶ πυρὸς συμπαγῆναι. III 11, 1. 2 [D. 377] οἱ ἀπὸ Θάλεω τὴν γῆν μέσην, Ξ. πρώτην· εἰς ἄπειρον γὰρ ἐρρι-

ζῶσθαι [cf. fr. 28]. Cic. Acad. pr. II 39, 122 *sed ecquid nos eodem modo rerum naturas persecare aperire dividere possumus, ut videamus, terra penitusne defixa sit et quasi radicibus suis haereat an media pendeat?* 123. *habitari ait Xenophanes in luna eamque esse terram multarum urbium et montium.* Cicero dum Theophrasti Opiniones excerpit [cf. fr. 18 D. 492, 9] lemmata confudit. terra radicibus suis haerens pertinet ad Xenophanem, luna habitata ad Anaxagoram (ipsum Ciceronem errasse apparet ex Lact. I. d. III 23 qui § 123 et 82 conflavit).

48 [Arist.] Mirab. 38. 833ª 15 [fortasse e Timaeo] τὸ δ' ἐν τῇι *Λιπάραι* [scil. πῦρ] *ποτὲ καὶ ἐκλιπεῖν Ξ. φησὶν ἐπ' ἔτη ἑκκαίδεκα, τῶι δ' ἐβδόμωι ἐπανελθεῖν.*

49 Aristocles *Περὶ φιλοσοφίας* ᾱ [Eus. XIV 17, 1] *οἴονται γὰρ δεῖν τὰς μὲν αἰσθήσεις καὶ τὰς φαντασίας καταβάλλειν, αὐτῶι δὲ μόνον τῶι λόγωι πιστεύειν. τοιαῦτα γάρ τινα πρότερον μὲν Ξ. καὶ Παρμενίδης καὶ Ζήνων καὶ Μέλισσος ἔλεγον, ὕστερον δ' οἱ περὶ Στίλπωνα καὶ τοὺς Μεγαρικούς. ὅθεν ἠξίουν οὗτοί γε τὸ ὂν ἓν εἶναι καὶ τὸ ἕτερον μὴ εἶναι μηδὲ γεννᾶσθαί τι μηδὲ φθείρεσθαι μηδὲ κινεῖσθαι τὸ παράπαν.* Aet. IV 9, 1 [D. 369] *Πυθαγόρας, Ἐμπεδοκλῆς, Ξ. . . . ψευδεῖς εἶναι τὰς αἰσθήσεις.*

50 Macrob. S. Scip. I 14, 19 *X. ex terra et aqua* [sc. animam esse].

51 Tertull. de anima c. 43 *Anaxagoras cum Xenophane defetiscentiam* [i. e. *κόπον τῆς σωματικῆς ἐνεργείας*, esse somnum].

52 Cic. de divin. I 3, 5 *philosophorum vero exquisita quaedam argumenta cur esset vera divinatio collecta sunt* [nimirum a Posidonio], *e quibus, ut de antiquissumis loquar, Colophonius X., unus qui deos esse diceret, divinationem funditus sustulit; reliqui vero omnes praeter Epicurum balbutientem de natura deorum divinationem probaverunt.* Aët. V 1, 1 [D. 415] *Ξ. καὶ Ἐπίχουρος ἀναιροῦσι τὴν μαντικήν.*

Xenophanis reliquias edidit et illustravit S. Karsten (*Philos. gr. vet rel.* I 1) Amstelod. 1830. carmina coll. Crusius *Anth. lyr.*⁴ 50; elegias Bergk *Poet. lyr.* II ⁸ 111, sillos Wachsmuth *Sillogr. rel.* (Lips. 1885). de philosophia recenter Freudenthal *Ueber die Theologie des X.* Breslau 1886, Orvieto *Filosofia di Senofane* Fir. 1899, omnino Zeller *Phil. d. Gr.* I ⁵ 521 sqq.

B. FRAGMENTA.

ΞΕΝΟΦΑΝΟΥΣ ΕΛΕΓΕΙΑΙ.

1 (21 Karsten, 1 Crusius)

ATHEN. XI 462 C *ὁρῶν οὖν ὑμῶν καὶ αὐτὸς τὸ συμπόσιον κατὰ τὸν Κολοφώνιον Ξενοφάνη πλῆρες ὂν πάσης θυμηδίας·*

νῦν γὰρ δὴ ζάπεδον καθαρὸν καὶ χεῖρες ἁπάντων
καὶ κύλικες· πλεκτοὺς δ' ἀμφιτίθεῖ στεφάνους,
ἄλλος δ' εὐῶδες μύρον ἐν φιάλῃι παρατείνει·
κρατὴρ δ' ἕστηκεν μεστὸς εὐφροσύνης,
ἄλλος δ' οἶνος ἕτοιμος, ὃς οὔποτέ φησι προδώσειν,
μείλιχος ἐν κεράμοισ' ἀνθεος ὀσδόμενος·
ἐν δὲ μέσοισ' ἁγνὴν ὀδμὴν λιβανωτὸς ἵησι·
ψυχρὸν δ' ἔστιν ὕδωρ καὶ γλυκὺ καὶ καθαρόν·
πάρκεινται δ' ἄρτοι ξανθοὶ γεραρή τε τράπεζα
τυροῦ καὶ μέλιτος πίονος ἀχθομένη·
βωμὸς δ' ἀνθεσιν ἀν τὸ μέσον πάντηι πεπύκασται,
μολπὴ δ' ἀμφὶς ἔχει δώματα καὶ θαλίη.
χρὴ δὲ πρῶτον μὲν θεὸν ὑμνεῖν εὔφρονας ἄνδρας
εὐφήμοις μύθοις καὶ καθαροῖσι λόγοις·
σπείσαντας δὲ καὶ εὐξαμένους τὰ δίκαια δύνασθαι
πρήσσειν (ταῦτα γὰρ ὧν ἐστι προχειρότερον)
οὐχ ὕβρις πίνειν ὁπόσον κεν ἔχων ἀφίκοιο
οἴκαδ' ἄνευ προπόλου μὴ πάνυ γηραλέος.
ἀνδρῶν δ' αἰνεῖν τοῦτον ὃς ἐσθλὰ πιὼν ἀναφαίνηι,
ὥς οἱ μνημοσύνη καὶ τόνος ἀμφ' ἀρετῆς.

2 *ἀμφιτιθεὶς* Ath.: corr. Dindorf; imitatur Meleag. A. P. V 135 *ἀμφιτίθει στέφανον* eadem sede 3 *ἄλλος· ⟨ὁ⟩ δ'* G. Hermann 4 *κρητὴρ* Schneidewin; at cf. ad Parm. 1, 24 5 *οἶνος ἐστὶν ἕτοιμος* AE: corr. apogr. 11 *ἂν τὸ μέσον* cf. Theogn. 839 13 *δὴ* Bergk *ὑμνὲν* A 15 *δὲ* Bergk: *τε* Ath. *προχειρότερον*] cf. ad fr. 38 17 *ὕβρεις πίνειν δ'* Ath.: corr. Musurus et Bergk 18 *γηραλέος*] cf. fr. 9; Xen. Lac. resp. 5, 7; Eur. Andr. 761: *γυραλέος* Wilam. 19 *ἔσθλ' ἀπιὼν* metrum emendaret, non sensum. agitur nimirum de scoliis *ἀναφαίνει* Ath.: corr. G. Hermann; *ποδῶν ἀρετὴν ἀναφαίνων* praeit Hom. Ψ 411 20 *ωση* A: *ὡσ ἡ* E: corr. Coraes *τὸν ὅς* Ath: *πόνος* Schneidewin. intellego *qui potus proba exempla edat, quomodo sibi memoria et vocis intentio vigeat in virtute canenda.* de Mnemosyna cf. Plato Crit. 108 D [inde Plut. Amat. 749 B, inde Ath. XI 503]. *τόνος* quid sit cf. Eur. Med. 201. Dem. 18, 280. cum obtrectet Xenoph. fr. 2 optimatium *ἀρετῆι*, ipsi altius eam repetitam esse et recentius definitam consentaneum. cf. Plato R. p. II 378 C *πολλοῦ δεῖ γιγαντο-*

21 *οὔτι μάχας διέπειν Τιτήνων οὐδὲ Γιγάντων*
οὐδ(ὲ) ⟨αὖ⟩ Κενταύρων, πλάσματα τῶν προτέρων,
ἢ στάσιας σφεδανάς, τοῖσ' οὐδὲν χρηστὸν ἔνεστι,
θεῶν ⟨δὲ⟩ προμηθείην αἰὲν ἔχειν ἀγαθόν.

μαχίας τε μυθολογητέον αὐτοῖς καὶ ποικιλτέον καὶ ἄλλος ἔχθρας πολλὰς καὶ παντοδαπὰς θεῶν τε καὶ ἡρώων . . . ὧν δὴ ἴσως ἕνεκα περὶ παντὸς ποιητέον ἃ πρῶτα ἀκούουσιν, ὅτι κάλλιστα μεμυθολογημένα πρὸς ἀρετὴν ἀκούειν. praeterea cf. Arist. Vesp. 1179 21 *διέπειν* A (sc. *ἀγαθόν* v. 24, sic Karsten): *διέπει* E 22 suppl. Bergk; *τι* Meineke; *τὰ* G. Hermann *πλασμάτων πρ.* Ath.: corr. Schweighäuser 23 *σφεδανάς* Osann: *φενδόνας* Ath. 21 suppl. Scaliger *ἀγαθήν* Ath.: corr. G. Hermann

2 (19 K. 2 Cr.)

Ath. X p. 413 F Euripidis fr. ex Autolyco primo (282 N.) allato: *ταῦτ' εἴληφεν ὁ Εὐριπίδης ἐκ τῶν τοῦ Κολοφωνίου ἐλεγείων Ξενοφάνους οὕτως εἰρηκότος 'ἀλλ' — πόλεως'. πολλὰ δὲ καὶ ἄλλα ὁ Ξενοφάνης κατὰ τὴν ἑαυτοῦ σοφίαν ἐπαγωνίζεται διαβάλλων ὡς ἄχρηστον καὶ ἀλυσιτελὲς τὸ τῆς ἀθλήσεως εἶθος.*

ἀλλ' εἰ μὲν ταχυτῆτι ποδῶν νίκην τις ἄροιτο
ἢ πενταθλεύων, ἔνθα Διὸς τέμενος
πὰρ Πίσαο ῥοῇσ' ἐν Ὀλυμπίῃ, εἴτε παλαίων
ἢ καὶ πυκτοσύνην ἀλγινόεσσαν ἔχων,
εἴτε τι δεινὸν ἄεθλον δ παγκράτιον καλέουσιν,
ἀστοῖσίν κ' εἴη κυδρότερος προσορᾶν,
καί κε προεδρίην φανερὴν ἐν ἀγῶσιν ἄροιτο,
καί κεν σῖτ' εἴη δημοσίων κτεάνων
ἐκ πόλεως καὶ δῶρον δ οἱ κειμήλιον εἴη·
εἴτε καὶ ἱπποισιν, ταῦτά κε πάντα λάχοι
οὐκ ἐὼν ἄξιος ὥσπερ ἐγώ. ῥώμης γὰρ ἀμείνων
ἀνδρῶν ἠδ' ἵππων ἡμετέρη σοφίη.
ἀλλ' εἰκῆι μάλα τοῦτο νομίζεται, οὐδὲ δίκαιον
προκρίνειν ῥώμην τῆς ἀγαθῆς σοφίης.
οὔτε γὰρ εἰ πύκτης ἀγαθὸς λαοῖσι μετείη
οὔτ' εἰ πενταθλεῖν οὔτε παλαισμοσύνην,

cf. Tyrt. 10, 1.2, Eur. fr. cit., Isocr. 4, 1.2. 1 *ἄροιτο* cf. *κῦδος ἄροιτο* K 307 5 *τι* Ath.: *τὸ* Wakefield. an simulat acerbe se nescire quid sit artificii? 6 *προσεραν* Ath.: Jacobs 8 *σιτειη* Ath.; cf. Ar. Equ. 575 *νῦν δ' ἐὰν μὴ προεδρίαν φέρωσι καὶ τὰ σιτία, οὐ μαχεῖσθαί φασιν* (praec. *σίτησιν*) *δημοσίων κτεάνων* cf. Solon 4, 12 9 *πόλιος* ut 22 Schneidewin *δῶρον κτλ.*] ex *α* 311 10 *κ' εἰπάντα* Ath.: Schweigh. 15 *λαοῖσιν ἔτ' εἴη* Ath.: corr. Stephanus

οὐδὲ μὲν εἰ ταχυτῆτι ποδῶν, τόπερ ἐστὶ πρότιμον
ῥώμης ὅσσ' ἀνδρῶν ἔργ' ἐν ἀγῶνι πέλει,
τοὔνεκεν ἂν δὴ μᾶλλον ἐν εὐνομίηι πόλις εἴη.
σμικρὸν δ' ἄν τι πόλει χάρμα γένοιτ' ἐπὶ τῶι,
εἴ τις ἀεθλεύων νικῶι Πίσαο παρ' ὄχθας·
οὐ γὰρ πιαίνει ταῦτα μυχοὺς πόλεως.

20 *πόλι* Renner cf. Ω 706 *μέγα χάρμα πόλι τ' ἦν παντί τε δήμωι* 21 cf. *Ξανθοῖο παρ' ὄχθας* Homeri

3 (20 K. 3 Cr.)

ATH. XII 526 A *Κολοφώνιοι δ' ὥς φησι Φύλαρχος* [FHG I 353] *τὴν ἀρχὴν ὄντες σκληροὶ ἐν ταῖς ἀγωγαῖς, ἐπεὶ εἰς τρυφὴν ἐξώκειλαν πρὸς Λυδοὺς φιλίαν καὶ συμμαχίαν ποιησάμενοι, προήεσαν διαχυμένοι τὰς κόμας χρυσῶι κόσμωι, ὡς καὶ Ξ. φησὶν 'ἁβροσύνας—δευόμενοι'* — 5 HESYCH. *αὐχαλέοι: σεμνοί*

ἁβροσύνας δὲ μαθόντες ἀνωφελέας παρὰ Λυδῶν,
ὄφρα τυραννίης ἦσαν ἄνευ στυγερῆς,
ἤιεσαν εἰς ἀγορὴν παναλουργέα φάρε' ἔχοντες,
οὐ μείους ὥσπερ χίλιοι εἰς ἐπίπαν,
αὐχαλέοι, χαίτηισιν ἀγαλλόμεν' εὐπρεπέεσσιν
ἀσκητοῖσ' ὀδμὴν χρίμασι δευόμενοι.

1 *ἀφροσύνας* Ath.: corr. Schneider Saxo 2 *ησσα|νευ* A.: Dindorf 3 *ἦισαν* Meineke 4 *χειλιοι* Hiller; hic interpunxit A vix recte *εἰς*] *ὡς* Schweighäuser 5 *αὐχαλέοι* (ab *αὖχη* ut *ῥωμαλέος* a *ῥώμη* cf. test. ad v. 5) *gloriabundi* *χαιτισιν* A: Musurus *ἀγαλλομεν* A. tolero vulgarem elisionem Delphis crebram (cf. Valaori *Delph. Dial.* § 18, 5), poetis insolitam (A 272; Pind. O. XIII 7?). clausula Homerica B 462 *ἀγαλλόμενοι πτερύγεσσιν* usus Aristeas fr. 2 *χαίτηισιν ἀγαλλόμενοι ταναῆισι* (quod restituebat etiam Xenophani Schneidewin), *χ. ἀγαλλόμενοι χρυσέηισι* Meineke (cf. test.). *ἀγάλμενοι* Wilamowitz; olim putabam *ἀγαλλόμεθ'* 6 cf. Emp. 128, 5

4

POLLUX IX 83 *εἴτε Φείδων πρῶτος ὁ Ἀργεῖος ἔκοψε νόμισμα εἴτε Δημοδίκη ἡ Κυμαία συνοικήσασα Μίδαι τῶι Φρυγί (παῖς δ' ἦν Ἀγαμέμνονος Κυμαίων βασιλέως) εἴτε Ἀθηναίοις Ἐριχθόνιος καὶ Λύκος, εἴτε Λυδοί, καθά φησι Ξ.* cf. Herod. I 94 *Λυδοὶ γὰρ δὴ καὶ πρῶτοι ἀνθρώπων τῶν ἡμεῖς ἴδμεν, νόμισμα χρυσοῦ καὶ ἀργυροῦ κοψάμενοι ἐχρήσαντο*

5 (23 K. 4 Cr.)

ATH. XI 18. 782 A *ἔθος δ' ἦν πρότερον ἐν τῶι ποτηρίωι ὕδωρ ἐμβάλλεσθαι, μεθ' ὃ τὸν οἶνον. Ξενοφάνης·*

οὐδέ κεν ἐν κύλικι πρότερον κεράσειέ τις οἶνον

ἐγχέας, ἀλλ' ὕδωρ καὶ καθύπερθε μέθυ.

2 *ἐγχεύας* Ath.: corr. Casaub. — *ὕδωρ* in thesi (praeter h. Cer. 381?) in antiqua poesi inauditum: *ὑφ' ὕδωρ* Wilamowitz

6 (22 K. 5 Cr.)

Athen. IX 368 E: *Ξ. δ' ὁ Κολοφώνιος ἐν τοῖς ἐλεγείοις φησί 'πέμψας — Ἑλλαδικῶν* — 4 Hesych. *ἀοιδάων: ὠιδῶν. φωνῶν*

πέμψας γὰρ κωλῆν ἐρίφου σκέλος ἦραο πῖον
ταύρου λαρινοῦ, τίμιον ἀνδρὶ λαχεῖν,
τοῦ κλέος Ἑλλάδα πᾶσαν ἐφίξεται οὐδ' ἀπολήξει,
ἔστ' ἂν ἀοιδάων ἦι γένος Ἑλλαδικῶν.

3 *ἀφίξεται* Ath.: corr. Karsten 4 *ἑλλαδικόν* A: corr. C

7 (18 K. 6 Cr.)

1—5 Laert. Diog. VIII 36 *περὶ δὲ τοῦ ἄλλοτε ἄλλον γεγενῆσθαι* (Pythagoram) *Ξενοφάνης ἐν ἐλεγείαι προσμαρτυρεῖ, ἧς ἀρχή 'νῦν — κέλευθον'. ὃ δὲ περὶ αὐτοῦ* (Pythagora) *φησιν, οὕτως ἔχει 'καί — ἄλων'.* [hinc 2—5 Anth. Pal. Plan. VII 120, Suid. (a) s. v. *Ξενοφάνης*, 2—4 Suid. (b) s. v. *στυφελίξαι*]. cf. A 1 p. 20, 9

νῦν αὖτ' ἄλλον ἔπειμι λόγον, δείξω δὲ κέλευθον.
* * *
καί ποτέ μιν στυφελιζομένου σκύλακος παριόντα
φασὶν ἐποικτῖραι καὶ τόδε φάσθαι ἔπος·
'παῦσαι μηδὲ ῥάπιζ', ἐπεὶ ἦ φίλου ἀνέρος ἐστίν
ψυχή, τὴν ἔγνων φθεγξαμένης ἀίων.'

2 *δὴ τότε* Plan. 3 *φασὶν* Laert. (B) Anth. Pal. Plan. Suid. (a): *φασί γ'* Laert. (P) Suid. (b) *φάσθαι ἔπος*; de correptione cf. Theogn. 226

8 (24 K. 7 Cr.)

Laert. IX 18. 19 (cf. p. 20, 10) *μακροβιώτατός τε γέγονεν* (Xenophanes), *ὥς που καὶ αὐτός φησιν·*

ἤδη δ' ἑπτά τ' ἔασι καὶ ἑξήκοντ' ἐνιαυτοὶ
βλησταζοντες ἐμὴν φρουτίδ' ἀν' Ἑλλάδα γῆν·
ἐκ γενετῆς δὲ τότ' ἦσαν ἐείκοσι πέντε τε πρὸς τοῖς,
εἴπερ ἐγὼ περὶ τῶνδ' οἶδα λέγειν ἐτύμως.

3 *τότ'*] nimirum Ionia capta (cf. fr. 22, 5), cum exul Graeciam obiit. quod si sub ol. 60 (540) ponas (cf. A 1 p. 21, 6), natalis sub ol. 53 (accuratius 565), carminis tempus sub ol. 76 (473) figetur.

9 (26 K. 8 Cr.)

ETYM. GEN. s. v. *γῆρας* (ex Herod. *π. παθ.*) *ἡ γενικὴ 'γηρέντος' ὥσπερ τιθέντος. Ξενοφάνης* [ξενοφῶν Et.: corr. Sylburg] *οἷον*

ἀνδρὸς γηρέντος πολλὸν ἀφαυρότερος

'*ἀνδρὸς γηρέντος*' etiam Cramer A. O. IV 39.

ΣΙΛΛΟΙ

Sillis tribui quae titulum aut invectivarum vestigia prae se ferunt. nonnulla ut fr. 18 utrum huc an ad Physica referenda sint dubium.

10 (18 Cr. 4 Wachsm. Sillogr.)

HERODIAN. *π. διχρ.* p. 296, 6 [Cramer A. O. III 296, 7] *οἱ μέντοι ποιηταὶ πολλάκις ἐπὶ τούτοις συστολὰς ποιοῦνται, ὡς παρὰ Ξενοφάνει*

ἐξ ἀρχῆς καθ' Ὅμηρον ἐπεὶ μεμαθήκασι πάντες . . .

sequitur fr. 36. iteravit Choerob. can. in Theod. IV 88, 27 Hilgard. intellego: *quia antiquitus omnes secundum Homerum didicere* deos nefarios esse. cf. Plato Rep. X 600 E *οὐκοῦν τιθῶμεν ἀπὸ Ὁμήρου ἀρξαμένους πάντας τοὺς ποιητικοὺς μιμητὰς εἰδώλων ἀρετῆς εἶναι καὶ τῶν ἄλλων περὶ ὧν ποιοῦσι, τῆς δὲ ἀληθείας οὐχ ἅπτεσθαι;*

11 (7 K. 16 Cr. 2 W.)

SEXT. adv. math. IX 193 *ἔνθεν καὶ ὁ Ξενοφάνης διελέγχων τοὺς περὶ Ὅμηρον καὶ Ἡσιόδον φησι 'πάντα — ἀπατεύειν'* LAERT. II 46 (ex Arist. de poetis fr. 75 R.) *ἐφιλονίκει . . . Οἴαγρος* [*σάγαρος* libri cf. Ael. V. H. XIV 21] *Ὁμήρωι ζῶντι, ἀποθανόντι δὲ Ξενοφάνης ὁ Κολοφώνιος καὶ Κέρκωψ Ἡσιόδωι ζῶντι, τελευτήσαντι δὲ ὁ προειρημένος Ξενοφάνης* (cf. Timon fr. 40 W.).

πάντα θεοῖσ' ἀνέθηκαν Ὅμηρός θ' Ἡσίοδός τε,
ὅσσα παρ' ἀνθρώποισιν ὀνείδεα καὶ ψόγος ἐστίν,
κλέπτειν μοιχεύειν τε καὶ ἀλλήλους ἀπατεύειν.

12 (7 K. 16 Cr. 2 W.)

SEXT. adv. math. I 289 *Ὅμηρος δὲ καὶ Ἡσίοδος κατὰ τὸν Κολοφώνιον Ξενοφάνη*

ὡς πλεῖστ' ἐφθέγξαντο θεῶν ἀθεμίστια ἔργα,
κλέπτειν μοιχεύειν τε καὶ ἀλλήλους ἀπατεύειν.

Κρόνος μὲν γὰρ ἐφ' οὐ τὸν εὐδαίμονα βίον γεγονέναι λέγουσι τον πατέρα ἠνδροτόμησε καὶ τὰ τέκνα κατέπιεν Ζεύς τε ὁ τούτου παῖς ἀφελόμενος αὐτὸν τῆς ἡγεμονίας 'γαίης νέρθε καθεῖσε' κτλ. (Ξ 204).

1 *ὅς πλεῖστα ἐφθέγξατο* Sext.: corr. Fabricius; pro *ὡς* coni. *οἳ* Stephanus, *καὶ* Karsten, *ὧς* Wachsm. qui deleto v. 2 primum fragmento 11 subiunxit.

13 (31 K. 5 W.)

GELLIUS N. A. III 11 *alii Homerum quam Hesiodum maiorem natu fuisse scripserunt, in quibus Philochorus et Xenophanes, alii minorem.*

14 (5 K. 30 Cr.)

CLEM. Str. V 110 p. 714 P. [unde Eus. P. E. XIII 13 et Theodor. III 72] inter fr. 23 et 15 *καὶ πάλιν·*

ἀλλ' οἱ βροτοὶ δοκέουσι γεννᾶσθαι θεούς,
τὴν σφετέρην δ' ἐσθῆτα ἔχειν φωνήν τε δέμας τε

1 sic Clem., Eus., Theod. codd., vulgo *ἀλλὰ βροτοὶ δοκέουσι θεους γεννᾶσθαι*, unde addito *ὁμοίως* sim. hexametrum efficiebant. iambum ad exemplar Margitae carminis Colophonii interpositam esse duobus pluribusve hexametris docuit Wilamowitz Ind. hib. Gryph. 1880 p. 7. cf. Crusius Philol. LV, 5 2 *καὶ ἴσην τ' αἴσθησιν ἔχειν* interpol. Theodor.; *ἐσθῆτά τ'* deleto *δ'* Karsten; cf. Ψ 67 et τ 381

15 (6 K. 17 Cr.)

CLEM. Str. V 110 p. 715 P. (inde Eus. P. E XIII 13 et Theodor. III 72) post fr. 14 *καὶ πάλιν·*

ἀλλ' εἰ χεῖρας ἔχον βόες ἠὲ λέοντες
ἢ γράψαι χείρεσσι καὶ ἔργα τελεῖν ἅπερ ἄνδρες,
ἵπποι μέν θ' ἵπποισι βόες δέ τε βουσὶν ὁμοίας
καί ⟨κε⟩ θεῶν ἰδέας ἔγραφον καὶ σώματ' ἐποίουν
τοιαῦθ' οἷόν περ καὐτοὶ δέμας εἶχον ὁμοῖον

1 *εἰ* Eus.: *εἴ τοι* Clem., Theod. *ἔχον* Eus.: *εἶχον* Clem., Theod.: *γ' εἶχον* Stephanus; ego ab Eus. profectus conicio *ἀλλ' εἰ χεῖρας ἔχον βόες ⟨ἵπποι τ'⟩ ἠὲ λέοντες*; contra qui illud verum credunt corrigunt propter v. 3 *ἠὲ κέλητες* Schultess, *ἢ κελέοντες* ego olim (*Berl. Sitz.* 1891, 578); exemplum variasse postea poetam credit Wilamowitz nihil aut mutans aut addens *ἢ ἐλέφαντες* Theod. 2 *γράψαι* sc. *εἶχον* *χείρεσσι*] fort. *χροιῇσι*; pictores et sculptores distinguuntur 3 *ὁμοίας* Theod. (scil. *ἰδέας*): *ὁμοῖοι* Clem. Eus. 4 suppl. Sylburg 5 *ὁμοῖον* falso transl. ex v. 3: *ἕκαστοι* Hiller; cf. Clem. ad fr. 16

16

CLEM. Str. VII 22 p. 841 P *Ἕλληνες δὲ ὥσπερ ἀνθρωπομόρφους οὕτως καὶ ἀνθρωποπαθεῖς τοὺς θεοὺς ὑποτίθενται καὶ καθάπερ τὰς μορφὰς αὐτῶν ὁμοίας ἑαυτοῖς ἕκαστοι διαζωγραφοῦσιν, ὡς φησιν ὁ Ξ. Αἰθιοπές τε μέλανας σιμούς τε Θρᾷικές τε πυρρούς καὶ γλαυκούς', οὕτως καὶ τὰς ψυχὰς ὁμοιοῦσιν καὶ τοῖς αὐτοῖς ⟨πάθεσιν ἐνεχομένους⟩ ἀναπλάττουσιν.* amplificat Theodor. III 73 *τοὺς μὲν γὰρ Αἰθίοπας μέλανας καὶ σιμοὺς γράφειν ἔφησε τοὺς οἰκείους θεούς, ὁποῖοι δὴ καὶ αὐτοὶ πεφύκασι. τοὺς δέ γε Θρᾷικας γλαυκούς τε καὶ ἐρυθρούς. καὶ μέντοι καὶ Μήδους καὶ Πέρσας σφίσιν αὐτοῖς ἐοικότας καὶ Αἰγυπτίους ὡσαύτως αὐτοὺς διαμορφοῦν πρὸς τὴν οἰκείαν μορφήν.* versus incerti, velut

Αἰθιοπές τε ⟨θεοὺς σφετέρους⟩ σιμοὺς μέλανάς τε
Θρῆικές τε γλαυκοὺς καὶ πυρρούς ⟨φασι πέλεσθαι⟩

17 (27 K. 10 Cr. 1 W.)

Schol. Arist. Equ. 408 *Βάκχον οὐ τὸν Διόννσον ἐκάλουν μόνον, ἀλλα καὶ πάντας τοὺς τελοῦντας τὰ ὄργια βάκχους ἐκάλουν, ου μὲν ἀλλὰ καὶ τοὺς κλάδους, οὓς οἱ μύσται φέρουσι. μέμνηται δὲ Ξενοφάνης ἐν Σίλλοις· ἑστᾶσιν δ' ἐλάτης πυκινὸν περὶ δῶμα'.* cf. Hesych. *βάκχος: ... καὶ κλάδος ὁ ἐν ταῖς τελεταῖς.*

ξενοφάντης libri: corr. Kuster — *ἐλάτε Θ*: *ἐλάτη* V: corr. Wachsmuth (cf. Eur. Bacch. 110): *ἐλατῶν* Lobeck. supplet Wachsmuth *βάκχοι* post *ἐλάτης*, *πυκινοὶ περὶ δώματα βάκχοι* Lobeck; *πυκινὸν δόμον* homericum.

18 (16 K. 28 Cr.)

Stob. Ecl. I 8, 2 (a) et III (Flor.) t. 29, 41 (b) sub lemmate *Ξενοφάνους.*

οὗτοι ἀπ' ἀρχῆς πάντα θεοὶ θνητοῖσ' ὑπέδειξαν,
ἀλλὰ χρόνωι ζητοῦντες ἐφευρίσκουσιν ἄμεινον

1 *ὑπέδειξαν* (*occulta monstraverunt*) b: *παρέδειξαν* a: *ἐπέδειξαν* Trincavelli; *θνητοῖσιν ἔδειξαν* Meineke 2 *ζητέοντες* Hiller *ἐφευρίσκουσιν* b: *ἐφεύρισκον* (a). sententiam circumscripsit Arat. 768 sqq.

19

Laertius Diog. I 23 de Thalete (cf. p. 4, 2) *δοκεῖ δὲ κατά τινας πρῶτος ἀστρολογῆσαι καὶ ἡλιακὰς ἐκλείψεις καὶ τροπὰς προειπεῖν, ὥς φησιν Εὔδημος ἐν τῆι περὶ τῶν Ἀστρολογουμένων ἱστορίαι· ὅθεν αὐτὸν καὶ Ξενοφάνης καὶ Ἡρόδοτος θαυμάζει.* cf. A 1 p. 20, 9.

20 (32 K.)

Laertius Diog. I 111 *ὡς δὲ Ξ. ὁ Κολοφώνιος ἀκηκοέναι φησί, τέτταρα πρὸς τοῖς πεντήκοντα καὶ ἑκατόν* (vixisse Epimenidem).

primus Xenophanes rumorem longaevitatis rettulit quem sine dubio irrisit cf. A 1 p. 20, 19. ortum eum esse exeunte s. VI ex fraudibus tum Epimenidi suppositis conieci *Berl. Sitz.* 1891, 401

21 (28 K.)

Schol. Aristoph. Pac. 697 *ὁ Σιμωνίδης διεβέβλητο ἐπὶ φιλαργυρίαι .... χαριέντως δὲ πάνυ τῶι αὐτῶι λόγωι διέσυρε [β τοῦ ἰαμβοποιοῦ] καὶ μέμνηται ὅτι σμικρολόγος ἦν. ὅθεν Ξενοφάνης κίμβικα αὐτὸν προσαγορεύει. καὶ Σοφοκλέα καὶ Σιμωνίδην διέσυρεν ὡς μικρολόγους.* cf. Ath. XIV 656 D *ὄντως δὲ ἦν ὡς ἀληθῶς κίμβιξ ὁ Σιμωνίδης καὶ αἰσχροκερδής, ὡς Χαμαιλέων φησίν.* aequales poetas in Sillis tetigisse confirmat Plutarchus v. A 22 p. 23

ΠΑΡΩΙΔΙΑΙ

22 (17 K. 9 Cr. 3 W.)

Athen. Epitome II p. 54 E *Ξ. ὁ Κολοφώνιος ἐν Παρωιδίαις* [*παρῴδαις* libri: corr. Menagius]·

παρ πυρὶ χρὴ τοιαῦτα λέγειν χειμῶνος ἐν ὥρηι
ἐν κλίνηι μαλακῆι κατακείμενον, ἔμπλεον ὄντα,
πίνοντα γλυκὺν οἶνον, ὑποτρώγοντ' ἐρεβίνθους·
'τίς πόθεν εἶς ἀνδρῶν, πόσα τοι ἔτε' ἐστί, φέριστε;
πηλίκος ἦσθ', ὅθ' ὁ Μῆδος ἀφίκετο;'

titulus epitomatoris fide parum stabilitus; Athenaeus fortasse dixerat παρωιδήσας τὰ Ὁμήρου (Wilam.). hoc quoque fuerit Sillorum fr., etsi in illis minus parodiae fortasse propter fragmentorum penuriam cernitur. ceterum cf. A 9 p. 22.

1 παρ πυρὶ eadem sede η 154 2 cf. χ 196 εὐνῆι ἔνι μαλακῆι καταλέγμενος 3 ἐπιτρώγοντα Coraes, at cf. Plato Rep. II 372 D 4 cf. α 170 al. ἔτη Ath. φέριστε homericum 3 Μῆδος] Harpagus cf. A 10 p. 22.

ΠΕΡΙ ΦΥΣΕΩΣ.

23 (1 K. 12 Cr.)

Clem. Str. V 109 p. 714 P. [hinc Eus. P. E. XIII 13] εὖ γοῦν καὶ Ξ. ὁ Κολοφώνιος διδάσκων ὅτι εἷς καὶ ἀσώματος ὁ θεὸς ἐπιφέρει 'εἷς — νόημα'. secuntur fr. 14. 15. — significat Arist. Metaph. A 5. 986b 24 εἷς τὸν ὅλον οὐρανὸν ἀποβλέψας τὸ ἕν εἶναί φησι τὸν θεόν.

εἷς θεός, ἔν τε θεοῖσι καὶ ἀνθρώποισι μέγιστος,
οὔτε δέμας θνητοῖσιν ὁμοίιος οὔτε νόημα.

1 εἷς θεός] scil. ὁ οὐρανός cf. Arist. ἕν κτλ.] cf. Aristoph. Nub. 573 Sol μέγας ἐν θεοῖς ἐν θνητοῖσί τε δαίμων; Plato Symp. 178 A ὅτι μέγας θεὸς εἴη ὁ Ἔρως καὶ θαυμαστὸς ἐν ἀνθρώποις τε καὶ θεοῖς. loquitur ex vulgi opinione more antithetico pervulgato cf. Hom. Θ 27; T 95. θεοί populariter etiam fr. 1, 24; 18, 1; 34, 2 cf. Valerius Soranus fr. 4 p. 273 Bähr. *Iuppiter omnipotens rerum regumque repertor progenitor genetrixque deum deus unus et omnes* 2 οὔ τι δέμας Clem. Eus.: corr. Sylburg

24 (2 K. 13 Cr.)

Sext. adv. math. IX 144 εἰ γὰρ ἔστι τὸ θεῖον, ζῳόν ἐστιν· εἰ ζῳόν ἐστιν, ὁρᾶι ὅλος 'οὖλος γὰρ ὁρᾶι, οὖλος δὲ νοεῖ, οὖλος δέ τ' ἀκούει'. Laert. IX 19 (cf. A 1 p. 20, 15) ὅλον δ' ὁρᾶν καὶ ὅλον ἀκούειν, μὴ μέντοι ἀναπνεῖν. Pseudarist. de MXG 3. 977a 37 (A 28 p. 25) ἕνα δ' ὄντα ὅμοιον εἶναι πάντηι, ὁρᾶν τε καὶ ἀκούειν τάς τε ἄλλας αἰσθήσεις ἔχοντα πάντηι. Pseudoplut. Strom. 4 (Dox. 580, 16) ἀκούειν δὲ καὶ ὁρᾶν καθόλου καὶ μὴ κατὰ μέρος. Hippol. Phil. 14, 2 (Dox. 565, 26) καὶ πᾶσι τοῖς μορίοις αἰσθητικόν (sc. θεόν). Cyrill. Hierosol. catal. VI p. 82 ὅλος ὢν ὀφθαλμὸς καὶ ὅλος ἀκοὴ καὶ ὅλος νοῦς, οὐχ ὡςήμεῖς ἐν μέρει νοῶν καὶ ἐν μέρει μὴ γιγώσκων cf. Iren. ap. Epiph. haer. 33 et Plin. nat. h. II 14 *quisquis est deus, si modo est alius* (sc. praeter Solem) *et quacumque in parte, totus est sensus, totus visus, totus auditus, totus animae, totus animi, totus sui.* posteriorum aliam memoriam collegit Weymann *Woch. f. cl. Phil.* 1894, 1030. *Wien. Stud.* 1896, 316. E Theophrasti memoria (nam inde omnes videntur pendere) versum refingunt forma non certa:

οὖλος ὁρᾶι, οὖλος δὲ νοεῖ οὖλος δέ τ' ἀκούει

cf. Epicharm. 249 *νοῦς ὁρῆι καὶ νοῦς ἀκούει· τἆλλα κωφὰ καὶ τυφλά* (ubi testim. adde Schol. Aristoph. Plut. 48). de Epicharmi et Xenophanis commercio cf. A 15 p. 23

25 (3 K. 14 Cr.)

Simpl. phys. 23, 19 [cf. A 31, 9 p. 31]

ἀλλ' ἀπάνευθε πόνοιο νόου φρενὶ πάντα κραδαίνει

κραδαίνει] cf. Hes. theog. 679 *οὐρανὸς εὐρὺς σειόμενος* Xenophontis paraphr. Stob. ecl. II 1, 33 *ὁ γοῦν πάντα σείων* = Mem. IV 3, 13 *ὁ τὸν ὅλον κόσμον συντάττων*. deus Xenophanis *κινῶν νῶι ἀκίνητος* ut Aristoteleus; *πάντα* sc. *τὰ γενητά*; cf. ad fr. 34, 2.

26 (4 K. 15 Cr.)

Simpl. phys. 22, 9 [cf. A 31, 7 p. 30]

αἰεὶ δ' ἐν ταὐτῶι μίμνει κινούμενος οὐδέν
οὐδὲ μετέρχεσθαί μιν ἐπιπρέπει ἄλλοτε ἄλληι

1 imitatur Parm. 8, 29; cf. Epicharm. 170, 15 *ἀεὶ* Simpl. *κινούμενος* E²F: *κινούμενον* DE: *κινεύμενον* Hiller

27 (8 K. 11 Cr.)

Ex Aetio Theodor. IV 5 [cf. A 36 p. 32] *ἐκ — τελευτᾶι*. ex Allegoriarum corpore: Sext. adv. math. X 313 [hinc Hippol. ref. X 6] *Ξ. δὲ κατ' ἐνίους ἐκ γῆς· 'ἐκ — τελευτᾶι*; Stob. ecl. I 10, 12 [A 36 p. 32]'. Schol. Hom. H 99 ABT (continuant fragmento 34) '*ἐκ — τελευτᾶι*'.

ἐκ γαίης γὰρ πάντα καὶ εἰς γῆν πάντα τελευτᾶι

γαίης γὰρ Sext.: *γῆς γὰρ* Hom. Schol., Hipp.: *γῆς γὰρ τὰ* Stob.: *γῆς γὰρ τάδε* Theodor. *πάντα ἐστὶ καὶ* Hipp.

28 (12 K. 22 Cr.)

Achill. Isag. 4 p. 34, 11 Maass *Ξ. δὲ οὐκ οἴεται μετέωρον εἶναι τὴν γῆν, ἀλλὰ κάτω εἰς ἄπειρον καθήκειν· 'γαίης μὲν' γάρ φησι '*τόδε — *ἱκνεῖται'*

γαίης μὲν τόδε πεῖρας ἄνω παρὰ ποσσὶν ὁρᾶται
ἠέρι προσπλάζον, τὸ κάτω δ' ἐς ἄπειρον ἱκνεῖται

1 *γαίης γάρ φησι* V: *φησὶ γὰρ γαίης μὲν* M *πεῖρας* M: *πεῖραν* V: *πείραρ* Maass; at cf. Parm. 8, 42 *παρὰ ποσὶν* V: *πὰρ ποσσὶν* M 2 *ἠέρι* scripsi: *καὶ ῥεῖ* (corruptum ex *ναιρει*) VM: *αἰθέρι* Karsten *ἄπειρον*] *indefinitum* potius quam *infinitum* cf. Zeller I⁵ 539³ v. A 47 et Emped. fr. 39. nitebantur tamen hoc fr. qui *οὔτ' ἄπειρον οὔτε πεπεράνθαι* mundum et deum docuisse X. dicerent cf. [Ar.] de XMG 977ᵇ2 (A 28 p. 25) *ἱκνεῖται* cf. Parm. 8, 46

29 (10 K. 20 Cr.)

Simplic. phys. 188, 32 *ὁ μέντοι Πορφύριος οἰκειότερον εἰς Ἀναξιμένην* (sic libri) *τὴν δόξαν ἀνέπεμψε ταύτην εἰπόντα· 'γῆ — φύονται'*. Philop. phys. 125, 27 [supra A 29 p. 30]

γῆ καὶ ὕδωρ πάντ' ἐσθ' ὅσα γίνονται(αι) ἠδὲ φύονται

πάντ' ἐσθ' Philop.: *πᾶν ἐστ'* Simpl. *γίνονται ἠδὲ φύονται* Simpl.: *φύοντ' ἠδὲ γίνονται* Phil.

30 (11 K. 11a. 23 Cr.)

1—5 Schol. Genav. ad Φ 196 (ed. Nicole I 199, 1 cf. Diels *Sitzungsb. d. Berl. Ak.* 1891, 572) ex Cratete Mallota: *Ξενοφάνης ἐν τῶι Περὶ φύσεως· 'πηγὴ — ποταμῶν', ὡς Ὅμηρος* (Φ 196) *'ἐξ οὗπερ πάντες ποταμοί'.* 1 Aetius III 4, 4 [cf. A 46 p. 33] *'πηγὴ — ὕδατος'.* cf. Arist. Meteor. B 2. 354b15

πηγὴ δ' ἐστὶ θάλασσ(α) ὕδατος, πηγὴ δ' ἀνέμοιο·
οὔτε γὰρ ἐν νέφεσιν ἔσωθεν ἄνευ πόντου μεγάλοιο
οὔτε ῥοαὶ ποταμῶν οὔτ' αἰθέρος ὄμβριον ὕδωρ,
ἀλλὰ μέγας πόντος γενέτωρ νεφέων ἀνέμων τε
καὶ ποταμῶν

1 *θάλασσα* Aet.: *θαλάσση* Genav. 2 aut lacuna post *νέφεσιν* explenda velut *πνοιαὶ κ' ἀνέμοιο φύοιντο ἐκπνείοντος* aut corrigendum cum Wachsmuthio *γὰρ ἂν νέφε' ἔσχεν ἄνα πόντοιο* Gen.: corr. Nicole 3 *αἰ////////* (pellucente θ): suppl. Nicole 4 *νεφέων* sic Gen.

31 (deest)

Heraclitus Alleg. Hom. ex Alleg. corp. [ex Her. Schol. B ad Σ 468] c. 44 *ὑπερίονα δὲ νομιστέον αὐτὸν* (solem) *τὸν ὑπεριέμενον ἀεὶ τῆς γῆς ὥσπερ οἶμαι καὶ Ξ. ὁ Κολοφώνιός φησιν·*

ἠέλιός θ' ὑπεριέμενος γαῖάν τ' ἐπιθάλπων

32 (13 K. 24 Cr.)

Schol. BLT Eust. ad Hom. Λ 27 *Ἴρισσιν ἐοικότες: τῶι κυρτώματι ἢ τῶι χρώματι· φησὶ γὰρ Ξ.·*

ἦν τ' Ἶριν καλέουσι, νέφος καὶ τοῦτο πέφυκε,
πορφύρεον καὶ φοινίκεον καὶ χλωρὸν ἰδέσθαι

καὶ τοῦτο] ut Sol et cetera astra, quae cum in nebulas evanescerent, deorum simul opinio casura erat cf. *Arch. f. G. d. Phil.* X 533

33 (9 K. 21 Cr.)

Ex Alleg. corpore: Sext. adv. math. X 314 [hinc Hippol. X 6] *συμφέρεσθαι δ' αὐτῶι* [Homero H 99] *δοκεῖ κατ' ἐνίους καὶ ὁ Κολοφώνιος Ξ. φησὶ γάρ· 'πάντες — ἐκγενόμεσθα'* (idem vers. interpolatur IX 361); Pseudoplut. Vit. Hom. 93 (Dox. p. 43) *μετ' ἐκεῖνον* (Hom.) *δὲ Ξ. ὁ Κολοφώνιος ὑφιστάμενος τὰς πρώτας ἀρχὰς εἶναι τὸ ὕδωρ καὶ τὴν γῆν ἔοικε σπάσαι τὴν ἀφορμὴν ταύτην ἐκ τῶν Ὁμηρικῶν τούτων* [H 99]; Schol. Hom. H 99 ABT *ταῦτα οὖν φησι τὴν ἀκινησίαν ὀνειδίζων καὶ Ξ. 'πάντες — ἐκγενόμεσθα'*, quibus continuant falso fr. 28. nam divisa haec fuerunt in Allegoriis cf. Prob. ad Verg. p. 21, 3 (Dox. p. 91 sqq.); Heracl. Alleg. c. 22 *ἀλλ' ὁ Κλαζομένιος Ἀναξαγόρας* [debebat

ὁ Κολοφώνιος Ξενοφάνης] κατὰ διαδοχὴν γνώριμος ὢν Θάλητος συνέζευξε τῶι ὕδατι δεύτερον στοιχεῖον τὴν γῆν κτλ.

πάντες γὰρ γαίης τε καὶ ὕδατος ἐκγενόμεσθα

34 (14 K. 19 Cr.)

1—4 Sext. adv. math. VII 49 de Scepticis: *ὧν Ξ. μὲν κατά τινας εἰπὼν πάντα ἀκατάληπτα ἐπὶ ταύτης ἐστὶ τῆς φορᾶς, ἐν οἷς γράφει 'καὶ — τέτυκται'.* explicat 50. 51 *ἀμφὶ θεῶν δὲ ὑποδειγματικῶς περί τινος τῶν ἀδήλων, δόκον δὲ τὴν δόκησιν καὶ τὴν δόξαν ... τὸ μὲν οὖν ἀληθὲς καὶ γνώριμον οὐδεὶς ἄνθρωπος οἶδε το τε ἐν τοῖς ἀδήλοις πράγμασιν· κἂν γὰρ ἐκ τύχης ἐπιβάλλῃ τούτωι, ὅμως οὐκ οἶδεν ὅτε ἐπιβέβληκεν αὐτῶι, ἀλλ' οἴεται καὶ δοκεῖ*; idem 110. VIII 326. tangunt Arist. Poet. 25. 1460b35 *οἷον τὰ περὶ θεῶν· ἴσως γὰρ οὔτε βέλτιον [οὔτε] λέγειν οὔτ' ἀληθῆ, ἀλλ' ἔτυχεν ὥσπερ Ξενοφάνης* [sc. *λέγει, ὄντα*]· *ἀλλ' οὖν φασι* et Varro ap. Augustin. C. D. VII 17 *de diis p. r. publicis ... in hoc libro scribam, sed ut Xenophanes Colophonios scripsit, quid putem non quid contendam ponam. hominis est enim haec opinari, dei scire.* — 1. 2 Plut. aud. poet. 2 p. 17 E *καὶ τὰ Ξενοφάνους 'καὶ — πάντων'*; Laert. IX 72 *ἐν οἷς* [Scepticis] *Ξ. μέν φησι 'καὶ — εἰδώς'* — 3. 4 Galen. de diff. puls. III 1 [VIII 636 sq. K.] *κατὰ δὲ τὸν φιλόσοφον τὸν εἰπόντα 'ἦν γὰρ — τέτυκται'*. Hippol. philos. 14, 1 (565, 21 Dox.) *οὗτος ἔφη πρῶτος ἀκαταληψίαν εἶναι πάντων οὕτως· 'εἰ — τέτυκται'* — 4 Sext. Pyrrh. H. I 18 *Ξ. ὁ Κολοφώνιος λέγων 'δόκος — τέτυκται'* cf. Arius supra A 24 p. 23; Epiphan. exp. fid. p. 1087 B Pet.; Procl. in Tim. p. 16 Schneid.

καὶ τὸ μὲν οὖν σαφὲς οὔτις ἀνὴρ γένετ' οὐδέ τις ἔσται
εἰδὼς ἀμφὶ θεῶν τε καὶ ἅσσα λέγω περὶ πάντων·
εἰ γὰρ καὶ τὰ μάλιστα τύχοι τετελεσμένον εἰπών,
αὐτὸς ὅμως οὐκ οἶδε· δόκος δ' ἐπὶ πᾶσι τέτυκται.

1 *γένετ'* Plut.: *ἴδεν* Sext. Laert. 2 *θεῶν* populares deos intellego i. e. inprimis astra et elementa cf. ad fr. 23, 1 *περὶ πάντων, ἅσσα λέγω* (sic iungendum) explico *περὶ τῶν γενητῶν*, non *περὶ παντός* (cf. fr. 25). illa dubia, hoc (quod est unum et deus) certum Xenophani, Parmenidis magistro 3 *ἦν — τύχηι τετελεσμένα* Gal. 4 *τέτυκται*] ut *μοῖρα τέτυκται* Γ 101

35 (15 K. 26 Cr.)

Plut. quaest. conv. IX 7 p. 746 B *τούτοις ἐπιφωνήσαντος τοῦ Ἀμμωνίου τὰ τοῦ Ξενοφάνους, ὥσπερ εἰώθει,*

ταῦτα δεδόξασται μὲν ἐοικότα τοῖς ἐτύμοισι

καὶ παρακαλοῦντος ἀποφαίνεσθαι καὶ λέγειν τὸ δοκοῦν ἕκαστον κτλ.

δεδόξασθαι Plut.: corr. Karsten. fortasse praestat Wilamowitzii *δεδοξάσθω*.

36 (27 Cr.)

Herodian. *π. διχρ.* 296, 9 [Cram. A. Ox. III 296; Choerob. in Theod. p. 88, 30 Hilg.] post fr. 10

ὁππόσα δὴ θνητοῖσι πεφήνασιν εἰσοράασθαι ...

πεφήνασιν Herod.: πεφήνασθ' Choer. O: πεφύκασιν Choer. CV intellegenda videntur astra, quae nubes non deos esse docet

37 (29 Cr.)

Herodian. π. μον. λέξ. 30, 30 ὅ τε Ξ. φησί

καὶ μὲν ἐνὶ σπεάτεσσι τεοῖς καταλείβεται ὕδωρ

καὶ μὴν codex: correxi; olim αἰὲν, alii aliud σπεάτεσι cod. τεοῖς] quaedam antra dicit, quorum stilicidia argumento sint terram subsidere ex aqua. idem concluserat ex conchis et petromatis montium; v. Lucr. I 348. cf. Orph. 252 Abel. καὶ βέθυ νυμφάων καταλείβεται ἀγλαὸν ὕδωρ.

38 (25 Cr.)

Herodian. π. μον. λέξ. p. 41, 5 σημειῶδες ἄρα τὸ παρὰ Ξενοφάνει [ξενοφῶντι cod.] γλύσσων 'εἰ μὴ— πέλεσθαι [Lex. Gud. 301, 15 κέχρηται δὲ Ξ. τῶι ὀνόματι οἷον 'γλύσσονα σῦκα; Et. gen. ex Her. π. παθ. s. v. γλύσσων: ὁ γλυκύτερος παρὰ ἀριστοφάνει 'γλύσσονα σῦκα'; indidem s. v. κάρρων: κέχρηται δὲ ξενοφάνης [ξενοφῶν B] τῶι ὀνόματι οἷον 'γλύσσονα σῦκα'].

εἰ μὴ χλωρὸν ἔφυσε θεὸς μέλι, πολλὸν ἔφασκον
γλύσσονα σῦκα πέλεσθαι.

πολλῶν cod.: Lehrs an ἔφασκ' ἄν? γλύσσονα] quam cetera cf. 1, 16

39 (20 K.)

Pollux VI 46 (cf. Athen. II 51 B sqq.) συκάμινα· ταῦτα δὲ καὶ μόρα Αἴσχυλος ὠνόμασεν οὕτως εἰπὼν τὰ ἐκ τῆς βάτου· τάχα δ' ἄν τις καὶ κεράσια φαίη [cf. Gal. VI 588 K.], κέρασον τὸ δένδρον ἐν τῶι Περὶ φύσεως Ξενοφάνους εὑρών.

40 (30 K.)

Etym. gen. s. v. βρόταχον τὸν βάτραχον Ἴωνες [καὶ Ἀριστοφάνης φησὶ] καὶ παρὰ Ξενοφάνει· βάτραχος καὶ καθ' ὑπερβιβασμὸν βράταχος καὶ βρόταχος. cf. Hesych. βρόταχος: βάτραχος καὶ Ἀριστοφάνης del. Dindorf ξενοφῶντι Flor.

41

Tzetz. ad Dion. Perieg. v. 940 p. 1010 Bernhardy περὶ τῶν εἰς ρος κανών (de voce σιρός)

σιλλογράφος δὲ τις τὸ σι μακρὸν γράφει
τῶι ῥῶ, δοκεῖ μοι, τοῦτο μηκύνας τάχα,
σιλλογράφος νῦν ὁ Ξενοφάνης ἐστὶ καὶ ὁ Τίμων καὶ ἕτεροι.

Timonem grammatici non citant; Xenophanem sine dubio adhibuerat Herodianus. cf. Et. m. 714, 18 Ἀμμώνιος δὲ ἱστορεῖ ὡς οἱ Ἀττικοὶ ὀξύνοντες, τὸ ὄνομα τὸ ¯ βραχύνουσι καὶ ἡ τριβὴ τῆς ἀναγνώσεως ἐκτείνει αὐτό· εὑρίσκεται δὲ καὶ τὸ βραχύ, ὡς παρ' Εὐριπίδηι Φρίξωι 'ἀνοῖξαι μὲν σιρούς οὐκ ἠξίου.'

DUBIA

42

Herodian. π. μον. λέξεως 7, 11 καὶ παρὰ ἀριστοφάνει ἐν δινσίλλων [sic

Havn.: *ἐν δ' συλλάβωι, ωι* in ras. longiore i. e. *ων*, Vind.; cf. Ludwich *Arist.* II 685]

καὶ ⟨κ'⟩ ἐπιθυμήσειε νεὸς νῆς ἀμφιπόλοιο

suppl. Dindorf *Ἀριστοφάνει ἐν Αἰολοσίκωνι* coniciens. Seidler *Ξενοφάνει ἐν δ Σίλλων*, quod commendat Wil., addens, nisi rescribatur *ἐν ᾱ Σ.*, quartum non Sillorum sed totius operis librum intellegendum esse. utique ionica contractio Seidleri coniecturam adiuvat.

43

Schol. Hom. B ad I 539 *χλοίνην οἱ μὲν ἀφριστήν· χλονδεῖν γὰρ τὸ ἀφρίζειν τινὲς Δωριέων ἔλεγον. ἄλλοι δὲ κακοῦργον· καὶ γὰρ τῶν ἀρχαίων ἰαμβοποιῶν τινα φάναι 'ἀνὴρ ὅδ' ἑσπέρης καθεύδοντα ἀπ' οὖν ἔδησε χλούνην'* (Meineke Chol. p. 121 sq.). *Ξενοφῶντα* [*Ξενοφάνην* G. Hermann] *δὲ γένος τι Ἰνδῶν φάναι τὸν χλούνην εἶναι καθάπερ καὶ παρ' Αἰσχύλωι ἐν Ἠδωνοῖς 'μακροσκελὴς μέν; ἆρα μὴ χλούνης τις ἦν'* [FT 62 Nauck²].

44

Athen. IV p. 174 F *'γιγγραΐνοισι γὰρ οἱ Φοίνικες, ὥς φησιν ὁ Ξενοφῶν, ἐχρῶντο αὐλοῖς σπιθαμιαίοις τὸ μέγεθος ὀξὺ καὶ γοερὸν φθεγγομένοις'. τούτοις δὲ καὶ οἱ Κᾶρες χρῶνται ἐν τοῖς θρήνοις, εἰ μὴ ἄρα καὶ ἡ Καρία Φοινίκη ἐκαλεῖτο, ὡς παρὰ Κορίννηι καὶ Βακχυλίδηι ἔστιν εὑρεῖν. ὀνομάζονται δὲ οἱ αὐλοὶ γίγγροι ὑπὸ τῶν Φοινίκων ἀπὸ τῶν περὶ Ἄδωνιν θρήνων· τὸν γὰρ Ἄδωνιν Γίγγρην καλεῖτε ὑμεῖς οἱ Φοίνικες, ὡς ἱστορεῖ Δημοκλείδης.*

Ξενοφάνης pro tradito *ξενοφῶν* commendavit Dümmler Mus. Rh. XLII 139. nam Xenophontis Atheniensis nulla est talis forma, neque plures citare videntur quam nos tenemus et Demetrius enumerat Xenophontis libros grammatici. ab his certe alienum est fragmentum sive potius paraphrasis ex Mem. IV 3, 13 ap. Stob. ecl. II 1, 33 (et Clem.), ubi *ἀνθρώποισιν ἐπιφαίνονται* et sensu et exemplari cogente in *ἀνθρώποις ἐμφαίνονται* mutandum est. (*Γοργιείοισι* Symposii [Ath. XI 504 E] Platonis continere irrisionem vidit Wilamowitz). at res perdubia. nam nil impedit quominus Xenophonti geographo Lampsaceno haec Athenaei tribuantur

45

Schol. Hippocr. ad Epid. I 13, 3 [edidit primus II 686 Littré] *βλησταρισμός: ὁ ῥιπτασμός· οὕτω Βακχεῖος τίθησιν· ἐν ἐνίοις δὲ ἀντιγράφοις εὕρομεν βλητρισμὸν χωρὶς τοῦ σ. ὄντως δὲ τὸν ῥιπτασμὸν σημαίνει καθὼς καὶ Ξενοφάνης ὁ Κολοφώνιός* [*κολώνιος* U: *κωλώνιός* D: *κυκώνιός* LQ] *φησιν· 'ἐγὼ δὲ ἐμαυτὸν πόλιν ἐκ πόλεως φέρων ἐβλήστριζον' ἀντὶ τοῦ ἐρριπτάζόμην.* [*πόλιν* iterat V, *φέρων* UV: om DLQ]

intercidisse post *φησιν* fr. 8 et verba *ἐγὼ κτλ.* aliorsum spectare verisimiliter coniecit Meineke. sin Xenophanis sint verba, iambum excipere inde ab *ἐβλήστριζον* hexametrum conicias. frustra temptata a viris doctis collegit Daremberg *Not. et extr. des MSS. méd. I* (Paris 1853) p. 206; Klein Erotian. p. 18; Bergk PLG p. 116.

4. PARMENIDES ELEATES.

A. TESTIMONIA VITAE CARMINIS DOCTRINAE

VITAE

1. LAERTIUS DIOGENES IX 21—23.

Ξενοφάνους δὲ διήκουσε Παρμενίδης Πύρητος Ἐλεάτης. τοῦ- 21
τον Θεόφραστος ἐν τῇι Ἐπιτομῇι [Physic. Op. fr. 6a Dox. 482, 14]
Ἀναξιμάνδρου φησὶν ἀκοῦσαι. ὅμως δ' οὖν ἀκούσας καὶ Ξενο-
φάνους οὐκ ἠκολούθησεν αὐτῶι. ἐκοινώνησε δὲ καὶ Ἀμεινίαι Διο-
χαίτα τῶι Πυθαγορικῶι, ὡς ἔφη Σωτίων, ἀνδρὶ πένητι μέν, καλῶι
δὲ κἀγαθῶι. ὧι καὶ μᾶλλον ἠκολούθησε καὶ ἀποθανόντος ἡρῷιον
ἱδρύσατο γένους τε ὑπάρχων λαμπροῦ καὶ πλούτου, καὶ ὑπ' Ἀμει-
νίου, ἀλλ' οὐχ ὑπὸ Ξενοφάνους εἰς ἡσυχίαν προετράπη. πρῶ-
τος δὲ οὗτος τὴν γῆν ἀπέφαινε σφαιροειδῆ καὶ ἐν μέσωι κεῖ-
σθαι. δύο τε εἶναι στοιχεῖα, πῦρ καὶ γῆν, καὶ τὸ μὲν δημιουργοῦ
τάξιν ἔχειν, τὴν δὲ ὕλης. γένεσίν τε ἀνθρώπων ἐξ ἡλίου πρῶτον 22
γενέσθαι· αὐτὸν δὲ ὑπάρχειν τὸ θερμὸν καὶ τὸ ψυχρόν, ἐξ ὧν τὰ
πάντα συνεστάναι. καὶ τὴν ψυχὴν καὶ τὸν νοῦν ταὐτὸν εἶναι, καθὰ
μέμνηται καὶ Θεόφραστος ἐν τοῖς Φυσικοῖς [fr. 6a. Dox. 483, 2]
πάντων σχεδὸν ἐκτιθέμενος τὰ δόγματα. διττήν τε ἔφη τὴν φιλο-
σοφίαν, τὴν μὲν κατὰ ἀλήθειαν, τὴν δὲ κατὰ δόξαν. διὸ καὶ φησί
που· 'χρεὼ — ἀληθής' [fr. 1, 18—30]. *καὶ αὐτὸς δὲ διὰ ποιη-*

---

1 *τοῦτον*] Xenophanem primarius auctor Laertii intellexerat. errorem Laertii vel eius auctoris Anaximenis vita II 3 monstrat, ubi *Παρμενίδην — αὐτοῦ* olim lectum esse videtur 5 *διοχαίτηι* BP: restitui patris nomen *Herm.* 35, 197; *καὶ διοχέτηι* F 7 *πλούτου καὶ* libri: vulgo *πλούσιος* deleto *καὶ* 9 *ἀπέφαινε* libri: *ἀπέφηνε* vulgo 11 *ἡλίου* libri cf. fr. 12, 3: *ἰλύος* ex Aldobr. *limo* vulgo: *πηλοῦ* Ziegler 12 *αὐτὸν* libri: *ταὐτὸν* Usener recte, si *καὶ γῆς* addatur post *ἡλίου* v. 11; *αἴτια* conieci Dox. 142. 166. cf. Laert. II 16 13 *τὸν νοῦν καὶ τὴν ψυχὴν* F 14 *καὶ* om. B *ἐν τοῖς στωικοῖς πάντων* (om. *σχεδὸν*) B 15 *ἔφη* BP¹: *ἔφη εἶναι* P²

μάτων φιλοσοφεῖ, καθάπερ Ἡσίοδός τε καὶ Ξενοφάνης καὶ Ἐμπεδοκλῆς. κριτήριον δὲ τὸν λόγον εἶπε· τάς τε αἰσθήσεις μὴ ἀκριβεῖς ὑπάρχειν. φησὶ γοῦν· ‘μηδέ — ἔλεγχον’ [fr. 1, 34—36] διὸ καὶ περὶ αὐτοῦ φησιν ὁ Τίμων· [fr. 4 W.] ‘Παρμενίδου- 23
νώσεις’. εἰς τοῦτον καὶ Πλάτων τὸν διάλογον γέγραφε ‘Παρμενίδην’ ἐπιγράψας ‘ἢ περὶ ἰδεῶν’. ἤκμαζε δὲ κατὰ τὴν ἑνάτην καὶ ἑξηκοστὴν ὀλυμπιάδα [504—501]. καὶ δοκεῖ πρῶτος πεφωρακέναι τὸν αὐτὸν εἶναι Ἕσπερον καὶ Φωσφόρον, ὥς φησι Φαβωρῖνος ἐν πέμπτωι Ἀπομνημονευμάτων· οἱ δὲ Πυθαγόραν. Καλλίμαχος δέ φησι μὴ εἶναι αὐτοῦ τὸ ποίημα. λέγεται δὲ καὶ νόμους θεῖναι τοῖς πολίταις, ὥς φησι Σπεύσιππος ἐν τῶι Περὶ φιλοσόφων. καὶ πρῶτος ἐρωτῆσαι τὸν Ἀχιλλέα λόγον, ὡς Φαβωρῖνος ἐν Παντοδαπῆι ἱστορίαι. γέγονε δὲ καὶ ἕτερος Παρμενίδης, ῥήτωρ τεχνογράφος.

---

5 καὶ Πλάτων τὸν om. B 8 post πέμπτωι add. τῶν vulgo 9 Πυθαγόραν] cf. VIII 14 10 αὐτοῦ] Pythagorae

2. Suidas.

Παρμενίδης Πύρητος Ἐλεάτης φιλόσοφος μαθητὴς γεγονὼς Ξενοφάνους τοῦ Κολοφωνίου, ὡς δὲ Θεόφραστος Ἀναξιμάνδρου τοῦ Μιλησίου. αὐτοῦ δὲ διάδοχοι ἐγένοντο Ἐμπεδοκλῆς τε ὁ καὶ φιλόσοφος καὶ ἰατρὸς καὶ Ζήνων ὁ Ἐλεάτης. ἔγραψε δὲ φυσιολογίαν δι’ ἐπῶν καὶ ἄλλα τινὰ καταλογάδην, ὧν μέμνηται Πλάτων [Soph. 237 A].

3. Diog. II 3 Ἀναξιμένης Εὐρυστράτου Μιλήσιος, ἤκουσεν Ἀναξιμάνδρου, ἔνιοι δὲ καὶ Παρμενίδου φασὶν ἀκοῦσαι αὐτόν [cf. ad A 1, 1].

4. Iamblichus V. Pyth. 166 [ex Nicomacho] καὶ περὶ τῶν φυσικῶν ὅσοι τινὰ μνείαν πεποίηνται πρῶτον Ἐμπεδοκλέα καὶ Παρμενίδην τὸν Ἐλεάτην προφερόμενοι τυγχάνουσιν (scil. ut Italiam floruisse philosophiae laude a Pythagora demonstretur). Proclus in Parm. I p. 619, 4 (Cous. Par. 1864) ταύτης δ’ οὖν ὅπερ εἴπομεν τῆς ἑορτῆς οὔσης ἀφίκοντο Παρμενίδης καὶ Ζήνων Ἀθήναζε, διδάσκαλος μὲν ὁ Π. ὧν μαθητὴς δ’ ὁ Ζήνων, Ἐλεᾶται δ’ ἄμφω καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ τοῦ Πυθαγορικοῦ διδασκαλείου μεταλαβόντε, καθάπερ που καὶ Νικόμαχος [sic CD et Gogava: ceteri Καλλίμαχος]. Vita Pythagorae Photiana c. 249 p. 439ª 36 Ζήνωνα καὶ Παρμενίδην τοὺς Ἐλεάτας· καὶ οὗτοι δὲ τῆς Πυθαγόρου ἦσαν διατριβῆς.

5. Plato Theaet. 183 E [Socrates loquitur] Π. δέ μοι φαίνεται τὸ τοῦ Ὁμήρου αἰδοῖός τέ μοι εἶναι ἅμα δεινός τε· συνπροσέμειξα γὰρ δὴ τῶι ἀνδρὶ πάνυ νέος πάνυ πρεσβύτηι καὶ μοι ἐφάνη βάθος τι ἔχειν παντάπασι γενναῖον. Sophist. 217 C δι’ ἐρωτήσεων, οἷόν ποτε καὶ Παρμενίδηι χρωμένωι καὶ διεξιόντι

λόγους παγκάλους παρεγενόμην ἐγὼ νέος ὢν ἐκείνου μάλα δὴ τότε ὄντος πρεσβύτου. PARM. 127 A *ἔφη δὲ δὴ ὁ Ἀντιφῶν λέγειν τὸν Πυθόδωρον ὅτι ἀφίκοιντό ποτε εἰς Παναθήναια τὰ μεγάλα Ζήνων τε καὶ Π. τὸν μὲν οὖν Παρμενίδην εὖ μάλα δὴ πρεσβύτην εἶναι σφόδρα πολιὸν καλὸν δὲ κἀγαθὸν τὴν ὄψιν περὶ ἔτη μάλιστα πέντε καὶ ἑξήκοντα· Ζήνωνα δὲ ἐγγὺς ἐτῶν τετταράκοντα τότε εἶναι εὐμήκη δὲ καὶ χαρίεντα ἰδεῖν· καὶ λέγεσθαι αὐτὸν παιδικὰ τοῦ Παρμενίδου γεγονέναι. καταλύειν δὲ αὐτοὺς ἔφη παρὰ τῶι Πυθοδώρωι ἐκτὸς τείχους ἐν Κεραμεικῶι· οἱ δὴ καὶ ἀφικέσθαι τόν τε Σωκράτη καὶ ἄλλους τινὰς μετ' αὐτοῦ πολλούς, ἐπιθυμοῦντας ἀκοῦσαι τῶν τοῦ Ζήνωνος γραμμάτων· τότε γὰρ αὐτὸ πρῶτον ὑπ' ἐκείνων κομισθῆναι· Σωκράτη δὲ εἶναι τότε σφόδρα νέον* [cf. Procl. in h. l. p. 684, 21]. contra: ATHEN. XI 505 F *Παρμενίδην μὲν γὰρ καὶ ἐλθεῖν εἰς λόγους τὸν τοῦ Πλάτωνος Σωκράτην μόλις ἡ ἡλικία συγχωρεῖ οὐχ ὡς καὶ τοιούτους εἰπεῖν ἢ ἀκοῦσαι λόγους. τὸ δὲ πάντων σχετλιώτατον καὶ τὸ εἰπεῖν οὐδεμιᾶς κατεπειγούσης χρείας ὅτι παιδικὰ γεγόνοι τοῦ Παρμενίδου Ζήνων ὁ πολίτης αὐτοῦ.* [hinc MACROB. Sat. I 1, 5 *nec mihi fraudi sit, si uni aut alteri ex his quos coetus coegit matura aetas posterior saeculo Praetextati fuit: quod licito fieri Platonis dialogi testimonio sunt, quippe Socrate ita Parmenides antiquior, ut huius pueritia vix illius adprehenderit senectutem*]. DIOG. IX 25 *Ζήνων Ἐλεάτης. τοῦτον Ἀπολλόδωρός φησιν εἶναι ἐν Χρονικοῖς* [*Πύρητος τὸν δὲ Παρμενίδην*] *φύσει μὲν Τελενταγόρου, θέσει δὲ Παρμενίδου . . . ὁ δὴ Ζήνων διακήκοε Παρμενίδου καὶ γέγονεν αὐτοῦ παιδικά.*

6. ARISTOT. Metaph. A 5. 986^{b} 22 *ὁ γὰρ Π. τούτου λέγεται γενέσθαι μαθητής* (scil. Xenophanis).

7. ALEX. in Metaphys. A 3. 984^{b}3 p. 31, 7 Hayduck *περὶ Παρμενίδου καὶ τῆς δόξης αὐτοῦ καὶ Θεόφραστος ἐν τῶι πρώτωι Περὶ τῶν φυσικῶν* [fr. 6 Dox. 482, 5] *οὕτως λέγει· 'τούτωι δὲ ἐπιγενόμενος Π. Πύρητος ὁ Ἐλεάτης'* (*λέγει δὲ καὶ* [*καὶ* dele] *Ξενοφάνην*) *'ἐπ' ἀμφοτέρας ἦλθε τὰς ὁδούς. καὶ γὰρ ὡς ἀΐδιόν ἐστι τὸ πᾶν ἀποφαίνεται καὶ γένεσιν ἀποδιδόναι πειρᾶται τῶν ὄντων, οὐχ ὁμοίως περὶ ἀμφοτέρων δοξάζων, ἀλλὰ κατ' ἀλήθειαν μὲν ἓν τὸ πᾶν καὶ ἀγέννητον καὶ σφαιροειδὲς ὑπολαμβάνων, κατὰ δόξαν δὲ τῶν πολλῶν εἰς τὸ γένεσιν ἀποδοῦναι τῶν φαινομένων δύο ποιῶν τὰς ἀρχάς, πῦρ καὶ γῆν, τὸ* [*τὴν* conieci] *μὲν ὡς ὕλην τὸ δὲ ὡς αἴτιον καὶ ποιοῦν.'* SIMPL. phys. 22, 27 *. . . Ξενοφάνην τὸν Κολοφώνιον τὸν Παρμενίδου διδάσκαλον* (e Theophr.).

8. SIMPL. phys. 28, 4 (ex Theophr. Phys. Op. fr. 8 Dox. 483, 11) *Λεύκιππος δὲ ὁ Ἐλεάτης ἢ Μιλήσιος* (*ἀμφοτέρως γὰρ λέγεται περὶ αὐτοῦ*) *κοινωνήσας Παρμενίδηι τῆς φιλοσοφίας οὐ τὴν αὐτὴν ἐβάδισε Παρμενίδηι καὶ Ξενοφάνει περὶ τῶν ὄντων ὁδόν, ἀλλ' ὡς δοκεῖ τὴν ἐναντίαν. ἐκείνων γὰρ ἓν καὶ ἀκίνητον καὶ ἀγέννητον καὶ πεπερασμένον ποιούντων τὸ πᾶν καὶ τὸ μὴ ὂν μηδὲ ζητεῖν συγχωρούντων οὗτος ἄπειρα καὶ ἀεὶ κινούμενα ὑπέθετο στοιχεῖα τὰς ἀτόμους.*

9. LAERTIUS DIOG. VIII 55 *ὁ δὲ Θεόφραστος* [fr. 3 D. 477] *Παρμενίδου φησὶ ζηλωτὴν αὐτὸν* [sc. Empedoclem] *γενέσθαι καὶ μιμητὴν ἐν τοῖς ποιήμασιν· καὶ γὰρ ἐκεῖνον ἐν ἔπεσι τὸν περὶ φύσεως ἐξενεγκεῖν λόγον.*

10. SIMPL. phys. 25, 19 *Ἐμπεδοκλῆς ὁ Ἀκραγαντῖνος οὐ πολὺ κατόπιν τοῦ Ἀναξαγόρου γεγονώς, Παρμενίδου δὲ ζηλωτὴς καὶ πλησιαστὴς καὶ ἔτι μᾶλλον τῶν Πυθαγορείων* [e Theophr. v. n. 9].

11. EUSEB. Chron. a) Hieron. *Ἐμπεδοκλῆς καὶ Π. φυσικοὶ φιλόσοφοι ἐγνωρίζοντο* ad a Abr. 1561; arm. Ol. 81, 1 [456]

b) *τότε καὶ Δημόκριτος Ἀβδηρίτης φυσικὸς φιλόσοφος ἐγνωρίζετο καὶ Ἐμπεδοκλῆς ὁ Ἀκραγαντῖνος Ζήνων τε καὶ Π. οἱ φιλόσοφοι καὶ Ἱπποκράτης Κῶιος* arm. Hier. ad a. Abr. 1581 [436]. cf. CHRONIC. HENZENIAN. (Inscr. Sic. et It. n. 1297, 30) inter Xerxem et bellum Pelop. oblitteratis numeris: *ἀφ' οὗ Σωκράτης ὁ φιλόσοφος καὶ Ἡράκλειτος ὁ Ἐφέσιος καὶ Ἀναξαγόρας καὶ Π. καὶ Ζήνων ἔτη...*

12. STRABO VI 1 p. 252 *κάμψαντι δ' ἄλλος συνεχὴς κόλπος, ἐν ᾧ πόλις, ἣν οἱ μὲν κτίσαντες Φωκαιεῖς Ὑέλην οἱ δὲ Ἔλην ἀπὸ κρήνης τινός, οἱ δὲ νῦν Ελέαν ὀνομάζουσιν, ἐξ ἧς Π. καὶ Ζήνων ἐγένοντο ἄνδρες Πυθαγόρειοι. δοκεῖ δέ μοι καὶ δι' ἐκείνους καὶ ἔτι πρότερον εὐνομηθῆναι* [cf. A 1 p. 49, 11]. PLUTARCH. adv. Col. 32 p. 1226 A: *Π. δὲ τὴν ἑαυτοῦ πατρίδα διεκόσμησε νόμοις ἀρίστοις, ὥστε τὰς ἀρχὰς καθ' ἕκαστον ἐνιαυτὸν ἐξορκοῦν τοὺς πολίτας ἐμμενεῖν τοῖς Παρμενίδου νόμοις.*

13. DIOG. I 16 *οἱ δὲ* [sc. *κατέλιπον*] *ἀνὰ ἓν σύγγραμμα· Μέλισσος, Π. Ἀναξαγόρας.*

CARMINIS (cf. supra p. 23 A. 18. 25. 26; p. 49 sqq. A 1, 22; 2. 9).

14. SIMPL. de caelo 556, 25 *ἢ ὅτι Περὶ φύσεως ἐπέγραφον τὰ συγγράμματα καὶ Μέλισσος καὶ Π. . . . καὶ μέντοι οὐ περὶ τῶν ὑπὲρ φύσιν μόνοι, ἀλλὰ καὶ περὶ τῶν φυσικῶν ἐν αὐτοῖς τοῖς συγγράμμασι διελέγοντο καὶ διὰ τοῦτο ἴσως οὐ παρητοῦντο Περὶ φύσεως ἐπιγράφειν.*

15. PLUTARCH. Quomodo adul. poet. aud. deb. 2 p. 16 C *τὰ δ' Ἐμπεδοκλέους ἔπη καὶ Παρμενίδου καὶ Θηριακὰ Νικάνδρου καὶ Γνωμολογίαι Θεόγνιδος λόγοι εἰσὶ κεχρημένοι* (*κιχράμενοι* Madvig) *παρὰ ποιητικῆς ὥσπερ ὄχημα τὸ μέτρον καὶ τὸν ὄγκον, ἵνα τὸ πεζὸν διαφύγωσιν.*

16. IDEM De audiendo 13 p. 45 B *μέμψαιτο δ' ἄν τις Ἀρχιλόχου μὲν τὴν ὑπόθεσιν, Παρμενίδου δὲ τὴν στιχοποιίαν, Φωκυλίδου δὲ τὴν εὐτέλειαν, Εὐριπίδου δὲ τὴν λαλιάν, Σοφοκλέους δὲ τὴν ἀνωμαλίαν.*

17. PROCL. in Tim. p. 105 Bas. p. 248 Schn. *ὁ δέ γε Π. καίτοι διὰ ποίησιν ἀσαφὴς ὢν ὅμως καὶ αὐτὸς ταῦτα ἐνδεικνύμενός φησιν.*

18. IDEM in Parm. I p. 665, 17 *αὐτὸς ὁ Π. ἐν τῇι ποιήσει· καίτοι δι' αὐτὸ ὅπου τὸ ποιητικὸν εἶδος χρῆσθαι μεταφοραῖς ὀνομάτων καὶ σχήμασι καὶ τροπαῖς ὀφείλων ὅμως τὸ ἀκαλλώπιστον καὶ ἰσχνὸν καὶ καθαρὸν εἶδος τῆς ἀπαγγελίας ἠσπάσατο. δηλοῖ δὲ τοῦτο ἐν τοῖς τοιούτοις* (citantur fr. 8, 25, 5. 44. 45) *καὶ πᾶν ὅ τι ἄλλο τοιοῦτον· ὥστε μᾶλλον πεζὸν εἶναι δοκεῖν ἢ ποιητικὸν ⟨τὸν⟩ λόγον.*

19. SIMPL. phys. 36, 25 *ἐπειδὴ δὲ καὶ Ἀριστοτέλους ἐλέγχοντος ἀκουσόμεθα τὰς τῶν προτέρων φιλοσόφων δόξας καὶ πρὸ τοῦ Ἀριστοτέλους ὁ Πλάτων τοῦτο φαίνεται ποιῶν καὶ πρὸ ἀμφοῖν ὅ τε Π. καὶ Ξενοφάνης, ἰστέον ὅτι τῶν ἐπιπολαιότερον ἀκροωμένων, οὗτοι κηδόμενοι τὸ φαινόμενον ἄτοπον ἐν τοῖς λόγοις αὐτῶν διελέγχουσιν, αἰνιγματωδῶς εἰωθότων τῶν παλαιῶν τὰς ἑαυτῶν ἀποφαίνεσθαι γνώμας.*

20. IDEM ibid. 146, 29: *εἰ δ' 'εὐκύκλου σφαίρης ἐναλίγκιον ὄγκωι' τὸ Ἓν ὄν φησι* (fr. 8, 43), *μὴ θαυμάσηις· διὰ γὰρ τὴν ποίησιν καὶ μυθικοῦ τινος*

παράπτεται πλάσματος, τί οὖν διέφερε τοῦτο εἰπεῖν ἢ ὡς Ὀρφεὺς εἶπεν ‘ὠεὸν ἀργύφεον’; MENANDER [immo GENETHLIUS] rhet. I 2, 2 φυσικοὶ [sc. ὕμνοι] δὲ ὁποίους οἱ περὶ Παρμενίδην καὶ Ἐμπεδοκλέα ἐτίμησαν [ἐποίησαν Burs.], τίς ἡ τοῦ Ἀπόλλωνος φύσις, τίς ἡ τοῦ Διὸς παρατιθέμενοι· καὶ οἱ πολλοὶ τῶν Ὀρφέως τούτου τοῦ τρόπου; id. I 5, 2 εἰσὶν δὲ τοιοῦτοι, ὅταν Ἀπόλλωνος ὕμνον λέγοντες ἥλιον αὐτὸν εἶναι φάσκωμεν καὶ περὶ τοῦ ἡλίου τῆς φύσεως διαλεγώμεθα καὶ περὶ Ἥρας ὅτι ἀήρ, καὶ Ζεὺς τὸ θερμόν· οἱ γὰρ τοιοῦτοι ὕμνοι φυσιολογικοί. καὶ χρῶνται δὲ τῶι τοιούτωι τρόπωι Π. τε καὶ Ἐμπεδοκλῆς ἀκριβῶς ... Π. μὲν γὰρ καὶ Ἐμπεδοκλῆς ἐξηγοῦνται, Πλάτων δὲ ἐν βραχυτάτοις ἀναμιμνήισκει.

21. SIMPLIC. phys. 144, 25 καὶ εἴ τωι μὴ δοκῶ γλίσχρος, ἡδέως ἂν τὰ περὶ τοῦ ἑνὸς ὄντος ἕπη τοῦ Παρμενίδου μηδὲ πολλὰ ὄντα τοῖσδε τοῖς ὑπομνήμασι παραγράψαιμι διά τε τὴν πίστιν τῶν ὑπ’ ἐμοῦ λεγομένων καὶ διὰ τὴν σπάνιν τοῦ Παρμενιδείου συγγράμματος.

DOCTRINAE.

22. [PLUT.] Strom. 5 [Eus. P. E. I 8, 5 Dox. 580] Π. δὲ ὁ Ἐλεάτης, ἑταῖρος Ξενοφάνους, ἅμα μὲν καὶ τῶν τούτου δοξῶν ἀντεποιήσατο ἅμα δὲ καὶ τὴν ἐναντίαν ἐνεχείρησεν στάσιν. ἀΐδιον μὲν γὰρ τὸ πᾶν καὶ ἀκίνητον ἀποφαίνεται [καί] κατὰ τὴν τῶν πραγμάτων ἀλήθειαν· εἶναι γὰρ αὐτό ‘μοῦνον — ἀγένητον’ [fr. 8, 4]. γένεσιν δὲ τῶν καθ’ ὑπόληψιν ψευδῆ δοκούντων εἶναι. καὶ τὰς αἰσθήσεις ἐκβάλλει ἐκ τῆς ἀληθείας. φησὶ δὲ ὅτι εἴ τι παρὰ τὸ ὂν ὑπάρχει, τοῦτο οὐκ ἔστιν ὄν· τὸ δὲ μὴ ὂν ἐν τοῖς ὅλοις οὐκ ἔστιν. οὕτως οὖν τὸ ὂν ἀγένητον ἀπολείπει· λέγει δὲ τὴν γῆν τοῦ πυκνοῦ καταρρυέντος ἀέρος γεγονέναι [e Theophrasto ut pleraque quae sequuntur]

23. HIPPOL. Ref. I 11 [Dox. 564] καὶ γὰρ καὶ Π. ἓν μὲν τὸ πᾶν ὑποτίθεται ἀΐδιόν τε καὶ ἀγένητον καὶ σφαιροειδὲς οὐδὲ αὐτὸς ἐκφεύγων τὴν τῶν πολλῶν δόξαν πῦρ λέγων καὶ γῆν τὰς τοῦ παντὸς ἀρχάς, τὴν μὲν γῆν ὡς ὕλην τὸ δὲ πῦρ ὡς αἴτιον καὶ ποιοῦν. τὸν κόσμον ἔφη φθείρεσθαι, ὠι δὲ τρόπωι, οὐκ εἶπεν. ὁ αὐτὸς δὲ εἶπεν ἀΐδιον εἶναι τὸ πᾶν καὶ οὐ γενόμενον καὶ σφαιροειδὲς καὶ ὅμοιον, οὐκ ἔχον δὲ τόπον ἐν ἑαυτῶι, καὶ ἀκίνητον καὶ πεπερασμένον. 1 2

24. ARISTOT. Metaph. A 5. 986b 18 Π. μὲν γὰρ ἔοικε τοῦ κατὰ τὸν λόγον ἑνὸς ἅπτεσθαι κτλ. cf. p. 30 n. 30. tum b27 Π. δὲ μᾶλλον βλέπων [βλέπων om. E et Simpl. d. cael. 560, 3] ἔοικέ που λέγειν. παρὰ γὰρ τὸ ὂν τὸ μὴ ὂν οὐδὲν ἀξιῶν εἶναι, ἐξ ἀνάγκης ἓν οἴεται εἶναι τὸ ὂν καὶ ἄλλο οὐδέν ... ἀναγκαζόμενος δ’ ἀκολουθεῖν τοῖς φαινομένοις καὶ τὸ ἓν μὲν κατὰ τὸν λόγον, πλείω δὲ κατὰ τὴν αἴσθησιν ὑπολαμβάνων εἶναι, δύο τὰς αἰτίας καὶ δύο τὰς ἀρχὰς πάλιν τίθησι, θερμὸν καὶ ψυχρόν, οἷον πῦρ καὶ γῆν λέγων. τούτων δὲ κατὰ μὲν τὸ ὂν τὸ θερμὸν τάττει θάτερον δὲ κατὰ τὸ μὴ ὄν [cf. Alex. h. l. p. 45, 2].

25. IDEM de caelo Γ 1. 298b 14 οἱ μὲν γὰρ αὐτῶν ὅλως ἀνεῖλον γένεσιν καὶ φθοράν· οὐθὲν γὰρ οὔτε γίγνεσθαί φασιν οὔτε φθείρεσθαι τῶν ὄντων, ἀλλὰ μόνον δοκεῖν ἡμῖν οἷον οἱ περὶ Μέλισσόν τε καὶ Παρμενίδην, οὓς εἰ καὶ τἆλλα λέγουσι καλῶς, ἀλλ’ οὐ φυσικῶς γε δεῖ νομίσαι λέγειν· τὸ γὰρ εἶναι ἄττα τῶν ὄντων, ἀγένητα καὶ ὅλως ἀκίνητα μᾶλλόν ἐστιν ἑτέρας καὶ προτέρας ἢ τῆς φυσικῆς σκέψεως. de gen. et corr. A 8 p. 325a 13 ἐκ μὲν οὖν τούτων τῶν λόγων ὑπερβάντες τὴν αἴσθησιν καὶ παριδόντες αὐτὴν ὡς τῶι λόγωι δέον ἀκολουθεῖν ἓν καὶ ἀκίνητον τὸ πᾶν εἶναί φασι καὶ ἄπειρον ἔνιοι· τὸ γὰρ πέρας

περαίνειν ἂν πρὸς τὸ κενόν. οἱ μὲν οὖν οὕτως καὶ διὰ ταύτας τὰς αἰτίας ἀπεφήναντο περὶ τῆς ἀληθείας. ἔτι δὲ ἐπὶ μὲν τῶν λόγων δοκεῖ ταῦτα συμβαίνειν, ἐπὶ δὲ τῶν πραγμάτων μανίαι παραπλήσιον εἶναι τὸ δοξάζειν οὕτως (Philop. ad h. l. 157, 27 μέμφεται τοὺς περὶ Παρμενίδην, ὅτι ἐνόμισαν τῇ μὲν ἐναργείαι τῶν πραγμάτων μὴ δεῖν ὅλως προσέχειν, μόνῃ δὲ τῇ τῶν λόγων ἀκολουθίαι).

26. PLATO Theaet. 181 A ἐὰν δὲ οἱ τοῦ ὅλου στασιῶται ἀληθέστερα λέγειν δοκῶσι, φευξόμεθα παρ' αὐτοὺς ἀπ' αὖ τῶν τὰ ἀκίνητα κινούντων. SEXT. adv. math. X 46 μὴ εἶναι δὲ [sc. τὴν κίνησιν] οἱ περὶ Παρμενίδην καὶ Μέλισσον, οὓς ὁ Ἀριστοτέλης [scil. in dialogis, Platonis l. c. secutus, non recte om. Rose *Ar. Pseudep.* 718] στασιώτας τε καὶ ἀφυσίκους κέκληκεν, στασιώτας μὲν ἀπὸ τῆς στάσεως, ἀφυσίκους δὲ ὅτι ἀρχὴ κινήσεώς ἐστιν ἡ φύσις. ἣν ἀνεῖλον φάμενοι μηδὲν κινεῖσθαι.

27. ARIST. Phys. Γ 6. 207ᵃ9 οὕτω γὰρ ὁριζόμεθα τὸ ὅλον οὗ μηθὲν ἄπεστιν οἷον ἄνθρωπον ὅλον ἢ κιβωτόν. ὥσπερ δὲ τὸ καθ' ἕκαστον οὕτω καὶ τὸ κυρίως οἷον τὸ ὅλον οὗ μηδέν ἐστιν ἔξω· οὗ δ' ἐστὶν ἀπουσία ἔξω, οὐ πᾶν ὅτι ἂν ἀπῇ. ὅλον δὲ καὶ τέλειον ἢ τὸ αὐτὸ πάμπαν ἢ σύνεγγυς τὴν φύσιν ἐστίν. τέλειον δ' οὐδὲν μὴ ἔχον τέλος· τὸ δὲ τέλος πέρας. διὸ βέλτιον οἰητέον Παρμενίδην Μελίσσου εἰρηκέναι· ὁ μὲν γὰρ τὸ ἄπειρον ὅλον φησίν, ὁ δὲ τὸ ὅλον πεπεράνθαι 'μεσσόθεν ἰσοπαλές' (fr. 8, 44).

28. SIMPL. phys. 115, 11 τὸν Παρμενίδου λόγον, ὡς ὁ Ἀλέξανδρος ἱστορεῖ, ὁ μὲν Θεόφραστος [Phys. Op. 7; Dox. 483] οὕτως ἐκτίθεται ἐν τῷι πρώτωι τῆς Φυσικῆς ἱστορίας 'τὸ παρὰ τὸ ὂν οὐκ ὄν· τὸ οὐκ ὂν οὐδέν· ἓν ἄρα τὸ ὄν' Εὔδημος δὲ οὕτως 'τὸ παρὰ τὸ ὂν οὐκ ὄν, ἀλλὰ καὶ μοναχῶς λέγεται τὸ ὄν· ἓν ἄρα τὸ ὄν'. τοῦτο δὲ εἰ μὲν ἀλλαχοῦ που γέγραφεν οὕτως σαφῶς Εὔδημος, οὐκ ἔχω λέγειν· ἐν δὲ τοῖς Φυσικοῖς [fr. 11] περὶ Παρμενίδου τάδε γράφει, ἐξ ὧν ἴσως συναγαγεῖν τὸ εἰρημένον δυνατόν· 'Π. δὲ οὐ φαίνεται δεικνύειν ὅτι ἓν τὸ ὄν, οὐδὲ εἴ τις αὐτῶι συγχωρήσειε μοναχῶς λέγεσθαι τὸ ὄν, εἰ μὴ τὸ ἐν τῶι τί κατηγορούμενον ἑκάστου ὥσπερ τῶν ἀνθρώπων ὁ ἄνθρωπος. καὶ ἀποδιδομένων τῶν λόγων καθ' ἕκαστον ἐνυπάρξει ὁ τοῦ ὄντος λόγος ἐν ἅπασιν εἷς καὶ ὁ αὐτὸς ὥσπερ καὶ ὁ τοῦ ζώιου ἐν τοῖς ζώιοις. ὥσπερ δὲ εἰ πάντα εἴη τὰ ὄντα καλὰ καὶ μηθὲν εἴη λαβεῖν ὃ οὐκ ἔστι καλόν, καλὰ μὲν ἔσται πάντα, οὐ μήν ἕν γε τὸ καλὸν ἀλλὰ πολλά (τὸ μὲν γὰρ χρῶμα καλὸν ἔσται τὸ δὲ ἐπιτήδευμα τὸ δὲ ὁτιδήποτε), οὕτω δὴ καὶ ὄντα μὲν πάντα ἔσται, ἀλλ' οὐχ ἓν οὐδὲ τὸ αὐτό· ἕτερον μὲν γὰρ τὸ ὕδωρ, ἄλλο δὲ τὸ πῦρ. Παρμενίδου μὲν οὖν ⟨οὐκ ἂν⟩ ἀγασθείη τις ἀναξιοπίστοις ἀκολουθήσαντος λόγοις καὶ ὑπὸ τοιούτων ἀπατηθέντος, ἃ οὔπω τότε διεσαφεῖτο (οὔτε γὰρ τὸ πολλαχῶς ἔλεγεν οὐδεὶς ἀλλὰ Πλάτων πρῶτος τὸ δισσὸν εἰσήγαγεν, οὔτε τὸ καθ' αὐτὸ καὶ κατὰ συμβεβηκός)· φαίνεταί τε ὑπὸ τούτων διαψευσθῆναι. ταῦτα δὲ ἐκ τῶν λόγων καὶ ἐκ τῶν ἀντιλογιῶν ἐθεωρήθη καὶ τὸ συλλογίζεσθαι· οὐ γὰρ συνεχωρεῖτο, εἰ μὴ φαίνοιτο ἀναγκαῖον. οἱ δὲ πρότερον ἀναποδείκτως ἀπεφαίνοντο'.

29. AET. I 24, 1 [Dox. 320] Π. καὶ Μέλισσος ἀνήιρουν γένεσιν καὶ φθορὰν διὰ τὸ νομίζειν τὸ πᾶν ἀκίνητον.

30. AMMON. de interpr. p. 133, 16 Busse πρῶτον μὲν γάρ, ὡς ὁ Τίμαιος [p. 27 C] ἡμᾶς ἐδίδαξε καὶ αὐτὸς ὁ Ἀριστοτέλης θεολογῶν ἀποφαίνεται καὶ προ

τούτων ὁ Π., οὐχ ὁ παρὰ Πλάτωνι μόνον [p. 137 A], *ἀλλὰ καὶ ὁ ἐν τοῖς οἰκείοις ἔπεσιν, οὐδέν ἐστι παρὰ τοῖς θεοῖς οὔτε παρεληλυθὸς οὔτε μέλλον, εἴ γε τούτων μὲν ἑκάτερον οὐκ ὄν, τὸ μὲν οὐκέτι τὸ δὲ οὔπω, καὶ τὸ μὲν μεταβεβληκὸς τὸ δὲ πεφυκὸς μεταβάλλειν, τὰ δὲ τοιαῦτα τοῖς ὄντως οὖσι καὶ μεταβολὴν οὐδὲ κατ' ἐπίνοιαν ἐπιδεχομένοις προσαρμόττειν ἀμήχανον.*

31. Aet. I 7, 26 [Dox. 303] *Π. τὸ ἀκίνητον καὶ πεπερασμένον σφαιροειδές* [sc. *θεὸν εἶναι*].

32. Idem I 25, 3 [Dox. 321] *Π. καὶ Δημόκριτος πάντα κατ' ἀνάγκην τὴν αὐτὴν δὲ εἶναι εἱμαρμένην καὶ δίκην καὶ πρόνοιαν καὶ κοσμοποιόν.* [Theodor. add. *καὶ δαίμονα* fort. ex Aet. II 7, 1 v. n. 37].

33. Clem. protr. 5, 64 p. 55 Pott. *Π. δὲ ὁ Ἐλεάτης θεοὺς εἰσηγήσατο πῦρ καὶ γῆν.*

34. Plut. adv. Colot. 13 p. 1114 D *ὁ δ'* [Parm.] *ἀναιρεῖ μὲν οὐδετέραν φύσιν* [sc. *τῶν νοητῶν καὶ δοξαστῶν*], *ἑκατέραι δ' ἀποδιδοὺς τὸ προσῆκον εἰς μὲν τὴν τοῦ ἑνὸς καὶ ὄντος ἰδέαν τίθεται τὸ νοητόν, ὃν μὲν ὡς ἀΐδιον καὶ ἄφθαρτον, ἓν δ' ὁμοιότητι πρὸς αὐτὸ καὶ τῶι μὴ δέχεσθαι διαφορὰν προσαγορεύσας, εἰς δὲ τὴν ἄτακτον καὶ φερομένην τὸ αἰσθητόν, ὃν καὶ κριτήριον ἰδεῖν ἔστιν 'ἠμὲν — ἦτορ'* [fr. 1, 29] *τοῦ νοητοῦ καὶ κατὰ ταὐτὰ ἔχοντος ὡσαύτως ἁπτόμενον 'ἠδὲ — ἀληθής'* [fr. 1, 30] *διὰ τὸ παντοδαπὰς μεταβολὰς καὶ πάθη καὶ ἀνομοιότητας δεχομένοις ὁμιλεῖν πράγμασι.* Simpl. phys. 39, 10 *δοξαστὸν οὖν καὶ ἀπατηλὸν τοῦτον καλεῖ τὸν λόγον οὐχ ὡς ψευδῆ ἁπλῶς, ἀλλ' ὡς ἀπὸ τῆς νοητῆς ἀληθείας εἰς τὸ φαινόμενον καὶ δοκοῦν τὸ αἰσθητὸν ἐκπεπτωκότα.* ibid p. 25, 15 *καὶ τῶν πεπερασμένας* [sc. *ἀρχὰς λεγόντων*] *οἱ μὲν δύο, ὡς Π. ἐν τοῖς πρὸς δόξαν, πῦρ καὶ γῆν ἢ μᾶλλον φῶς καὶ σκότος.*

35. Arist. de gen. et corr. B 3. 330^{b} 13 *οἱ δ' εὐθὺς δύο ποιοῦντες ὥσπερ Π. πῦρ καὶ γῆν, τὰ μεταξὺ μείγματα ποιοῦσι τούτων οἷον ἀέρα καὶ ὕδωρ.* B 9. 336^{a}8 *ἐπειδὴ γὰρ πέφυκεν, ὥς φασι, τὸ μὲν θερμὸν διακρίνειν τὸ δὲ ψυχρὸν συνιστάναι καὶ τῶν ἄλλων ἕκαστον τὸ μὲν ποιεῖν τὸ δὲ πάσχειν, ἐκ τούτων λέγουσι καὶ διὰ τούτων ἅπαντα τἆλλα γίγνεσθαι καὶ φθείρεσθαι.* Cic. Ac. II 37, 118 *P. ignem qui moveat, terram quae ab eo formetur* [e Theophr. Phys. op. cf. p. 52 n. 23].

36. Aet. II 1, 2 [Dox. 327] *Θαλῆς . . . Παρμ . . . . ἕνα τὸν κόσμον.* 4, 11 [Dox. 332] *Ξενοφάνης, Π., Μέλισσος ἀγένητον καὶ ἀΐδιον καὶ ἄφθαρτον τὸν κόσμον.*

37. Idem II 7, 1 [D. 335] *Π. στεφάνας εἶναι περιπεπλεγμένας, ἐπαλλήλους, τὴν μὲν ἐκ τοῦ ἀραιοῦ, τὴν δὲ ἐκ τοῦ πυκνοῦ· μικτὰς δὲ ἄλλας ἐκ φωτὸς καὶ σκότους μεταξὺ τούτων. καὶ τὸ περιέχον δὲ πάσας τεῖχους δίκην στερεὸν ὑπάρχειν, ὑφ' ὧι πυρώδης στεφάνη, καὶ τὸ μεσαίτατον πασῶν* [scil. *στερεὸν ὑπάρχειν*], *περὶ ὃν* [sic F, nec aliud vult *ὧν* P; *ὃ* Böckh. sed fortasse lacuna post *πασῶν*] *πάλιν πυρώδης* [scil. *στεφάνη*]. *τῶν δὲ συμμιγῶν τὴν μεσαιτάτην ἁπάσαις ⟨ἀρχήν⟩ τε καὶ ⟨αἰτίαν⟩* [*ἀρχήν* et *αἰτίαν* addidi conl. Simpl. ph. 34, 16 ad fr. 12, 3. vulgo *τε καὶ* mutant in *τοκέα* (Davis) vel *αἰτίαν* (Krische)] *κινήσεως καὶ γενέσεως ὑπάρχειν, ἥντινα καὶ δαίμονα* [*καὶ* add. P] *κυβερνῆτιν καὶ κληροῦχον* [*κληδοῦχον* ex fr. 1, 14 Fülleborn] *ἐπονομάζει Δίκην τε καὶ Ἀνάγκην* [fr. 8, 30 al.]. *καὶ τῆς μὲν γῆς ἀπόκρισιν εἶναι τὸν ἀέρα διὰ τὴν βιαιοτέραν αὐτῆς ἐξατμισθέντα πίλησιν, τοῦ δὲ πυρὸς ἀναπνοὴν τὸν ἥλιον καὶ τὸν*

γαλαξίαν [cf. fr. 11, 2] *κύκλον. συμμιγῆ δ' ἐξ ἀμφοῖν εἶναι τὴν σελήνην, τοῦ τ' ἀέρος καὶ τοῦ πυρός. περιστάντος δ' ἀνωτάτω πάντων τοῦ αἰθέρος ὑπ' αὐτῶι τὸ πυρῶδες ὑποταγῆναι τοῦθ' ὅπερ κεκλήκαμεν οὐρανόν, ὑφ' ὧι* [*οὗ* libri: corr. Krische] *ἤδη τὰ περίγεια.* Cic. de nat. deor. I 12, 28 *nam P. quidem commenticium quiddam coronae simile efficit (stefanen appellat), continente ardore* [*continentem ardorum* B[1]] *lucis orbem, qui cingit caelum, quem appellat deum, in quo neque figuram divinam neque sensum quisquam suspicari potest, multaque eiusdem* ⟨*modi*⟩ *monstra: quippe qui Bellum, qui Discordiam, qui Cupiditatem ceteraque generis eiusdem ad deum revocat quae vel morbo vel somno vel oblivione vel vetustate delentur; eademque de sideribus, quae reprehensa in alio iam in hoc omittantur.*

38. Aet. II 11, 1 [D. 339] *Ἀναξιμένης καὶ Π. τὴν περιφορὰν τὴν ἐξωτάτω τῆς γῆς εἶναι τὸν οὐρανόν.* § 4 [D. 340] *Π. Ἡράκλειτος, Στράτων, Ζήνων πύρινον εἶναι τὸν οὐρανόν.*

39. Idem II 13, 8 [D. 342] *Π. καὶ Ἡράκλειτος πιλήματα πυρὸς τὰ ἄστρα.*

40. Anonym. Byzant. ed. Treu p. 52, 19 [Isag. in Arat. II 14 p. 318, 15 Maass] *καὶ τῶν μὲν ἀπλανῶν τῶν σὺν τῶι παντὶ περιαγομένων τὰ μὲν ἀκατονόμαστα ἡμῖν καὶ ἀπερίληπτα, ὡς καὶ Π. ὁ φυσικὸς εἴρηκε, τὰ δὲ κατωνομασμένα ἕως ἕκτου μεγέθους χιλιά εἰσι κατὰ τὸν Ἄρατον.*

41. Aet. II 20, 8 [D. 349] *Π. καὶ Μητρόδωρος πύρινον ὑπάρχειν τὸν ἥλιον.*

42. Idem II 25, 3 [D. 356] *Π. πυρίνην* [sc. *εἶναι τὴν σελήνην*]. 26, 2 [D. 357] *Π. ἴσην τῶι ἡλίωι* [sc. *εἶναι τὴν σελήνην*]· *καὶ γὰρ ἀπ' αὐτοῦ φωτίζεται* [*γὰρ* Stob. Plut. (Eus.): om. Plut. (ABGal.); *φωτίζεσθαι* Zeller]. 28, 5 [D. 358] *Θαλῆς πρῶτος ἔφη ὑπὸ τοῦ ἡλίου φωτίζεσθαι. Πυθαγόρας, Παρμ. . . . ὁμοίως.*

43. Id. II 20, 8[a] [D. 349] *Π. τὸν ἥλιον καὶ τὴν σελήνην ἐκ τοῦ γαλαξίου κύκλου ἀποκριθῆναι, τὸν μὲν ἀπὸ τοῦ ἀραιοτέρου μίγματος ὃ δὴ θερμόν, τὴν δὲ ἀπὸ τοῦ πυκνοτέρου ὅπερ ψυχρόν.*

44. Idem VIII 48 de Pythagora: *ἀλλὰ μὴν καὶ τὸν οὐρανὸν πρῶτον ὀνομάσαι κόσμον καὶ τὴν γῆν στρογγύλην, ὡς δὲ Θεόφραστος* [Phys. Op. 17] *Παρμενίδην, ὡς δὲ Ζήνων Ἡσιόδον.* cf. A 1 p. 48, 10. Aet. III 15, 7 [D. 380] *Π., Δημόκριτος διὰ τὸ πανταχόθεν ἴσον ἀφεστῶσαν μένειν ἐπὶ τῆς ἰσορροπίας οὐκ ἔχουσαν αἰτίαν δι' ἣν δεῦρο μᾶλλον ἢ ἐκεῖσε ῥέψειεν ἄν· διὰ τοῦτο μόνον μὲν κραδαίνεσθαι, μὴ κινεῖσθαι δέ.* Theolog. arithm. p. 6 sq. Ast. ex Anatolio *πρὸς τούτοις φασὶ περὶ τὸ μέσον τῶν τεσσάρων στοιχείων κεῖσθαί τινα ἐναδικὸν διάπυρον κύβον, οὗ τὴν μεσότητα τῆς θέσεως* [sic Monac. gr. 384 f. 57[v}] *καὶ Ὅμηρον εἰδέναι λέγοντα 'τόσσον ἔνερθ' Ἄϊδεω ὅσσον οὐρανός ἐστ' ἀπὸ γαίης'. ἐοίκασι δὲ κατά γε ταῦτα κατηκολουθηκέναι τοῖς Πυθαγορείοις οἵ τε περὶ Ἐμπεδοκλέα καὶ Παρμενίδην καὶ σχεδὸν οἱ πλεῖστοι τῶν πάλαι σοφῶν, φάμενοι τὴν μοναδικὴν φύσιν Ἑστίας τρόπον ἐν μέσῳ ἱδρῦσθαι καὶ διὰ τὸ ἰσόρροπον φυλάσσειν τὴν αὐτὴν ἕδραν.*

45. Aet. IV 3, 4 [D. 386] *Π. δὲ καὶ Ἵππασος πυρώδη* [sc. *εἶναι τὴν ψυχήν*]. Macrob. S. S. I 14, 20 *Parmenides ex terra et igne* [sc. animam esse]. Aet. IV 5, 5 [D. 391] *Π. ἐν ὅλῳ τῶι θώρακι τὸ ἡγεμονικόν. Π. καὶ Ἐμπεδοκλῆς καὶ Δημόκριτος ταὐτὸν νοῦν καὶ ψυχήν, καθ' οὓς οὐδὲν ἂν εἴη ζῶιον ἄλογον κυρίως.*

46. Theophr. de sensu 1 [D. 499] *περὶ δ' αἰσθήσεως αἱ μὲν πολλαὶ καὶ καθόλου δόξαι δύ' εἰσιν· οἱ μὲν γὰρ τῶι ὁμοίωι ποιοῦσιν, οἱ δὲ τῶι ἐναντίωι. Π. μὲν καὶ Ἐμπεδοκλῆς καὶ Πλάτων τῶι ὁμοίωι, οἱ δὲ περὶ Ἀναξαγόραν καὶ Ἡράκλειτον τῶι ἐναντίωι. 3 Π. μὲν γὰρ ὅλως οὐδὲν ἀφώρικεν ἀλλὰ μόνον ὅτι δυοῖν ὄντοιν στοιχείοιν κατὰ τὸ ὑπερβάλλον ἐστὶν ἡ γνῶσις. ἐὰν γὰρ ὑπεραίρηι τὸ θερμὸν ἢ τὸ ψυχρόν, ἄλλην γίνεσθαι τὴν διάνοιαν, βελτίω δὲ καὶ καθαρωτέραν τὴν διὰ τὸ θερμόν· οὐ μὴν ἀλλὰ καὶ ταύτην δεῖσθαί τινος συμμετρίας· ὡς γὰρ ἑκάστοτε, φησίν, ἔχει — νόημα'* (fr. 16). *τὸ γὰρ αἰσθάνεσθαι καὶ τὸ φρονεῖν ὡς ταὐτὸ λέγει· διὸ καὶ τὴν μνήμην καὶ τὴν λήθην ἀπὸ τούτων* [a duobus principiis] *γίνεσθαι διὰ τῆς κράσεως· ἂν δ' ἰσάζωσι τῆι μίξει, πότερον ἔσται φρονεῖν ἢ οὔ, καὶ τίς ἡ διάθεσις, οὐδὲν ἔτι διώρικεν. ὅτι δὲ καὶ τῶι ἐναντίωι καθ' αὐτὸ ποιεῖ τὴν αἴσθησιν, φανερὸν ἐν οἷς φησι τὸν νεκρὸν φωτὸς μὲν καὶ θερμοῦ καὶ φωνῆς οὐκ αἰσθάνεσθαι διὰ τὴν ἔκλειψιν τοῦ πυρός, ψυχροῦ δὲ καὶ σιωπῆς καὶ τῶν ἐναντίων αἰσθάνεσθαι. καὶ ὅλως δὲ πᾶν τὸ ὂν ἔχειν τινὰ γνῶσιν. οὕτω μὲν οὖν αὐτὸς ἔοικεν ἀποτέμνεσθαι τῇ φάσει τὰ συμβαίνοντα δυσχερῆ διὰ τὴν ὑπόληψιν.*

47. Aet. IV 9, 6 [D. 397b1] *Π., Ἐμπεδοκλῆς, Ἀναξαγόρας, Δημόκριτος, Ἐπίκουρος, Ἡρακλείδης παρὰ τὰς συμμετρίας τῶν πόρων τὰς κατὰ μέρος αἰσθήσεις γίνεσθαι τοῦ οἰκείου τῶν αἰσθητῶν ἑκάστου ἑκάστηι ἐναρμόττοντος.*

48. Idem (?) IV 13, 9. 10 [D. 404] *Ἵππαρχος ἀκτῖνάς φησιν ἀφ' ἑκατέρου τῶν ὀφθαλμῶν ἀποτεινομένας τοῖς πέρασιν αὐτῶν οἱονεὶ χειρῶν ἁπαφαῖς περικαθαπτούσας τοῖς ἐκτὸς σώμασι τὴν ἀντίληψιν αὐτῶν πρὸς τὸ ὁρατικὸν ἀναδιδόναι. ἔνιοι καὶ Πυθαγόραν τῆι δόξηι ταύτηι συνεπιγράφουσιν ἅτε δὴ βεβαιωτὴν τῶν μαθημάτων καὶ πρὸς τοῦτῳ Παρμενίδην ἐμφαίνοντα τοῦτο διὰ τῶν ποιημάτων.*

49. Philodem. Rhet. fr. inc. 3, 7 [II 169 Sudh.] *οὐδὲ κατὰ Π. καὶ Μέλισσον ἓν τὸ πᾶν λέγοντας εἶναι καὶ διὰ τὸ τὰς αἰσθήσεις ψευδεῖς εἶναι.* Aet. IV 9, 1 [D. 396, 12] *Πυθαγόρας, Ἐμπεδοκλῆς, Ξενοφάνης, Π. ψευδεῖς εἶναι τὰς αἰσθήσεις.*

50. Aet. IV 9, 14 [D. 398] *Π., Ἐμπεδοκλῆς ἐλλείψει τροφῆς τὴν ὄρεξιν* [sc. *γίνεσθαι*].

51. Censorin. 4, 8 *Empedocles ... tale quiddam confirmat. primo membra singula ex terra quasi praegnate passim edita deinde coisse et effecisse solidi hominis materiam igni simul et umori permixtam ... haec eadem opinio etiam in Parmenide Veliensi fuit pauculis exceptis ab Empedocle dissensis* (?). cf. Aet. V 19, 5 (Emped.)

52. Arist. de part. anim. B 2 648a 25 *ἔνιοι γὰρ τὰ ἔνυδρα τῶν πεζῶν θερμότερά φασιν εἶναι, λέγοντες ὡς ἐπανισοῖ τὴν ψυχρότητα τοῦ τόπου ἡ τῆς φύσεως αὐτῶν θερμότης καὶ τὰ ἄναιμα τῶν ἐναίμων καὶ τὰ θήλεα τῶν ἀρρένων οἷον Π. τὰς γυναῖκας τῶν ἀνδρῶν θερμοτέρας εἶναί φησι καὶ ἕτεροί τινες, ὡς διὰ τὴν θερμότητα καὶ πολυαιμούσας γινομένων τῶν γυναικείων, Ἐμπεδοκλῆς δὲ τοὐναντίον.*

53. Aet. V 7, 2 [D. 419] post Empedoclem *Π. ἀντιστρόφως· τὰ μὲν πρὸς ταῖς ἄρκτοις ἄρρενα βλαστῆσαι (τοῦ γὰρ πυκνοῦ μετέχειν πλείονος), τὰ δὲ πρὸς ταῖς μεσημβρίαις θήλεα παρὰ τὴν ἀραιότητα.* § 4 [D. 420] *Ἀναξαγόρας Π. τὰ μὲν ἐκ τῶν δεξιῶν* [sc. *σπέρματα*] *καταβάλλεσθαι εἰς τὰ δεξιὰ μέρη τῆς μήτρας*

τα δ' ἐκ τῶν ἀριστερῶν εἰς τὰ ἀριστερά. εἰ δ' ἐναλλαγείη τὰ τῆς καταβολῆς, γίνεσθαι θήλεα. cf. ARIST. de gen. anim *Δ* 1. 763^{b} 30 *φασὶ γὰρ οἱ μὲν ἐν τοῖς σπέρμασιν εἶναι ταύτην τὴν ἐναντίωσιν εὐθύς, οἷον Ἀναξαγόρας καὶ ἕτεροι τῶν φυσιολόγων· γίνεσθαί τε γὰρ ἐκ τοῦ ἄρρενος τὸ σπέρμα τὸ δὲ θῆλυ παρέχειν τὸν τόπον καὶ εἶναι τὸ μὲν ἄρρεν ἐκ τῶν δεξιῶν τὸ δὲ θῆλυ ἐκ τῶν ἀριστερῶν, καὶ τῆς ὑστέρας τὰ μέν ἄρρενα ἐν τοῖς δεξιοῖς εἶναι τὰ δὲ θήλεα ἐν τοῖς ἀριστεροῖς.* CENSORIN. 5, 2 *igitur semen unde exeat inter sapientiae professores non constat. Parmenides enim tum ex dextris tum e laevis partibus oriri putavit.*

54. AET. V 11, 2 [D. 422] *Π. ὅταν μὲν ἀπὸ τοῦ δεξιοῦ μέρους τῆς μήτρας ὁ γόνος ἀποκριθῇ, τοῖς πατράσιν, ὅταν δὲ ἀπὸ τοῦ ἀριστεροῦ, ταῖς μητράσιν* [sc. *ὅμοια τὰ τέκνα γίνεσθαι*] CENSORIN. 6, 8 *ceterum Parmenidis sententia est cum dexterae partes semina dederint, tunc filios esse patri consimiles, cum laevae, tunc matri.* 6, 5 *at inter se certare feminas et maris et penes utrum victoria sit, eius habitum referri auctor est Parmenides.* conferri potest LACTANT. de opificio 12, 12 (§ 6 citantur Varro et Aristoteles) *dispares quoque naturae hoc modo fieri putantur: cum forte in laevam uteri partem masculinae stirpis semen inciderit, marem quidem gigni opinatio est, sed quia sit in feminina parte conceptus, aliquid in se habere femineum supra quam decus virile patiatur, vel formam insignem vel nimium candorem vel corporis levitatem vel artus delicatos, vel staturam brevem vel vocem gracilem vel animum inbecillum vel ex his plura. item si partem in dexteram semen feminini generis influxerit, feminam quidem procreari, sed quoniam in masculina parte concepta sit, habere in se aliquid virilitatis ultra quam sexus ratio permittat, aut valida membra aut immoderatam longitudinem aut fuscum colorem aut hispidam faciem aut vultum indecorum aut vocem robustam aut animum audacem aut ex his plura* (cf. fr. 18).

Parmenidis reliquias coll. ill. Karsten (*Phil. gr. vet. rel.* I 2), Stein (*Symbola phil. Bitschel* p. 766, ego *Parmenides gr. u. deutsch* Berl. 1897. cf. Wilamowitz *Herm.* 34, 203 et Patin *Jahrb. f. cl. Phil. Suppl.* 25, 491 sqq.

B. FRAGMENTA.

ΠΑΡΜΕΝΙΔΟΥ ΠΕΡΙ ΦΥΣΕΩΣ.

1 [1—32. 52—57 Karst., 1—32. 34—37 Stein.]

1—30. 33—38 SEXT. VII 111 sqq. *ὁ δὲ γνώριμος αὐτοῦ* [Xenophanis] *Π. τοῦ μὲν δοξαστοῦ λόγου κατέγνω, φημὶ δὲ τοῦ ἀσθενεῖς ἔχοντος ὑπολήψεις, τὸν δ' ἐπιστημονικόν, τουτέστι τὸν ἀδιάπτωτον, ὑπέθετο κριτήριον, ἀποστὰς καὶ τῆς τῶν αἰσθήσεων πίστεως· ἐναρχόμενος γοῦν τοῦ Περὶ φύσεως γράφει τὸν τρόπον τοῦτον· 'Ἵπποι — λείπεται'.* sequitur paraphrasis § 112—114: *ἐν τούτοις γὰρ ὁ Παρμενίδης Ἵππους μέν φησιν αὐτὸν φέρειν τὰς ἀλόγους τῆς ψυχῆς ὁρμάς τε καὶ ὀρέξεις* (1), *κατὰ δὲ τὴν πολύφημον ὁδὸν τοῦ δαίμονος πορεύεσθαι τὴν κατὰ τὸν φιλόσοφον λόγον θεωρίαν, ὃς λόγος προπόμπου δαίμονος τρόπον ἐπὶ τὴν ἁπάντων ὁδηγεῖ γνῶσιν* (2. 3), *κούρας δ' αὐτοῦ προάγειν τὰς*

αἰσθήσεις (5), *ὧν τὰς μὲν ἀκοὰς αἰνίττεται ἐν τῶι λέγειν* '*δοιοῖς — κύκλοις*' (7. 8), *τουτέστι τοῖς τῶν ὤτων, τὴν φωνὴν δι' ὧν καταδέχονται, τὰς δὲ ὁράσεις Ἡλιάδας κούρας κέκληκε* (9), *δώματα μὲν Νυκτὸς ἀπολιπούσας* (9), '*ἐς φάος δὲ ὠσαμένας*' (10), *διὰ τὸ μὴ χωρὶς φωτὸς γίνεσθαι τὴν χρῆσιν αὐτῶν. ἐπὶ δὲ τὴν* '*πολύποινον*' *ἐλθεῖν Δίκην καὶ ἔχουσαν* '*κληῖδας ἀμοιβούς*' (14), *τὴν διάνοιαν ἀσφαλεῖς ἔχουσαν τὰς τῶν πραγμάτων καταλήψεις. ἥτις αὐτὸν ὑποδεξαμένη* (22) *ἐπαγγέλλεται δύο ταῦτα διδάξειν* '*ἠμὲν — ἠτορ*' (29), *ὅπερ ἐστὶ τὸ τῆς ἐπιστήμης ἀμετακίνητον βῆμα, ἕτερον δὲ* '*βροτῶν δόξας — ἀληθης*' (30), *τουτέστι τὸ ἐν δόξηι κείμενον πᾶν, ὅτι ἦν ἀβέβαιον. καὶ ἐπὶ τέλει προσδιασαφεῖ τὸ μὴ δεῖν αἰσθήσεσι προσέχειν ἀλλὰ τῶι λόγωι* (33—36). *μὴ γάρ σε, φησίν,* '*ἔθος — ῥηθέντα*' (34—37). *ἀλλ' οὗτος μὲν καὶ αὐτός, ὡς ἐκ τῶν εἰρημένων συμφανές, τὸν ἐπιστημονικὸν λόγον κανόνα τῆς ἐν τοῖς οὖσιν ἀληθείας ἀναγορεύσας ἀπέστη τῆς τῶν αἰσθήσεων ἐπιστάσεως.* 11—21 significat Porph. antr. nymph. c. 22 sqq. 28—32 Simpl. cael. 557, 20 *οἱ δὲ ἄνδρες ἐκεῖνοι διττὴν ὑπόστασιν ὑπετίθεντο, τὴν μὲν τοῦ ὄντως ὄντος τοῦ νοητοῦ, τὴν δὲ τοῦ γινομένου τοῦ αἰσθητοῦ, ὅπερ οὐκ ἠξίουν καλεῖν ὂν ἁπλῶς, ἀλλὰ δοκοῦν ὄν. διὸ περὶ τὸ ὂν ἀλήθειαν εἶναί φησι, περὶ δὲ τὸ γινόμενον δόξαν. λέγει γοῦν ὁ Π.* '*χρεὼ — περῶντα*'. 28—30 Laert. IX 22 *δισσήν τε ἔφη τὴν φιλοσοφίαν· τὴν μὲν κατὰ ἀλήθειαν, τὴν δὲ κατὰ δόξαν· διὸ καὶ φησί που* '*χρεὼ — ἀληθής*' 29. 30 Plut. Colot. 1114 DE [cf. A 34] Clem. Strom. V 60 p. 682 P. Procl. Tim. p. 248 Schn. (continuans fr. 4) 34—36 Laert. IX 22 *τάς τε αἰσθήσεις μὴ ἀκριβεῖς ὑπάρχειν. φησὶ γοῦν* '*μηδὲ — ἔλεγχον*'.

ἵπποι ταί με φέρουσιν, ὅσον τ' ἐπὶ θυμὸς ἱκάνοι,
πέμπον, ἐπεί μ' ἐς ὁδὸν βῆσαν πολύφημον ἄγουσαι
δαίμονος, ἣ κατὰ πάντα τῆ φέρει εἰδότα φῶτα·
τῆι φερόμην· τῆι γὰρ με πολύφραστοι φέρον ἵπποι
ἅρμα τιταίνουσαι, κοῦραι δ' ὁδὸν ἡγεμόνευον.
ἄξων δ' ἐν χνοίηισιν ⟨ἶει⟩ σύριγγος ἀυτήν
αἰθόμενος (δοιοῖς γὰρ ἐπείγετο δινωτοῖσιν
κύκλοις ἀμφοτέρωθεν), ὅτε σπερχοίατο πέμπειν

Prooemium parum clare conceptum ex variis carminibus colores duxisse videtur. praeter mystica, quorum vestigia evanida in Parmenidis proecdosi p. 13 quaerebam, Hesiodi Phaethon adhibitus ac detortus videtur; inde currus, via Solis (v. 2), fortasse Heliades (cf. Robert Herm. 18, 435[4]), *bifores valvae* (Ovid. M. II 4 cf. Hom. E 759, Hes. Theog. 748) transferri potuerunt.

1 cf. 25 2 *πέμπον* iterative *βῆσαν* cf. Pind. O. 6, 24 *ὄφρα κελεύθωι τ' ἐν καθαρᾶι βάσομεν ὄχον* 3 *δαίμονος* antiquis ut videtur eadem dea quae v. 14. 22. 12, 3. unde Proclo Parm. p. 640, 39 propter 11 sqq. *νύμφη Ὑψιπύλη* audit: *δαίμονες* Stein, Wilamowitz sc. Heliades. utique Solis orbita videtur intellegenda, quam poeta lucido mentis curru, felicior ille Phaethonte, quotiens libebat escendebat *πάντα τῆ* Sext.; minus ceteris coniecturis (cf. *Parm.* nostr. 48, quibus addo *παντανγῆ* nostram, *πάντα τατὴ* L. D. Barnettii et Wilamowitzii) displicet G. Hermanni *πάντ' αὐτὴ*, quod intellego *quae via sola gnarum virum per omnia ducit* 6 *ἶει* add. Karsten 7 *αἰθόμενος fervidus* cf. Eur. Hipp. 1277 *αἰθόμενος ἅλιος*

Ἡλιάδες κοῦραι, προλιποῦσαι δώματα Νυκτός,
εἰς φάος, ὠσάμεναι κράτων ἄπο χερσὶ καλύπτρας.
ἔνθα πύλαι Νυκτός τε καὶ Ἤματός εἰσι κελεύθων,
καί σφας ὑπέρθυρον ἀμφὶς ἔχει καὶ λάινος οὐδός·
αὐταὶ δ' αἰθέριαι πλῆνται μεγάλοισι θυρέτροις.
τῶν δὲ Δίκη πολύποινος ἔχει κληῖδας ἀμοιβούς·
τὴν δὴ παρφάμεναι κοῦραι μαλακοῖσι λόγοισιν
πεῖσαν ἐπιφραδέως, ὥς σφιν βαλανωτὸν ὀχῆα
ἀπτερέως ὤσειε πυλέων ἄπο· ταὶ δὲ θυρέτρων
χάσμ' ἀχανὲς ποίησαν ἀναπτάμεναι πολυχάλκους
ἄξονας ἐν σύριγξιν ἀμοιβαδὸν εἱλίξασαι
γόμφοις καὶ περόνῃσιν ἀρηρότε· τῇι ῥα δι' αὐτῶν
ἰθὺς ἔχον κοῦραι κατ' ἀμαξιτὸν ἅρμα καὶ ἵππους.
καί με θεὰ πρόφρων ὑπεδέξατο, χεῖρα δὲ χειρὶ
δεξιτερὴν ἕλεν, ὧδε δ' ἔπος φάτο καί με προσηύδα·
ὦ κοῦρ' ἀθανάτοισι συνάορος ἡνιόχοισιν,
ἵπποις ταί σε φέρουσιν ἰκάνων ἡμέτερον δῶ
χαῖρ', ἐπεὶ οὔτι σε μοῖρα κακὴ προύπεμπε νέεσθαι
τήνδ' ὁδόν (ἦ γὰρ ἀπ' ἀνθρώπων ἐκτὸς πάτου ἐστίν),
ἀλλὰ θέμις τε δίκη τε. χρεὼ δέ σε πάντα πυθέσθαι
ἡμὲν Ἀληθείης εὐκυκλέος ἀτρεμὲς ἦτορ
ἠδὲ βροτῶν δόξας, ταῖς οὐκ ἔνι πίστις ἀληθής.
⟨ἀλλ' ἔμπης καὶ ταῦτα μαθήσεαι, ὡς τὰ δοκοῦντα

9 *δώματα Νυκτός* sqq. cf. Hes. theog. 744 10 *κράτων* Karsten: *κρατερῶν* Sext. 13 *πλῆνται* singulariter cf. 12, 1 14 *Δίκη πολύποινος* etiam Orph. fr. 125 *ἀμοιβούς*, fortasse vices et aequas mensuras Noctis et Diei moderans sec. Heracliti fr. 94 (Patin p. 640) aut simpliciter claves duplices mutuo claustro seram praecludentes, quales Dantis Purg. IX 117 15 cf. Hom. *π* 287. M 24 q. 16 *ἐπιφραδέως* imitatur Apoll. Rhod. 17 *ἀπτερέως* ex Hes. fr. 253 18 *ἀχανὲς* primus Parmenides, tum Soph. fr. 926 *ἀναπτάμεναι* singulariter 19 *ἀμοιβαδὸν alterum post alterum* cf. h. Cer. 326 20 *ἀρηρότε* Bergk: *ἀρηρότα* libri. *ἀρηρότας ἦ* Scaliger, at *τῇι ῥα* sqq. constat ex Hom. E 752 22 *θεὰ* = *δαίμων* (3); clausula versus homerica 23 sqq. cf. Hom. *α* 120 sqq. 24 *ἀθανάτῃσιν* Brandis at cf. *Parm.* 53 24 *συνήορος* homerice (*θ* 99) Brandis; at cf. *κρᾶσιν* 16, 1; *δίκρανοι* 6, 5. Xenoph. 1, 4. Emped. 20, 6 25 cf. Σ 385. 424 26 *μοῖρα κακὴ* cf. *N* 602 al. 29 *ἠμὲν*] *τὸ μὲν* Procl. *εὐκυκλέος* Simpl.(DE; *εὐκύκλιος* A): *εὐφεγγέος* Procl.: *εὐπειθέος* Plut., Clem, Sext., Laert. *ἀτρεμὲς* Clem., Sext. paraphr. Simpl.: *ἀτρεκὲς* Plut., Sext. text., Laert. *Veritatis cor intrepidum* est *Ens globosum, immotum* 30 *δόξαι* vel *δόξαις* Procl. *ταῖς* Clem., Sext., Simpl.: *αἷς* Plut.: *τῆς* Laert. *ἔνι*] *ἔτι* Laert. 31. 32 transsiluit homoearcto deceptus Sextus; plus omissa rati plerique fr. 2—7 intercalant 31 *μαθήσεαι* DE: *μαθήσεται* A: *μυθήσομαι* F

χρῆν δοκιμῶς εἶναι διὰ παντὸς πάντα περῶντα⟩.
ἀλλὰ σὺ τῆσδ' ἀφ' ὁδοῦ διζήσιος εἶργε νόημα
μηδέ σ' ἔθος πολύπειρον ὁδὸν κατὰ τήνδε βιάσθω,
νωμᾶν ἄσκοπον ὄμμα καὶ ἠχήεσσαν ἀκουήν
καὶ γλῶσσαν, κρῖναι δὲ λόγῳ πολύδηριν ἔλεγχον
ἐξ ἐμέθεν ῥηθέντα. μόνος δ' ἔτι θυμὸς ὁδοῖο
λείπεται . . .

32 *χρῆν* vel *χρὴν* Simpl.: *χρὴ* Peyron 32 *δοκίμως εἶναι* libri, quod Wilam. explicabat: '*die Hypothesen, die sich durch das ganze Lehrgebäude hindurch bewähren, haben in einer probehaltigen Weise Realität*', id quod pugnat contra ontologiam Parmenidis, quae nisi in uno ente nihil probabile aut reale agnoscat. nam hypotheses fingere si voluisset suae Veritati consonas, monismum, sicut antiqui Iones, non dualismum commendavisset. teneo *δοκιμῶσ(αι) εἶναι* vulgari elisione (cf. ad Xenoph. 3, 5) '*wie man bei gründlicher Durchforschung annehmen müsste, dass sich jenes Scheinwesen verhalte*', scil. si ista via esset omnino ingredienda. minus placent coniecturae velut *εἶναι, θεῖναι* meae vel *κρῖναι* Karstenii, *σ' ἰέναι* Cobeti *διὰ παντὸς πάντα* Heraclitum, quem hic potissimum petit, imitatus rhetorice cf. *Parm.* p. 60 *περῶντα* Simpl.(A): *περ ὄντα* (DEF) 33 — 7, 2, ∾ 6, 3 34 *σ' ἔθος* Sext.: *σε θεὸς* Laert. 36 *πολύδηριν* Laert.: *πολύπειρον* Sext. (ex 34): intellege *pugnantium opinionum disquisitionem* 37 *ῥηθέντα*] cf. 31. 22 *θυμὸς* sic Sext., quod si verum sit, explicetur *vivida vis Rationis* i. e. *ἀτρεμὲς ἦτορ Ἀληθείης* (29); vulgo *μῦθος ὁδοῖο* secundum 8, 1.

2 [89—92 K., 37—40 St.]

1—4 Clem. Strom. 5, 15 p. 653 P. *ὁ δὲ Ἐμπεδοκλῆς ἐν ταῖς ἀρχαῖς καὶ Φιλότητα συγκαταριθμεῖται συγκριτικήν τινα ἀγάπην νοῶν.* '*ἦν — τεθηπώς*' (fr. 17, 2). *ἀλλὰ καὶ Παρμενίδης ἐν τῶι αὐτοῦ ποιήματι περὶ τῆς ἐλπίδος αἰνισσόμενος τὰ τοιαῦτα λέγει·* '*λεῦσσε — συνιστάμενον*', *ἐπεὶ καὶ ὁ ἐλπίζων καθάπερ ὁ πιστεύων τῶι νῶι ὁρᾶι τὰ νοητὰ καὶ τὰ μέλλοντα. εἰ τοίνυν φαμέν τι εἶναι δίκαιον, φαμὲν δὲ καὶ καλόν, ἀλλὰ καὶ ἀληθειάν τι λέγομεν. οὐδὲν δὲ πώποτε τῶν τοιούτων τοῖς ὀφθαλμοῖς εἴδομεν, ἀλλ' ἢ μόνωι τῶι νῶι* [hinc v. 1 Theodoret. I 72 p. 36 Gaisf.] 1 Procl. Parm. (Paris. 1864) 1152, 37 2 Damascius I 67, 21 Ruelle *οὐδὲ τὸ ὂν ἄρα πρόεισιν εἰς πολλὰ ἢ κατὰ ὕφεσιν ἢ κατὰ μερισμὸν ἢ ὀπωσοῦν κατὰ πρόοδον* '*οὐ — ἔχεσθαι*' *φησὶν ὁ Παρμενίδης· διὸ καὶ ἓν ἄρα τὸ ὂν ἐκεῖνος ἔλεγεν οὐδὲ ἄρα προιέναι φαίη τις ἄν, εἴπερ μηδὲ ἀποτμήσεσθαι.*

λεῦσσε δ' ὅμως ἀπεόντα νόῳ παρεόντα βεβαίως·
οὐ γὰρ ἀποτμήξει τὸ ἐὸν τοῦ ἐόντος ἔχεσθαι
οὔτε σκιδνάμενον πάντηι πάντως κατὰ κόσμον
οὔτε συνιστάμενον.

1 '*quamvis remota tanquam praesentia menti contemplare*' Bergk; Clementis vana de Spe interpretatio de conexu nihil certi prodit 2 *ἀποτμήξει* (active *ὁ νοῦς* vel i. q. *ἀποτμήξῃ*) Clem.: *ἀποτμήσει* Dam. *ἔχεσθαι* Dam.: *ἔχθεσθαι* Clem. 3 *contextus rerum omnium nec dissipata nec contracta usquam structura rumpitur*; tangi Heracl. fr. 91 conicit Patin p. 571

3 [41. 42 K. St.]

PROCL. in Parm. I p. 708, 16 (post 8, 25) *καὶ πάλιν·*

ξυνὸν δέ μοί ἐστιν
ὁππόθεν ἄρξωμαι· τόθι γὰρ πάλιν ἵξομαι αὖθις.

1 cf. Heraclit. 103 *ξυνὸν γὰρ ἀρχὴ καὶ πέρας ἐπὶ κύκλου περιφερείας*, itemque in Parmenideae Veritatis globo.

4 [33—40 K., 43—50 St.]

1—6. 7. 8. PROCL. Tim. p. 248 Schn. (post 1, 30) *καὶ πάλιν ‘εἰ δ’ — ἀταρπόν’ καὶ ‘οὔτε — φράσαις’* 3—8 SIMPL. Phys. 116, 25 *εἰ δέ τις ἐπιθυμεῖ καὶ αὐτοῦ τοῦ Παρμενίδου ταύτας λέγοντος ἀκοῦσαι τὰς προτάσεις, τὴν μὲν τὸ παρὰ τὸ ὂν οὐκ ὂν καὶ οὐδὲν λέγουσαν, ἥτις ἡ αὐτή ἐστι τῇ τὸ ὂν μοναχῶς λέγεσθαι, εὑρήσει ἐν ἐκείνοις τοῖς ἔπεσιν· ‘ἡ μὲν — φράσαις’*; PROCL. Parm. 1078, 1 *καὶ γὰρ ἡ μὲν εἶναι φάσκουσα αὐτὸ κέλευθος Πειθοῦς ἐστι κατ’ αὐτόν. ἡ δὲ μὴ εἶναι λέγουσα ‘καὶ ὡς χρεών — ἀταρπόν’.*

εἰ δ’ ἄγ’ ἐγὼν ἐρέω, κόμισαι δὲ σὺ μῦθον ἀκούσας,
αἵπερ ὁδοὶ μοῦναι διζήσιός εἰσι νοῆσαι·
ἡ μὲν ὅπως ἔστιν τε καὶ ὡς οὐκ ἔστι μὴ εἶναι
Πειθοῦς ἐστι κέλευθος (Ἀληθείηι γὰρ ὀπηδεῖ),
ἡ δ’ ὡς οὐκ ἔστιν τε καὶ ὡς χρεών ἐστι μὴ εἶναι,
τὴν δή τοι φράζω παναπευθέα ἔμμεν ἀταρπόν·
οὔτε γὰρ ἂν γνοίης τό γε μὴ ἐὸν (οὐ γὰρ ἀνυστόν)
οὔτε φράσαις.

1 *ἄγ’ ἐγὼν* Karsten: *ἄγε τῶν* Procl. 2 *μοῦναι* Procl. C(oisl.): *μοῦσαι* Procl. AB 3 *ἔστι τε* Procl. Simpl. *ὡς* Simpl.: om. Procl. 4 *ἀληθείη* Procl. Simpl.: corr. Bywater 5 *ἔστι τε* Simpl.: *ἔστι γε* Procl. *χρεών* libri: fortasse *χρεόν* cf. 8, 45 6 *παναπευθέα* Simpl.(EF, *παραπεύθεα* D) cf. 8, 21 et Hom. *γ* 88: *παναπειθέα* Procl. *ἔμμεν’* Simpl. (DE, *ἔμμεναι* E) 7 *ἀνυστόν* Simpl.: *ἐφικτόν* Procl.

5 [40 K., 50 St.]

CLEM. Strom. VI 23 p. 749 P. *Ἀριστοφάνης ἔφη ‘δύναται γὰρ ἴσον τῶι ὁρᾶν τὸ νοεῖν’* [fr. 691 K.] *καὶ πρὸ τούτου ὁ Ἐλεάτης Π. ‘τὸ γὰρ — εἶναι’* PLOTIN. Enn. V 1, 8 *ἧπτετο μὲν οὖν καὶ Π. πρότερον τῆς τοιαύτης δόξης καθόσον εἰς ταὐτὸ συνῆγεν ὂν καὶ νοῦν καὶ τὸ ὂν οὐκ ἐν τοῖς αἰσθητοῖς ἐτίθετο. ‘τὸ γὰρ — εἶναι’ λέγων καὶ ἀκίνητον λέγει τοῦτο, καίτοι προστιθεὶς τὸ νοεῖν σωματικὴν πᾶσαν κίνησιν ἐξαιρῶν ἀπ’ αὐτοῦ.* memoria lapsus et supplens PROCL. Parm. 1152, 33 *ταὐτὸν δ’ ἐστὶν ἐκεῖ νοέειν τε καὶ εἶναι·*

. . . τὸ γὰρ αὐτὸ νοεῖν ἐστίν τε καὶ εἶναι.

continuandum veri similiter fr. 4.

6 [43—51 K., 51—59 St.]

1—9 SIMPL. phys. 117, 2 (post fr. 4) *ὅτι δὲ ἡ ἀντίφασις οὐ συναληθεύει, δι’ ἐκείνων λέγει τῶν ἐπῶν δι’ ὧν μέμφεται τοῖς εἰς ταὐτὸ συνάγουσι τὰ ἀντικείμενα· εἰπὼν γὰρ ‘ἔστι γὰρ εἶναι — διζήσιος ⟨εἶργω’ ἐπάγει·* haec duo

verba addidi) ‘*αὐτὰρ — κέλευθος*’ 1. 2 IDEM ibid. 86, 25 *ἀλλὰ καὶ τὸ πάντων ἕνα καὶ τὸν αὐτὸν εἶναι λόγον τὸν τοῦ ὄντος ὁ Παρμενίδης φησὶν ἐν τούτοις ‘χρὴ — ἔστιν’.*

χρὴ τὸ λέγειν τε νοεῖν τ᾽ ἐὸν ἔμμεναι· ἔστι γὰρ εἶναι,
μηδὲν δ᾽ οὐκ ἔστιν· τά γ᾽ ἐγὼ φράζεσθαι ἄνωγα.
πρώτης γάρ σ᾽ ἀφ᾽ ὁδοῦ ταύτης διζήσιος ⟨εἴργω⟩,
αὐτὰρ ἔπειτ᾽ ἀπὸ τῆς, ἣν δὴ βροτοὶ εἰδότες οὐδέν
πλάττονται, δίκρανοι· ἀμηχανίη γὰρ ἐν αὐτῶν
στήθεσιν ἰθύνει πλακτὸν νόον· οἱ δὲ φοροῦνται
κωφοὶ ὁμῶς τυφλοί τε, τεθηπότες, ἄκριτα φῦλα,
οἷς τὸ πέλειν τε καὶ οὐκ εἶναι ταὐτὸν νενόμισται
κοὐ ταὐτόν, πάντων δὲ παλίντροπός ἐστι κέλευθος.

De ordine fr. 6—8 cf. Simpl. phys. 78, 2 *μεμψάμενος γὰρ τοῖς τὸ ὂν καὶ τὸ μὴ ὂν συμφέρουσιν ἐν τῶι νοητῶι ‘οἷς — ταὐτόν’* (6), *καὶ ἀποστρέψας τῆς ὁδοῦ τῆς τὸ μὴ ὂν ζητούσης ‘ἀλλὰ — νόημα’* (7), *ἐπάγει ‘μοῦνος κτλ.’* (8).

1 *τ᾽ ἐὸν* Simpl.(F): *τὸ ὄν* (DE) 2 *μηδὲν δ᾽* Simpl.86: *μηδὲν οἷ* 117; *τὸ μηδὲν* i. q. *τὸ μὴ ἐόν* cf. 8, 10 *τά γ᾽ ἐγὼ* Simpl.(D): *τοῦ ἐγὼ* (E): *τά γε* (F): *τά σε* Aldus: *τά σ᾽ ἐγὼ* verisimiliter Bergk cf. Hes. Opp. 367 3 *εἴργω* supplevi conl. 1, 33; 7, 2 5 *πλάττονται* Simpl.: *πλάζονται* a: *πλάσσονται* eodem sensu in exemplo Simplicii fuisse conieci in *Parm.* 72 *δίκρηνοι* debebat; tanguntur Heraclitei 6 *πλακτὸν* libri cf. Hes. *πλακτός*: *παράφρων, πεπλανημένος* cf. 8, 28 *φορεῦνται* Karsten 8 *ταὐτὸν* Stein et sic deinceps; sententiam Heracliteam brevissime comprehendit [Hipp.] de victu I 5 *πάντα ταὐτὰ καὶ οὐ ταὐτά* 9 *παλίντροπος ἁρμονίη* significatur Heracliti fortasse huic v. continuandum fr. 7.

7 [52 K., 60. 61 St.]

1. 2 PLATO Soph. 237 A *Παρμενίδης δὲ ὁ μέγας, ὦ παῖ, παισὶν ἡμῖν οὖσιν ἀρχόμενός τε καὶ διὰ τέλους τοῦτο ἀπεμαρτύρατο, πεζῆι τε ὧδε ἑκάστοτε λέγων* [sc. sermonibus] *καὶ μετὰ μέτρων· οὐ γὰρ μήποτε τοῦτ᾽ οὐδαμῆι* (sic libri), *φησίν, εἶναι μὴ ἐόντα· ἀλλὰ — νόημα’.* IDEM ibid. 258 D ‘*οὐ γὰρ — νόημα*’ (1. 2 ex Platone Simpl. phys. 135, 20; 143, 29; 244, 1; 2 ibid. 650, 13) 1 ARISTOT. Metaph. N 2. 1089ª 2 *ἔδοξε γὰρ αὐτοῖς πάντ᾽ ἔσεσθαι ἓν τὰ ὄντα, αὐτὸ τὸ ὄν, εἰ μή τις λύσει καὶ ὁμόσε βαδιεῖται τῶι Παρμενίδου λόγωι ‘οὐ γὰρ — ἐόντα᾽ ἀλλ᾽ ἀνάγκη εἶναι τὸ μὴ ὂν δεῖξαι ὅτι ἔστιν* (Ps. Alex. ad h. l. 805, 19 *ἐν δὲ τῆι λέξει τῆι „οὐ γὰρ — ἐόντα᾽, ἀλλ᾽ ἀνάγκη εἶναι τὸ μὴ ὄν,“ τοῦ Παρμενίδου οὔσηι αἱ δύο ἀποφάσεις ἀντὶ μιᾶς καταφάσεως κεῖμεναι καὶ τὸ ‘ἀλλὰ᾽ ἀντὶ τοῦ ‘ὥστε᾽ πλείστην ἀσάφειαν πεποιήκασι· δεῖ δὲ καὶ ὑπερβατικῶς τὴν λέξιν ἀναγιγνώσκειν ‘οὐ γὰρ μήποτε μὴ τοῦτο ἐόντα μηδαμῆι εἶναι, ὥστε ἀνάγκη τὸ μὴ ὂν εἶναι δεῖξαι*) 2 SIMPL. phys. 78, 6 (ad fr. 6 adl.).

οὐ γὰρ μήποτε τοῦτο δαμῆι εἶναι μὴ ἐόντα·
ἀλλὰ σὺ τῆσδ᾽ ἀφ᾽ ὁδοῦ διζήσιος εἶργε νόημα.

1 *τοῦτο δαμῆ* Arist.(E), Simpl. 135, 143, 244 (E et 143 D): *τοῦτ᾽ οὐδαμῆ* Plat., Arist. (A^{b} alii), Simpl. 143, 244 (F): *τοῦτο μηδαμῆ* Simpl. 135 (D), Ps. Alex.

ἐόντα Arist.: ὄντα Plato (Simpl.) 2 διζήσιος Plat. 258 (Simpl.): διζήμενος Plat. 237.

8 [58—120 K., 62—124 St.]

1—52 Simpl. phys. 144, 25 [post A 21] ἔχει δὲ οὐτωσὶ τὰ μετὰ τὴν τοῦ μὴ ὄντος ἀναίρεσιν (145)· 'μοῦνος — ἀκούων' 1—3 Idem ibid. 78, 5 (post fr. 7, 2) ἐπάγει 'μοῦνος — πολλὰ μάλα'; 142, 31 ὅτι μὲν οὖν οὐ τῶν γινομένων τε καὶ φθειρομένων ὁ Παρμενίδης τὸ ἓν ὂν τίθεται, δηλοῖ τὸ σημεῖον αὐτοῦ ἓν τὸ ἀγένητον καὶ ἄφθαρτον λέγον, ἐν οἷς φησι 'μόνος — ἀνώλεθρόν ἐστιν' 3—14 Idem ib. 78, 11 post l. c. καὶ παραδίδωσι λοιπὸν τὰ τοῦ κυρίως ὄντος σημεῖα· ὡς ἀγένητον — πέδησιν' ταῦτα δὴ περὶ τοῦ κυρίως ὄντος λέγων ἐναργῶς ἀποδείκνυσιν, ὅτι ἀγένητον τοῦτο τὸ ὄν· οὔτε γὰρ ἐξ ὄντος· οὐ γὰρ προϋπῆρχεν ἄλλο ὄν· οὔτε ἐκ τοῦ μὴ ὄντος· οὐδὲ γὰρ ἔστι τὸ μὴ ὄν. καὶ διὰ τί δὴ τότε, ἀλλὰ μὴ καὶ πρότερον ἢ ὕστερον ἐγένετο; ἀλλ' οὐδὲ ἐκ τοῦ πῆι μὲν ὄντος πῆι δὲ μὴ ὄντος ὡς τὸ γενητὸν γίνεται (Platonica, non Parmenidea opinio)· οὐ γὰρ ἂν τοῦ ἁπλῶς ὄντος προϋπάρχοι τὸ πῆι μὲν ὂν πῆι δὲ μὴ ὄν, ἀλλὰ μετ' αὐτὸ ὑφέστηκε. 3—4 Clem. Strom. V 113 p. 716 P. *Il.* δὲ ... ὧδέ πως περὶ τοῦ θεοῦ γράφει. 'πολλὰ — ἀτρεμὲς ἠδ' ἀγένητον' [hinc Eus. P. E. XIII 13, 39. Theodor. IV 7] 3—5 Simpl. phys. 29, 26 οὕτως μὲν οὖν εἰς τὸ κατὰ χρόνον ἄναρχον καὶ ἀτελεύτητον καὶ ἀεὶ ὂν ὁ Μέλισσος ἀπιδὼν ἄπειρον ἀπεφήνατο· τὸ δὲ τοιοῦτον καὶ ὁ Παρμενίδης αὐτῶι μαρτυρεῖ λέγων δι' αὐτῶν σχεδὸν τῶν ῥημάτων· 'ὡς ἀγένητον — πᾶν' 4 Plut. Colot. 1114 C τοῦ νοητοῦ δ' ἕτερον εἶδος 'ἔστι γὰρ οὐλομελές τε καὶ ἀτρεμὲς ἠδ' ἀγένητον', ὡς αὐτὸς (Parm.) εἴρηκε; Pseudoplut. Strom. 5 [supra A. 22] εἶναι γὰρ αὐτὸ (scil. τὸ πᾶν) 'μοῦνον μουνογενές — ἀγένητον'; Simpl. cael. 557, 17 'οὖλον — ἀγένητον'; Id. phys. 120, 23 item; Philop. phys. 65, 7 τί οὖν φησιν ἐν τοῖς ἔπεσιν αὐτὸς περὶ τοῦ ὄντος; 'οὖλον — ἀγένητον'; Procl. Parm. 1152, 24 λέγει γοῦν ἐκεῖνος ποτὲ μὲν 'οὐλομελές — ἀγένητον'; Simpl. phys. 87, 21 ὅλον αὐτό φησιν 'οὖλον μουνογενές τε'; Procl. Parm. 1077, 24 καὶ γὰρ οὐλομελές φησιν αὐτὸ εἶναι καὶ ἀτρεμές, similiter 1084, 29 4 respicit Plat. Phaedr. 250 C ὁλόκληρα δὲ καὶ ἁπλᾶ καὶ ἀτρεμῆ καὶ εὐδαίμονα φάσματα 5 Ammon. de interpr. 136. 21 τὸ ἔστι καὶ τοῦτο οὐ τὸ συναριθμούμενον τῶι τε ἦν καὶ τῶι ἔσται καὶ ἀντιδιαιρούμενον αὐτοῖς, ἀλλὰ τὸ πρὸ πάσης χρονικῆς ἐμφάσεως ἐπινοούμενον καὶ τὸ ἄτρεπτον αὐτῶν καὶ ἀμετάβλητον σημαῖνον, ὅπερ καὶ ὁ μέγας Παρμενίδης παντὶ τῶι νοητῶι ὑπάρχειν ἀποφαίνεται· 'οὐ γὰρ ἦην οὐδ' ἔσται, φησίν, ὁμοῦ πᾶν ἔστι δὲ μοῦνον' [inde Cram. A. P. I 388 et Philop. phys. 65, 9]; Simpl. phys. 143, 13 'ἐπεὶ — πᾶν', ibid. 147, 13 'ὁμοῦ' τὸ 'πᾶν'; Procl. Parm. 665, 26 'ἐπεὶ — ὁμοῦ' 6—10 Simpl. phys. 162, 15 ὅλως γάρ, φησίν (Parm.), εἰ ἐκ τοῦ μὴ ὄντος, τίς ἡ ἀποκλήρωσις τοῦ τότε γενέσθαι ὅτε ἐγένετο, ἀλλὰ μὴ πρότερον ἢ ὕστερον; γράφει δὲ οὕτως· 'τίνα — φῦν': 6—9 Simpl. cael. 137, 1 ἐν τοῖς ἔπεσι περὶ τοῦ ἀγένητον εἶναι τὸ ὂν τάδε γέγραφε 'τίνα — ἔστι' 21 Simpl. cael. 559, 14 ἀλλὰ καὶ γένεσιν ἀπὸ τοῦ ὄντως ὄντος ἀναιροῦσιν· ἐπ' ἐκείνου γὰρ καὶ *Il.* εἶπε τὸ 'γένεσις — ὄλεθρος' 22 Simpl. phys. 143, 3 'οὐδὲ — ὁμοῖον'; ibid. 86, 23 καὶ ἀδιαίρετόν ἐστιν, ἐπεὶ πᾶν ἐστιν ὁμοῖον' cf. Plut. Col. 1114 D 24 Damasc. II 146, 5 τὸ γὰρ ἐὸν ἓν πλεῖον ἑόντος φάναι καὶ τὸν ἐν ἔπεσι Παρμενίδην ... καὶ λέγει 'πᾶν' καλῶς 25 Simpl. phys. 86, 22; 87, 23; Plotin. Enn. VI 4, 4 ὁμοῦ γὰρ πᾶν τὸ ὄν, κἂν πολὺ οὕτως

ἦι· '*ἐὸν γὰρ ἐόντι πελάζει*'· cf. Procl. Parmen. 665, 24; 708, 13; 1080, 1; Philop. phys. 65, 11; Damasc. I 131, 7 26—28 Simpl. phys. 39, 25 '*αὐτὰρ — ἀληθής*'; 79, 32 *αὐτὰρ — ἐπλάγχθησαν* 26 Procl. Parm. 1152, 27 29—33 Simpl. phys. 30, 5 *τὴν δὲ τοῦ πέρατος ἔννοιαν δι' ἐκείνων ἐδήλωσε τῶν ἐπῶν* '*ταὐτόν — ἐδεῖτο*' 29—32 Procl. Parm. 1134, 22 29 Procl. Parm. 1152, 29; 1177, 5; Simpl. phys. 143, 15; Procl. Parm. 639, 29 *ταὐτὸν — μίμνον* Simpl. phys. 77, 30 *ἐν ταὐτῶι μένον* 30—33 Simpl. phys. 40, 2 *καὶ τὴν αἰτίαν δὲ τῆς ἀκινησίας ἐπάγει* '*οὕτως — ἐδεῖτο, ὡς γὰρ τὸ μὴ ὄν, φησίν, ἐνδεὲς πάντων ἐστίν. οὕτως τὸ ὂν ἀνενδεὲς καὶ τέλειον* 30 Proclus Parm. 1152, 31 '*οὕτως — μένει* 34—36 Simpl. phys. 87, 13 '*ταὐτὸν — νοεῖν*, item 143, 22 35—36 Procl. Parm. 1152, 35 '*οὐ γὰρ — νοεῖν*' 36—38 Simpl. phys. 86, 29 *οὐδὲν — ἔσται*' 38 Plato Theaet. 180 D *ἄλλοι αὖ ταὐναντία τούτοις ἀπεφήναντο* '*οἷον — ὄνομ' εἶναι καὶ ἄλλα ὅσα Μέλισσοί τε καὶ Παρμενίδαι ἐναντιούμενοι πᾶσι τούτοις διισχυρίζονται* [inde Eus. P. E. XIV 4, 6; Theodor. II 15; Simpl. phys. 29, 18; 143, 10] 39 resp. Melissus fr. 7 Covotti *εἰ γὰρ ἔστι γῆ καὶ ὕδωρ . . . καὶ τὰ ἄλλα ὅσα φασὶν οἱ ἄνθρωποι εἶναι ἀληθῆ* 42 cf. Simpl. phys. 147, 13 *εἴπερ ἓν ἐστι* '*ὁμοῦ τὸ πᾶν*' *καὶ* '*πεῖρας πύματον — τῆι ἢ τῆι*' *τοιοῦτόν γε ὂν τὸ ὂν μέσον τε καὶ ἔσχατα ἔχει* [hinc Ps. Arist. de MXG 2. 976[a]6. Stob. Ecl. I 14, 2 p. 144, 11 Wachsm. Simpl. phys. 52, 26. 89, 22 Procl. theol. III 20] 43. 44 Parm. Tim. 379 Schn. '*πάντοθεν — ἰσοπαλὲς*'; Simpl. phys. 126, 22; 137, 16; Procl. Parm. 1084, 28 '*σφαίρης — πάντηι* itemque 1129, 31 43 [ex Platone Ps. Arist. de MXG 4. 978[b] 8, Boeth. Consol. III 12, 95 [cf. p. 28] Simpl. phys. 52, 23; 127, 31. Plotin. V 1, 8 (post fr. 5) *καὶ ὄγκωι σφαίρας ἀπεικάζων, ὅτι πάντα ἔχει περιειλημμένα καὶ ὅτι τὸ νοεῖν οὐκ ἔξω, ἀλλ' ἐν ἑαυτῶι*]. Eudem. ap. Simpl. phys. 143, 4 *ὥστε οὐδὲ τῶι οὐρανῶι ἐφαρμόττει τὰ παρ' αὐτοῦ λεγόμενα, ὥς τινας ὑπολαβεῖν ὁ Εὔδημός φησιν* [fr. 13 Sp.] *ἀκούσαντας τοῦ* '*πάντοθεν — ὄγκωι*'· *οὐ γὰρ ἀδιαίρετος ὁ οὐρανός, ἀλλ' οὐδὲ ὅμοιος σφαῖραι, ἀλλὰ σφαιρά ἐστιν ἡ τῶν φυσικῶν ἀκριβεστάτη*
44 Simpl. phys. 107, 26 *Π. δὲ ἀγένητον ἀποφαίνων τὸ ὂν μεσσόθεν — πάντηι*; Arist. phys. Γ 6. 207[a] 15 *βέλτιον οἰητέον Παρμενίδην Μελίσσου εἰρηκέναι· ὁ μὲν γὰρ τὸ ἄπειρον ὅλον φησίν, ὁ δὲ τὸ ὅλον πεπεράνθαι* '*μεσσόθεν ἰσοπαλές*'; idem Eudem. ap. Simpl. phys. 133, 27; Procl. Parm. 708, 19; Simpl. phys. 502, 6 44. 45 Procl. Parm. 665, 28 *οὔτε τι μεῖζον — χρεόν ἐστι* 50—61 Simpl. phys. 38, 28 *συμπληρώσας γὰρ τὸν περὶ τοῦ νοητοῦ λόγον ὁ Π. ἐπάγει ταυτί . . .* '*ἐν τῶι — παρελάσσηι*' 50—59 Simpl. phys. 30, 13 *μετελθὼν δὲ ἀπὸ τῶν νοητῶν ἐπὶ τὰ αἰσθητὰ ὁ Π. ἤτοι ἀπὸ ἀληθείας, ὡς αὐτός φησιν, ἐπὶ δόξαν ἐν οἷς λέγει* '*ἐν τῶι — ἀκούων*' *τῶν γενητῶν ἀρχὰς καὶ αὐτὸς στοιχειώδεις μὲν τὴν πρώτην ἀντίθεσιν ἔθετο, ἣν φῶς καλεῖ καὶ σκότος ⟨ἢ⟩ πῦρ, καὶ γῆν ἢ πυκνὸν καὶ ἀραιὸν ἢ ταὐτὸν καὶ ἕτερον, λέγων ἐφεξῆς τοῖς πρότερον παρακειμένοις ἔπεσιν* '*μορφὰς — ἐμβριθές τε* 50—52 Simpl. cael. 558, 5 *ἐν τῶι — ἀκούων*' 50. 51 Simpl. phys. 41, 6 '*ἐν τῶι — ἀληθείας*' 52 Simpl. phys. 147, 28 *ἀπατηλὸν καλεῖ τῶν ἐπῶν τὸν κόσμον τὸν περὶ τὰς βροτείους δόξας* 53—59 Simpl. phys. 179, 31 *καὶ γὰρ οὗτος ἐν τοῖς πρὸς δόξαν* '*θερμὸν καὶ ψυχρὸν ἀρχὰς ποιεῖ· ταῦτα δὲ προσαγορεύει πῦρ καὶ γῆν*' [Arist. p. 188[a] 20] *καὶ φῶς καὶ νύκτα ἤτοι σκότος· λέγει γὰρ μετὰ τὰ περὶ ἀληθείας* (p. 180) '*μορφὰς — ἐμβριθές τε*'.

μοῦνος δ' ἔτι μῦθος ὁδοῖο
λείπεται ὡς ἔστιν· ταύτῃι δ' ἐπὶ σήματ' ἔασι
πολλὰ μάλ', ὡς ἀγένητον ἐὸν καὶ ἀνώλεθρόν ἐστιν
οὖλον μουνογενές τε καὶ ἀτρεμὲς ἠδ' ἀτέλεστον·
οὐδέ ποτ' ἦν οὐδ' ἔσται, ἐπεὶ νῦν ἔστιν ὁμοῦ πᾶν,
ἕν, συνεχές· τίνα γὰρ γένναν διζήσεαι αὐτοῦ;
πῇ πόθεν αὐξηθέν; οὔτ' ἐκ μὴ ἐόντος ἐάσσω
φάσθαι σ(ε) οὐδὲ νοεῖν· οὐ γὰρ φατὸν οὐδὲ νοητόν
ἔστιν ὅπως οὐκ ἔστι. τί δ' ἄν μιν καὶ χρέος ὦρσεν
ὕστερον ἢ πρόσθεν, τοῦ μηδενὸς ἀρξάμενον, φῦν;
οὕτως ἢ πάμπαν πελέναι χρεών ἐστιν ἢ οὐχί.
οὐδέ ποτ' ἐκ μὴ ὄντος ἐφήσει πίστιος ἰσχύς
γίγνεσθαί τι παρ' αὐτό· τοῦ εἵνεκεν οὔτε γενέσθαι
οὔτ' ὄλλυσθαι ἀνῆκε δίκη χαλάσασα πέδῃσιν,
ἀλλ' ἔχει· ἡ δὲ κρίσις περὶ τούτων ἐν τῶιδ' ἐστιν·

1 Continuandum fr. 7, 2 cf. Simpl. phys. 78, 2. 144, 29. deest velut *οὐδὲ γάρ ἐστι φατόν* μοῦνος Simpl. 145 (DE): *μόνος* 142; 145 (F) 2 ἔστι Simpl. 4 οὖλον Simpl. (phys. cael.), Clem., Philop.: *μοῦνον* Pseudopl.: ἔστι γὰρ Plut. (Colot.) μουνογενές Simpl. phys., Pseudopl., Clem., Philop.: *μονογενὲς* Simpl. cael.: *οὐλομελές* Plut., Procl., (interpolatio posterioris originis cf. Simpl. phys. 137, 15) τε om. Philop. ἀτέλεστον Simpl. phys. 29. 78. 145: *ἀγένητον* (ex v. 3) Simpl. phys. 120. cael., Plut., Pseudoplut., Clem., Procl., Philoponus; *ἠό' ἀτέλεστον* clausula Homerica Δ 26, de vi vocis (*fine temporis carens* i. e. *aeternus*) v. π 111, cf. ἄπανστον v. 27 5 *οὐ γὰρ ἦν οὐδ' ἔσται ὁμοῦ πᾶν, ἔστι δὲ μοῦνον* Ammon. et varians *οὐκ ἦν οὐκ ἔσται* Philop., ex Neoplatonici alicuius auctoris fallaci memoria πᾶν om. Procl. 6 ξυνεχὲς Karsten cf. v. 25. 23 *διζήσεαι* Simpl. cael.: *διζήσεο* phys. (E): *διζήσεται* phys. (F) 7 post αὐξηθέν; prius dilemmatis membrum velut *οὔτ' ἔκ τεν ἐόντος ἔγεντ' ἄν· ἄλλο γὰρ ἂν πρὶν ἦην* omissum statui *Parm.* 77; cf. Simpl. phys. 78, 25 (test. ad v. 3—14) *οὔτε γὰρ ἐξ ὄντος· οὐ γὰρ προϋπῆρχεν ἄλλο ὄν.* contra *οὔτ'* explicabat *οὔτοι* Wilamowitz; at pronomina tantum isto modo eliduntur cf. α 60 *ἐόντος* Simpl. cael., phys. 78(E): *ὄντος* Simpl. phys. 78(DF); 145 *ἐάσσω* Simpl. cael.(D); phys. 145(F): *ἐάσω* Sympl. phys. 78. 145: *ἐασέω* cael.(AB) 8 σε Simpl. phys. 78. 162; cael.(DE): *σ'* phys. 145: ἀ cael.(AB) *οὐ*] *οὐ δὲ* Simpl. cael.(AB) 10 φῦν Simpl. phys. 78. 162(DEF). 145(DE): *φυὴν* 78: *φυ^. . .* 145(F): *φῖναι* 78(D) *χρεών* cf. 4, 5 *οὐκέτι* Karsten 12 *ἐκ μὴ ὄντος* Simpl. phys. 78(DE); 145(DE): *ἔκ γε μὴ ὄντος* 78(F); 145(F): scribe *ἐκ μὴ ἐόντος* ut v. 7. noli Simpl. 78 (vid. p. 63 ad 3—14) abuti, ut *ἔκ πῃ ἐόντος* conicias 13 *γίγνεσθαι* Simpl. 145(E): *γίνεσθαι* 78. 145(DF) 14 ὄλλυσθαι *paulatim interire* *πέδησιν* Simpl. 78. 145: *πέδησι* (i. e. *πέδησι*) 78(D). intellego nunc *χαλάσασα* quasi *οὐ κατέχουσα.* nam praeludit animo *ἔχει* v. 15; similiter Homerus Z 226 *ἔγχεσι δ' ἀλλήλους ἀλεώμεθα* i. e. *μὴ βάλλωμεν* (Zenodoti lectio, quae cum non intellegeretur, interpolata est). *πέδησιν* verbo novicio Bergk 15 post *ἔχει* lacunam statuebat Stein, qua intereundi lemma haustum esset *ἡ δὲ κρίσις — ἔστιν* est *στίχος λογοειδὴς* nec ta-

ἔστιν ἢ οὐκ ἔστιν· κέκριται δ' οὖν, ὥσπερ ἀνάγκη,
τὴν μὲν ἐᾶν ἀνόητον ἀνώνυμον (οὐ γὰρ ἀληθής
ἔστιν ὁδός), τὴν δ' ὥστε πέλειν καὶ ἐτήτυμον εἶναι.
πῶς δ' ἂν ἔπειτα πέλοι τὸ ἐόν; πῶς δ' ἄν κε γένοιτο;
εἰ γὰρ ἔγεντ', οὐκ ἔστ(ι), οὐδ' εἴ ποτε μέλλει ἔσεσθαι.
τὼς γένεσις μὲν ἀπέσβεσται καὶ ἄπυστος ὄλεθρος.
οὐδὲ διαιρετόν ἐστιν, ἐπεὶ πᾶν ἔστιν ὁμοῖον·
οὐδέ τι τῇ μᾶλλον, τό κεν εἴργοι μιν συνέχεσθαι,
οὐδέ τι χειρότερον, πᾶν δ' ἔμπλεόν ἐστιν ἐόντος.
τῶι ξυνεχὲς πᾶν ἐστιν· ἐὸν γὰρ ἐόντι πελάζει.
αὐτὰρ ἀκίνητον μεγάλων ἐν πείρασι δεσμῶν
ἔστιν ἄναρχον ἄπαυστον, ἐπεὶ γένεσις καὶ ὄλεθρος
τῆλε μάλ' ἐπλάχθησαν, ἀπῶσε δὲ πίστις ἀληθής.
ταὐτόν τ' ἐν ταὐτῶι τε μένον καθ' ἑαυτό τε κεῖται
χοὕτως ἔμπεδον αὖθι μένει· κρατερὴ γὰρ Ἀνάγκη
πείρατος ἐν δεσμοῖσιν ἔχει, τό μιν ἀμφὶς ἐέργει.
οὕνεκεν οὐκ ἀτελεύτητον τὸ ἐὸν θέμις εἶναι·
ἔστι γὰρ οὐκ ἐπιδευές, [μὴ] ἐὸν δ' ἂν παντὸς ἐδεῖτο.
ταὐτὸν δ' ἐστὶ νοεῖν τε καὶ οὕνεκέν ἐστι νόημα.

men quasi pedestris nota Simplicii delendus cf. *Parm.* 78 sq., 153 ἔστι Simpl. (D): ἔνεστιν (EF) 17 ἀνόητον Simpl. (F): ἀνόνητον (DE) 19 αὖ κε Stein 20 ἔγεντ' Bergk: ἔγετ' Simpl. (D): ἐγένετ' (EF) 21 τὼς Simpl. phys. (EF): πῶς phys. (D): τὸ (?) cael. (cf. testim.) ἄπυστος Simpl. phys. (F); cael. (A): ἄπτυστος phys. (DE): ἄπαυστος cael. (DE) 22 sqq. cf. Plato Parm. 150 E. Emped. 17, 32 sqq. Zeno ap. Simpl. phys. 141, 1 23 μᾶλλον, sc. ἐόν, quod velut tuber globi circuitum perrumpat 24 δ' ἔμπλεον Simpl. (DE): δὲ πλέον Simpl. (F): δ' ἓν πλέον Damasc. (cf. test.) 25 τῶι Simpl. 86 (F), 87 (F), 145: τὸ 86 (DE), 87 (DE) 26 ἀκινήτων Simpl. D; ἀκίνητον (= ἀτρεμές v. 4) i. q. ἀγένητον καὶ ἄφθαρτον 28 τῆλε Scaliger: τῆδε Simpl. ἐπλάχθησαν Simpl. phys. 145: ἐπλάγχθησαν 39. 79 29 ταυτόν τ' Simpl. phys. 30 (E[a]); 145: ταὐτὸν δ' Procl.: ταὐτὸν ὄν Simpl. 143: ταὐτόν τε ὄν Simpl. 30 (DF): ταυτόν τε ὂν καὶ Simpl. 30 (E); fortasse ταὔτ' ἐὸν τε μένον Simpl. 30 (E[a]F); 145; 143 (cf. 77, 30): μένον καὶ Simpl. 30 (DE): μῖμνον Procl. 639: μίμνει 1152. 1177 cf. Xenophanes 26, 1 τε (ante κεῖται) om. Simpl. 30 30 χοὕτως Simpl. 145 (DF): οὕτως Simpl. 30; Procl.: οὐχ οὕτως Simpl. (E) Ἀνάγκη cf. Plat. Symp. 195 C 31 τό Simpl. 145: τέ Simpl. 30; Procl. 32 ἀτελεύτητον Simpl.: ἀτέλευτον Procl.; ἀτελεύτητον i. q. ἄπειρον cf. Simpl. phys. 30, 11 τὸ ἐὸν Simpl. 40 (F): τεον Simpl. 30; 145; 40 (DE): τοῖον εἰ Procl. εἶναι Simpl.: εἰπεῖν Procl. 33 ἐπιδευές Simpl. 30 (E[a]F); 40 (E[a]); 145: ἐπιδεὲς 40 (DEF), 30 (DE) μὴ ἐὸν Simpl. 30, 40: μὴ ὄν 145: μὴ delevit Bergk etsi lectum a Simpl. 40, 7 ἐὸν scil. ἀτελεύτητον δ' ἄν Simpl. 145: δὲ ἄν 30 (DEE[a]). 40: γὰρ ἄν 30 (F) 34 explicat Simpl. 87, 14 ἕνεκα γὰρ . . . τοῦ ὄντος ἐστὶ τὸ νοεῖν τέλος ὂν αὐτοῦ

οὐ γὰρ ἄνευ τοῦ ἐόντος, ἐν ᾧι πεφατισμένον ἐστίν,
εὑρήσεις τὸ νοεῖν· οὐδὲν γὰρ ⟨ἢ⟩ ἔστιν ἢ ἔσται
ἄλλο πάρεξ τοῦ ἐόντος, ἐπεὶ τό γε Μοῖρ' ἐπέδησεν
οὖλον ἀκίνητόν τ' ἔμεναι· τῶι πάντ' ὄνομ(α) ἔσται
ὅσσα· βροτοὶ κατέθεντο πεποιθότες εἶναι ἀληθῆ,
γίγνεσθαί τε καὶ ὄλλυσθαι, εἶναί τε καὶ οὐχί,
καὶ τόπον ἀλλάσσειν διά τε χρόα φανὸν ἀμείβειν.
αὐτὰρ ἐπεὶ πεῖρας πύματον, τετελεσμένον ἐστί
πάντοθεν, εὐκύκλου σφαίρης ἐναλίγκιον ὄγκωι,
μεσσόθεν ἰσοπαλὲς πάντηι· τὸ γὰρ οὔτε τι μεῖζον
οὔτε τι βαιότερον πελέναι χρεόν ἐστι τῆι ἢ τῆι.
οὔτε γὰρ οὔ τεον ἔστι, τό κεν παύοι μιν ἱκνεῖσθαι
εἰς ὁμόν, οὔτ' ἐὸν ἔστιν ὅπως εἴη κεν ἐόντος
τῆι μᾶλλον τῆι δ' ἧσσον, ἐπεὶ πᾶν ἐστιν ἄσυλον·
οἵ γὰρ πάντοθεν ἶσον, ὁμῶς ἐν πείρασι κύρει.
ἐν τῶι σοι παύω πιστὸν λόγον ἠδὲ νόημα
ἀμφὶς ἀληθείης· δόξας δ' ἀπὸ τοῦδε βροτείας
μάνθανε κόσμον ἐμῶν ἐπέων ἀπατηλὸν ἀκούων.
μορφὰς γὰρ κατέθεντο δύο γνώμας ὀνομάζειν,
τῶν μίαν οὐ χρεών ἐστιν (ἐν ᾧι πεπλανημένοι εἰσίν).
ἀντία δ' ἐκρίναντο δέμας καὶ σήματ' ἔθεντο

36 *οὐδὲν γὰρ* Simpl. 86: *οὐδ' εἰ χρόνος* 146: *ἢ* add. Preller, unde *οὐδ' ἦν γὰρ ἢ ἔστιν* coniecit Bergk 38 *οὖλον ἀκίνητον τελέθει τῶι παντὶ ὄνομ' εἶναι* licenter Plato *ἔμμεναι* Simpl. 86. 145 *ὄνομα ἔσται* Simpl. 86(F): *οὔνομα ἔσται* 86(D): *ὀνόμασται* 86(E): *ὠνόμασται* 145; verte: *verba inania erunt* 41 cf. Hom. T 858 Emp. 21, 14 42 cf. 30 sqq. 45 *πελέμεν* ut vid. Ps. Arist. *χρεόν* Plato, Procl. Simpl. 145(E): *χρεών* Ps. Arist. Simpl. 145(DF) *οὔ τεον* (= *οὔ τι* cf. *Parm.* 90) scripsi: *οὔτε ἐόν* Simpl.(D): *οὔτε ὄν* Simpl.(EF): *οὐκ ἐὸν* Aldus 46 *ἱκνεῖσθαι* Simpl.(DE): *κινεῖσθαι* (F); cf. Xenoph. 28, 2 47 *κεν* Karsten: *καὶ ἓν* Simpl. 49 *οἱ* scripsi: *οἱ* Simpl.; intellego: *centrum, quo undique tantundem spatii, petit* (*ἐγκύρει*) *aequabiliter fines* i. e. in globo via a superficie ad centrum et invicem eadem cf. Aët. Plac. II 10, 1 (339, 11) *μηδὲν γὰρ εἶναι τῶν οὕτως διαστημάτων λεγομένων* (velut *ἄνω, κάτω*) *περὶ τὸν κόσμον διὰ τὸ περὶ τὸ ἑαυτοῦ μέσον αὐτὸν συνιστάναι, ἀφ' οὗ πρὸς ἅπαν ἐστὶ καὶ πρὸς ὃ πανταχόθεν ταὐτό* *ἰσονάμως* F *κύρει* Stein: *κυρεῖ* Simpl.(EF): *κυροῖ* (D); cf. Timon fr. 38, 5 W. 50 *παύω* Simpl. phys. 30; 41(F); 145: *παύσω* cael., phys. 30, 41(DEE^a) 51 *βροτείας* Simpl. phys. 145: *βροτείους* 30 (cf. 147, 28) 53 *γνώμας* Simpl. 38; 180(F): *γνώμαις* 30; 180(DE); *γνώμας κατέθεντο* (i. q. *ἔγνωσαν*) *δύο μορφὰς ὀνομάζειν* 54 *χρεών* cf. 4, 5; verte: *quarum formarum unam nominari* (quod iubet Parm. 8, 17, non plures) *vetant*; *ἐστιν* i. q. *εἴη* *πεπλανημένοι* doxastici, unum Parmenideum negantes 55 *δ' ἐκρίναντο* (vel *δὲ κρίναντο*) Simpl. 30, 179, 139(F): *δ' ἐκρίνοντο* 139(DE): *δὲ κριτον·το* sic 39(E^a)

χωρὶς ἀπ' ἀλλήλων, τῇι μὲν φλογὸς αἰθέριον πῦρ,
ἤπιον ὄν, μέγ' [ἀραιὸν] ἐλαφρόν, ἑωυτῶι πάντοσε τωὐτόν,
τῶι δ' ἑτέρωι μὴ τωὐτόν· ἀτὰρ κἀκεῖνο κατ' αὐτό
τἀντία νύκτ' ἀδαῆ, πυκινὸν δέμας ἐμβριθές τε.
τόν σοι ἐγὼ διάκοσμον ἐοικότα πάντα φατίζω,
ὡς οὐ μή ποτέ τίς σε βροτῶν γνώμη παρελάσσηι.

Simpl. phys. 31, 3 *καὶ δὴ καὶ καταλογάδην μεταξὺ τῶν ἐπῶν ἐμφέρεταί τι ῥησείδιον ὡς αὐτοῦ Παρμενίδου ἔχον οὕτως* [est antiquum ad 56—59 scholion]· *ἐπὶ τῶιδέ ἐστι τὸ ἀραιὸν καὶ τὸ θερμὸν καὶ τὸ φάος καὶ τὸ μαλθακὸν καὶ τὸ κοῦφον, ἐπὶ δὲ τῶι πυκνῶι ὠνόμασται τὸ ψυχρὸν καὶ τὸ ζόφος καὶ σκληρὸν καὶ βαρύ· ταῦτα γὰρ ἀπεκρίθη ἑκατέρως ἑκάτερα* [vocabula partim ex Parmenideis composita partim vulgaria, de extremis cf. *Parm.* p. 99].

---

57 *ἤπιον* cf. Emp. 17, 18 (v. l.) *αἰθέρος ἤπιον ὕψος* *ὄν* Simpl. 30 et 38(F): *τὸ* 30(DE): om. 38(DEE^a). 180; *ὄν* etsi nullo loco Parmenidis certum est nec *ἐὸν* monosyllabum invenitur, tamen ideo addubitari non potest; nec praefero *ἠπιόνουν* (*Parm.* p. 153) *μέγ' ἀραιὸν ἐλαφρόν* Simpl. 30. 38.(F): *ἀραιὸν ἐλαφρὸν* 38 (DEE^a); 180(E): *ἄρ ἐλαφρὸν* 180 (DF): delevi glossema *ἀραιὸν* in archetypo compendiose scriptum ut ex scholio (cf. supra) arreptum; *μέγ' ἐλαφρὸν* est *ἐλαφρότατον* quod Platonis Tim. p. 56 A de igne praedicat 58 *κατ' αὐτό* Simpl. 30 (F); 38(E^{a}F); 180(F): *κατὰ ταὐτὸ* 30(DE): 38(DE). 180(DE) 59 *τἀντία* Simpl. 30 (F). 38(E^{a}F); 180(E): *τἀναντία* 30(DE); 180(DF); *κατ' αὐτὸ τἀντία* i. q. *κατ' αὐτὸ τοὐναντίον*. *αὐτὸ* adverbialiter ut in *αὐτὸ δέκα* Thuc. 5, 20 *αὐτὸ ἄνθρωπος* sim. Aristotelis, quae falso coniunctim scribunt 60 *τόν*] *τῶν* Karsten *φατίζω* Meineke; at iam coepit dea 61 *γνώμη* pulcrius quam Steinii *γνώμηι*

9 [121—124 K., 125—128 St.]

Simpl. phys. 180, 8 (post 8, 59) *καὶ μετ' ὀλίγα πάλιν* '*αὐτὰρ — μηδέν*'. *εἰ δὲ* '*μηδετέρωι μέτα μηδέν*' *καὶ ὅτι ἀρχαὶ ἄμφω καὶ ὅτι ἐναντίαι ὑηλοῦται.*

αὐτὰρ ἐπειδὴ πάντα φάος καὶ νὺξ ὀνόμασται
καὶ τὰ κατὰ σφετέρας δυνάμεις ἐπὶ τοῖσί τε καὶ τοῖς,
πᾶν πλέον ἐστὶν ὁμοῦ φάεος καὶ νυκτὸς ἀφάντου
ἴσων ἀμφοτέρων, ἐπεὶ οὐδετέρῳ μέτα μηδέν.

1 *ὀνόμασται* F: *ὠνόμασται* DE; formam haud indubiam confirmare videtur scholion ad 8, 56 2 *τὰ* om. F intellege: *καὶ ταῦτα τὰ ὀνόματα κατὰ τὰς δυνάμεις αὐτῶν ἐφ' ἑκατέροις ὠνόμασται* cf. Emped. 8, 4. *δυνάμεις* velut *θερμόν — ψυχρόν, σκληρόν — μαλθακόν* 4 Simpl. intellexisse videtur *ἐπεὶ οὐδετέρωι* (*φάει καὶ νυκτί*) *οὐδετέρου μέτεστι τὸ μηδέν* cf. Plat. Tim. 77 B *μετέχει γε μὴν τοῦτο τοῦ τρίτου ψυχῆς εἴδους . . . ὧι δόξης μὲν λογισμοῦ τε καὶ νοῦ μέτεστι τὸ μηδέν, αἰσθήσεως δέ κτλ.*; supplendum *οὐδετέρου* ut saepe fit in *πότερος*. sensus igitur sit: utrumque principium alteri par dignitate, cum nulla notionis communio alterutri sit; contra ceterae qualitates (*θερμόν — ψυχρόν κτλ*) alterutri principio subiunctae sunt. *φάος* et *νύξ* sunt *ἀντίστοιχα*, *φάος* et *θερμόν σύστοιχα*. Karsten vertit '*neutri inane inest*'. at hoc et arbi-

trarium et doctrinae contrarium, si quidem ex 8, 57 fit veri simile lucem *τῶι ἐόντι*, contrarium *τῶι μὴ ἐόντι* adsimilari.

10 [132—138 K., p. 797 St.]

1—7 Clem. Strom. V 139 p. 732 P. *ἀφικόμενος οὖν ἐπὶ τὴν ἀληθῆ μάθησιν ὁ βουλόμενους ἀκουέτω μὲν Παρμενίδου τοῦ Ἐλεάτου ὑπισχνουμένου ‘εἶσηι — ἄστρων* cf. Plut. adv. Col. 1114 B de Parmenide: *ὅς γε καὶ διάκοσμον πεποίηται καὶ στοιχεῖα μιγνὺς τὸ λαμπρὸν καὶ σκοτεινὸν ἐκ τούτων τὰ φαινόμενα πάντα καὶ διὰ τούτων ἀποτελεῖ· καὶ γὰρ περὶ γῆς εἴρηκε πολλὰ καὶ περὶ οὐρανοῦ καὶ ἡλίου καὶ σελήνης καὶ ἄστρων καὶ γένεσιν ἀνθρώπων ἀφήγηται· καὶ οὐδὲν ἄρρητον, ὡς ἀνὴρ ἀρχαῖος ἐν φυσιολογίαι καὶ συνθεὶς γραφὴν ἰδίαν, . . . τῶν κυρίων παρῆκεν.*

εἶσηι δ’ αἰθερίαν τε φύσιν τά τ’ ἐν αἰθέρι πάντα
σήματα καὶ καθαρᾶς εὐαγέος ἠελίοιο
λαμπάδος ἔργ’ ἀίδηλα καὶ ὁππόθεν ἐξεγένοντο,
ἔργα τε κύκλωπος πεύσηι περίφοιτα σελήνης
καὶ φύσιν, εἰδήσεις δὲ καὶ οὐρανὸν ἀμφὶς ἔχοντα
ἔνθεν [μὲν γὰρ] ἔφυ τε καὶ ὥς μιν ἄγουσ(α) ἐπέδησεν Ἀνάγκη
πείρατ’ ἔχειν ἄστρων.

est prooemium universae phaenomenon explicationis cf. Emped. 38 1 *αἰθέρι* in siderum regione cf. Aët. II 15, 7 (345b 14) 2 *σήματα* inprimis zodiaci 3 *ἔργ’ ἀίδηλα* ex Homeri ante Aristarchum E 757. 872 cf. Hesiod. fr. 148 R. *ὁππόθεν* Clem.: corr. Sylburg 4 *κύκλωπος* imitatur Emp. 84, 8 *οὐρανὸν ἀμφὶς ἔχοντα* i. e. caelum planetarum (et lactei orbis fr. 11) quod et olympum (fr. 11) et tellurem distinet cf. 1, 12 6 *μὲν γὰρ* del. Sylburg *ἔφυγε καὶ* codex

11 [139—142 K., 129—132 St.]

Simpl. cael. 559, 20 *Π. δὲ περὶ τῶν αἰσθητῶν ἄρξασθαί φησι λέγειν·*

πῶς γαῖα καὶ ἥλιος ἠδὲ σελήνη
αἰθήρ τε ξυνὸς γάλα τ’ οὐράνιον καὶ ὄλυμπος
ἔσχατος ἠδ’ ἄστρων θερμὸν μένος ὡρμήθησαν
γίγνεσθαι.

καὶ τῶν γινομένων καὶ φθειρομένων μέχρι τῶν μορίων τῶν ξώιων τὴν γένεσιν παραδίδωσι.

1 orditur cosmologiam; initio *ἀρξάμενος* e Simpl. suppleas 2 *ξυνός*] omnia sidera commune habent principium ignis *οὐράνιον* cf. fr. 10, 5 *ὄλυμπος* extrema caeli sphaera universum includens 3 *μένος* ex Hom. *Z* 182 al., inde Emp. 111, 3. 115, 9 4 *γίνεσθαι* AF

12 [125—130 K., 133—138 St.]

1—3 Simpl. phys. 39, 12 (post fr. 8, 61) *μετ’ ὀλίγα δὲ πάλιν περὶ τῶν δυεῖν στοιχείων εἰπὼν ἐπάγει καὶ τὸ ποιητικὸν λέγων οὕτως ‘αἱ γὰρ — κυβερνᾶι’* 2—6 Idem ib. 31, 10 *καὶ ποιητικὸν δὲ αἴτιον οὐ σωμάτων μόνον τῶν ἐν τῆι γενέσει ἀλλὰ καὶ ἀσωμάτων τῶν τὴν γένεσιν συμπληρούντων σαφῶς*

παραδέδωκεν ὁ Π. λέγων· 'αἱ δ' ἐπὶ — θηλυτέρωι' 4 IDEM ib. 34, 14 *καὶ ποιητικὸν αἴτιον ἐκεῖνος μὲν ἓν κοινὸν τὴν ἐν μέσωι πάντων ἱδρυμένην καὶ πάσης γενέσεως αἰτίαν δαίμονα τίθησιν.* cf. Theophr. A n. 37.

αἱ γὰρ στεινότεραι πλῆντο πυρὸς ἀκρήτοιο,
αἱ δ' ἐπὶ ταῖς νυκτός, μετὰ δὲ φλογὸς ἵεται αἶσα·
ἐν δὲ μέσῳ τούτων δαίμων ἣ πάντα κυβερνᾶι·
πάντα γὰρ ⟨ἣ⟩ στυγεροῖο τόκου καὶ μίξιος ἄρχει
πέμπουσ' ἄρσενι θῆλυ μιγῆν τό τ' ἐναντίον αὖτις
ἄρσεν θηλυτέρωι.

fragmentum nondum prorsus explicatum 1 *στεινότεραι* utrum minoris orbitae an latitudinis? *πλῆντο* Bergk: *παηντο* Simpl. (E^aD): *πύηντο* (E): om. (F) cf. Hom. P 499 *πλῆτο φρένας ἀμφεμελαίνας.* mirum ni *πλῆνται* v. 1, 13: intellego igneas duas coronas quae et infra olympum et infra tellurem (?) ardent; ceterae coronae quae interiacent siderum non puri, sed mixti sunt ignis *ἀκρήτοις* E^aD: *ἀκρίτοις* EF *μετὰ*] in mediis coronis, unde ipsum sidus lumen fundit 3 *μέσωι* aut coronarum omnium (Theophr. ap. Aet. l. c.) ubi sol locari videtur aut universi (Simpl. 34 l. c.) 4 *πάντηι* vel *παντὸς* vel *πᾶσιν* corrigebant; ego ἣ addere malui *ἀρχὴ* F 5 *μιγῆν* Stein: *μιγὲν* Simpl. *αὖτις* F: *αὖθις* DE

13 [131 K., 139 St.]

ARISTOT. Metaph. A 4 p. 984^b 23 *ὑποπτεύσειε ὁ ἄν τις Ἡσίοδον πρῶτον ζητῆσαι τὸ τοιοῦτον, κἂν εἴ τις ἄλλος ἔρωτα ἢ ἐπιθυμίαν ἐν τοῖς οὖσιν ἔθηκεν ὡς ἀρχὴν οἷον καὶ Παρμενίδης· οὗτος γὰρ κατασκευάζων τὴν τοῦ παντὸς γένεσιν 'πρώτιστον μέν, φησίν, Ἔρωτα — πάντων'* [hinc Sext. IX 9 et scholion Platon. Symp. 178 B antiquitus in textum receptum *Ἡσιόδος — πάντων'* et ex Platone interpolato Stob. Ecl. I 9, 6. 113, 3] PLUT. Amat. 13 p. 756 F *διὸ Π. μὲν ἀποφαίνει τὸν Ἔρωτα τῶν Ἀφροδίτης ἔργων πρεσβύτατον ἐν τῆι κοσμογονίαι γράφων 'πρώτιστον — πάντων'.* SIMPL. phys. 39, 18 (post fr. 12, 3) *ταύτην καὶ θεῶν αἰτίαν εἶναί φησι λέγων 'πρώτιστον — πάντων' κτέ. καὶ τὰς ψυχὰς πέμπειν ποτὲ μὲν ἐκ τοῦ ἐμφανοῦς εἰς τὸ ἀειδές, ποτὲ δὲ ἀνάπαλιν φησιν.*

πρώτιστον μὲν Ἔρωτα θεῶν μητίσατο πάντων.

πρώτιστον Plut.; Sext.; Simpl.; Plat.: *πρώτιστα* Stob.: *πρῶτον* Arist. (libri boni)

14 [143 K., 140 St.]

PLUT. Colot. 15 p. 1116 A *οὐδὲ γὰρ ὁ πῦρ μὴ λέγων εἶναι τὸν πεπυρωμένον σίδηρον ἢ τὴν σελήνην ἥλιον, ἀλλὰ κατὰ Παρμενίδην*

νυκτιφαὲς περὶ γαῖαν ἀλώμενον ἀλλότριον φῶς

ἀναιρεῖ σιδήρου χρῆσιν ἢ σελήνης φύσιν.

νυκτὶ φάος Plut.: corr. Scaliger *ἀλλότριον φῶς* ludibunde ex Hom. E 214 *κάρη τάμοι ἀλλότριος φώς;* sequitur Emp. 45. *ἀλλότριον* explicat Theophr. (Aet. II 30, 4) *ψευδοφαές*; cf. Plut. ad fr. 15 et 21.

15 [144 K., 141 St.]

PLUT. de fac. lun. 16, 6 p. 929 A *τῶν ἐν οὐρανῷ τοσούτων το πλῆθος ὄντων μόνη φωτὸς ἀλλοτρίου δεομένη περίεισι* [luna] *κατὰ Π. 'αἰεὶ — ἠελίοιο'*; idem Aet. Rom. 76 p. 282 B

αἰεὶ παπταίνουσα πρὸς αὐγὰς ἠελίοιο

exprimit *μ* 233 ipse expressus ab Emp. 44

16 [145—148 K., 149—152 St.]

1—4 ARIST. Metaph. Γ 5. 1009ᵇ 21 *Π. δὲ ἀποφαίνεται τὸν αὐτὸν τρόπον 'ὡς — νόημα'* [hinc Alex. ad h. l. p. 306, 28 Hayd. *'ὡς — παρίσταται'. καὶ γὰρ οὗτος διὰ τούτων λέγει ὅτι ὡς ἂν ἔχῃ κράσεως τὸ σῶμα καὶ ἕξεως ἑκάστωι, οὕτω καὶ τὸ φρονεῖν ἀκολουθεῖ ὡς ἀκολουθούσης τῆς φρονήσεως τῆι τοῦ σώματος κράσει τε καὶ ἀλλοιώσει ἥτις ὑπὸ τῶν αἰσθητῶν γίνεται. ὠὶ ταὐτό φησιν εἶναι τὸ εἰρημένον καὶ αὐτὸ ὑπὸ Παρμενίδου· τῶι γὰρ προειρημένωι τῶι 'ὡς — πολυκάμπτων' ὁ αὐτος εἶπε τὸ αὐτὸ εἶναι καὶ ὃ πάλιν λέγει διὰ τοῦ 'ὅπερ — πλέον λέγεται νόημα'. ὡς γὰρ τοῦ φρονεῖν ἡρτημένου τῆς σωματικῆς κράσεως καὶ ἀεὶ κατὰ τὸ πλεονάζον καὶ ἐπικρατοῦν ἐν τῆι σωματικῆι διαθέσει αὐτοῦ γενομένου*; 1. 2. 4 Asclep. ad eund. l. 277, 19 Hayd. *ὡς — πολυκάμπτων οὕτως καὶ ὁ νοῦς τῶν ἀνθρώπων παρίσταται' ... τὸ γὰρ πλέον νόημα προσγίνεται ἐκ τῆς πλείονος αἰσθήσεως καὶ ἀκριβεστέρας*]; THEOPHR. de sens. 3 (cf. A 46) *'ὡς γὰρ ἑκάστοτε, φησίν, ἔχει — νόημα'*.

ὡς γὰρ ἑκάστοτ' ἔχει κρᾶσιν μελέων πολυπλάγκτων,
τὼς νόος ἀνθρώποισι παριστᾶται· τὸ γὰρ αὐτό
ἔστιν ὅπερ φρονέει μελέων φύσις ἀνθρώποισιν
καὶ πᾶσιν καὶ παντί· τὸ γὰρ πλέον ἐστὶ νόημα.

1 *ἑκάστοτ'* Arist. (SBC); Theophr.: *ἑκάστω* Arist. (A): *ἕκαστος* Arist. (E; Alex): *ἕκαστον* Asclep. *ἔχει* vel *ἔχῃ* Arist.: *ἔχειν* Theophr. *κρᾶσιν* om. Ascl.: desideratur *κρῆσιν* *πολυπλάγκτων* Theophr.: *πολυκάμπτων* Aristot.; *intelleguntur sensus passim vagantes* 2 *τὼς* Arist.; Theophr.: *ὥς* Arist. (E; Alex.) *παρίσταται* (quod ipse legerit *παριστᾶται*) Arist.: *παρέστηκε* Theophr.; praesens et sensu et Emp. 108, 2 postulatur, forma Parmenidea fortasse fuit *παρίστηται* 3 *ἀνθρώποισιν* om. Alex. 4 *πλέον*] *ubi plus calidi, ibi plus sensi*

17 [149 K., 142 St.]

GALEN. in Epid. VI 48 (XVII A 1002 K.) *τὸ μέντοι ἄρρεν ἐν τῶι δεξιῶι μέρει τῆς μήτρας κυίσκεσθαι καὶ ἄλλοι τῶν παλαιοτάτων ἀνδρῶν εἰρήκασιν· ὁ μὲν γὰρ Π. οὕτως ἔφη 'δεξιτεροῖσι — κούρας'* [hinc Pallad. in eund. l. (Schol. Hippocr. ed. Diez. II 71) *et hoc idem Parmenides affirmavit inquiens 'in dextris quidem pueros, in sinistris vero puellas'*].

δεξιτεροῖσιν μὲν κούρους, λαιοῖσι δὲ κούρας

δεξιτεροῖσι et *δ' αὖ* Gal.: corr. Karsten, at elumbis versus

18 [150—155 K., 143—148 St.]

1—6 CAEL. AURELIANUS Morb. chron. IV 9 p. 545 Amman. (Amst. 1709): *Parmenides libris quos de natura scripsit, eventu, inquit conceptionis molles*

aliquando seu subactos homines generari. cuius quia graecum est epigramma, et hoc versibus intimabo. latinos enim ut potui simili modo composui, ne linguarum ratio misceretur. 'femina — sexum.' vult enim seminum praeter materias esse virtutes quae si se ita miscuerint, et [l. *ut*] *eiusdem corporis faciant unam, congruam sexui generent voluntatem. si autem permixto semine corporeo virtutes separatae permanserint utriusque veneris natos adpetentia sequatur* [ex Sorani cognomine opere].

femina virque simul Veneris cum germina miscent,
venis informans diverso ex sanguine virtus
temperiem servans bene condita corpora fingit.
nam si virtutes permixto semine pugnent
nec faciant unam permixto in corpore, dirae
nascentem gemino vexabunt semine sexum.

graeca temtavi *Parm.* 44 2 *venis*] *ἐκ τῶν σπερματικῶν φλεβῶν* *informans*] fort. *conformans* *virtus*] *δύναμις* 4 *nam* liber: *at* corr. vulgo 6 *gemino semine* Caelius explicat *utriusque veneris adpetentes* ut Suidas s. v. *ἀνδρόγυνος ὡς καὶ τὰ ἀνδρῶν ποιῶν καὶ γυναικῶν πάσχων.* aliter Plato Symp. 191 D et multi alii. mihi simpliciter *ἀνδρόγυνον ἐξ ἀμφοτέρων κοινὸν τοῦ τε ἄρρενος καὶ θήλεος* (Plato l. c. 189 E) nulla libidinis notione adiecta Parmenides intellexisse videtur cf. Lact. supra A 54

19 [157—159 K., 153—155 St.]

1—3 Simpl. cael. 558, 8 *παραδοὺς δὲ τὴν τῶν αἰσθητῶν διακόσμησιν ἐπήγαγε πάλιν·*

οὕτω τοι κατὰ δόξαν ἔφυ τάδε καί νυν ἔασι
καὶ μετέπειτ' ἀπὸ τοῦδε τελευτήσουσι τραφέντα·
τοῖς δ' ὄνομ' ἄνθρωποι κατέθεντ' ἐπίσημον ἑκάστωι.

DUBIUM

20

Hippol. Ref. V 8 p. 115, 76 *μικρὰ δέ, φησίν* [auctor gnosticus] *ἐστὶ τὰ μυστήρια τὰ τῆς Περσεφόνης κάτω, περὶ ὧν μυστηρίων καὶ τῆς ὁδοῦ τῆς ἀγούσης ἐκεῖ οὔσης πλατείας καὶ εὐρυχώρου καὶ φερούσης τοὺς ἀπολλυμένους ἐπὶ τὴν Περσεφόνην . . . . . καὶ ὁ ποιητὴς δέ φησιν.*

αὐτὰρ ὑπ' αὐτήν ἐστιν ἀταρπιτὸς ὀχρυόεσσα,
κοίλη, πηλώδης· ἡ δ' ἡγήσασθαι ἀρίστη
ἄλσος ἐς ἱμερόεν πολυτιμήτου Ἀφροδίτης.

tribuit Parmenidi Meineke perdubia coniectura, alii Pampho.

FALSA

21

Aët. II 30, 4 (Dox. 361b 24) *περὶ ἐμφάσεως σελήνης διὰ τί γεώδης φαίνεται . . . Π. διὰ τὸ παραμεμῖχθαι τῶι περὶ αὐτὴν πυρώδει τὸ ζοφῶδες· ὅθεν ψευδοφανῆ τὸν ἀστέρα καλεῖ.* vox est Theophrastea cf. ad fr. 14. Laert. II 1. Dox. 361a 16b 20. vide *Parm.* p. 111.

22

Suidas s. v. *ὡς: λίαν. Παρμενίδης· Θαυμασίως ὡς ὀυσανάπειστον.* cf. Plato Parm. p. 135 A.

23

Idem s. v. *μακάρων νῆσοι: ἡ ἀκρόπολις τῶν ἐν Βοιωτίαι Θηβῶν τὸ παλαιόν, ὡς Παρμενίδης.* emendavit *Ἀρμενίδας* ex Photii lexico s. v. *μακάρων νῆσοι* et Apoll. Rhod. Schol. I 551 Fiorillo (1801).

24

Suetonius Milleri (Mél. 417) *Τελχῖνες . . . τούτους οἱ μὲν θαλάσσης παῖδάς φασι, Παρμενίδης δ' ἐκ τῶν Ἀκταίωνος κυνῶν γενέσθαι μεταμορφωθέντων ὑπὸ Διὸς εἰς ἀνθρώπους.* lege *φασιν, Ἀρμενίδας* cf. Bergk PLG III 232. Parmenidae vel rhetor [cf. A 1 p. 49, 13] vel grammaticus [Diog. I 107, ubi Roeper *Παρμενίσκος* correxit] procul habendi.

25

Stob. Ecl. I 144, 19 Wachsm. *ἀλλ' ὅγε πάντοθεν ἶσος κτλ.* lemma Parmenidis in Heerenii errore niti (cf. Emp. fr. 28) demonstravi *Parm.* p. 88.

5. EMPEDOCLES.

A. TESTIMONIA VITAE CARMINUM DOCTRINAE

VITAE. 1. LAERTIUS DIOG. VIII 51—77.

Ἐμπεδοκλῆς, ὡς φησιν Ἱππόβοτος, Μέτωνος ἦν υἱὸς τοῦ Ἐμπεδοκλέους Ἀκραγαντῖνος. τὸ δ' αὐτὸ καὶ Τίμαιος ἐν τῇι πεντε- 51
καιδεκάτηι τῶν Ἱστοριῶν [FHG I 215 fr. 93] ἐπίσημον ἄνδρα γεγονέναι τὸν Ἐμπεδοκλέα τὸν πάππον τοῦ ποιητοῦ. ἀλλὰ καὶ Ἕρμιππος [FHG III 42 fr. 27] τὰ αὐτὰ τούτωι φησίν. ὁμοίως Ἡρακλείδης ἐν τῶι Περὶ νόσων [fr. 74 Voss], ὅτι λαμπρᾶς ἦν οἰκίας ἱπποτροφηκότος τοῦ πάππου. λέγει δὲ καὶ Ἐρατοσθένης ἐν τοῖς Ὀλυμπιονίκαις τὴν πρώτην καὶ ἑβδομηκοστὴν ὀλυμπιάδα [496] νενικηκέναι τὸν τοῦ Μέτωνος πατέρα, μάρτυρι χρώμενος Ἀριστοτέλει [fr. 71]. Ἀπολλόδωρος δ' ὁ γραμματικὸς ἐν τοῖς Χρονικοῖς
[FHG I 447 fr. 87] φησιν ὡς 52

ἦν μὲν Μέτωνος υἱός, εἰς δὲ Θουρίους
αὐτὸν νεωστὶ παντελῶς ἐκτισμένους
⟨ὁ⟩ Γλαῦκος ἐλθεῖν φησιν.

εἶθ' ὑποβάς·

οἱ δ' ἱστοροῦντες, ὡς πεφευγὼς οἴκοθεν
εἰς τὰς Συρακούσας μετ' ἐκείνων ἐπολέμει
πρὸς τοὺς Ἀθηναίους, τελέως ἀγνοεῖν μοι
δοκοῦσιν· ἦ γὰρ οὐκέτ' ἦν ἦ παντελῶς
ὑπεργεγηρακώς, ὅπερ οὐχὶ φαίνεται.

---

1 Hippobotus hausit e Timaeo, maxime ex eius contra Heraclidis Pontici *Περὶ νόσων* disputatione 3 post *ἱστοριῶν* videtur intercidisse *προσιστορῶν*; pro *τῶν ἱστοριῶν* prop. *ἱστορῶν* E. Schwartz Herm. 34, 488 5 *ὁμοίως καὶ* FP² 11 *μέτωνος μὲν* BP: *μέτωνος*, superscr. *μὲν* F: corr. Clinton 13 *ὁ* add. Cobet 15 *οἴκοθεν πεφευγὼς* libri: corr. Clinton 17 versus certo recuperari non potest. temptabam (Mus. Rh. XXXI 38) *πρὸς Ἀθηνάους ἔμοιγε τελέως ἀγνοεῖν* 19 *οὐχὶ* Clinton: *οὐ* libri. Apollodorus ita ratiocinatur: Empedocles exul (ergo *ἀκμάσας*) Thurios venit nuper conditos sec. Glaucum. ergo *ἀκμὴ* incidit in ol.

Ἀριστοτέλης [fr. 71 cf. infra § 74] γὰρ αὐτὸν, ἔτι τε Ἡράκλειτον, ἑξήκοντα ἐτῶν φησι τετελευτηκέναι. ὁ δὲ ⟨τὴν⟩ μίαν καὶ ἑβδομηκοστὴν Ὀλυμπιάδα νενικηκὼς

κέλητι τούτου πάππος ἦν ὁμώνυμος,

ὥσθ' ἅμα καὶ τὸν χρόνον ὑπὸ τοῦ Ἀπολλοδώρου σημαίνεσθαι. 53
Σάτυρος δὲ ἐν τοῖς Βίοις [FHG III 162 fr. 11] φησὶν ὅτι Ἐμπεδοκλῆς υἱὸς μὲν ἦν Ἐξαινέτου, κατέλιπε δὲ καὶ αὐτὸς υἱὸν Ἐξαίνετον· ἐπί τε τῆς αὐτῆς ὀλυμπιάδος τὸν μὲν ἵππωι κέλητι νενικηκέναι, τὸν δὲ υἱὸν αὐτοῦ πάλητι ἤ, ὡς Ἡρακλείδης ἐν τῆι Ἐπιτομῆι [FHG III 169 fr. 6], δρόμωι. ἐγὼ δὲ εὗρον ἐν τοῖς ὑπομνήμασι Φαβωρίνου ὅτι καὶ βοῦν ἔθυσε τοῖς θεωροῖς ὁ Ἐμπεδοκλῆς ἐκ μέλιτος καὶ ἀλφίτων, καὶ ἀδελφὸν ἔσχε Καλλικρατίδην. Τηλαύγης δ' ὁ Πυθαγόρου παῖς ἐν τῆι πρὸς Φιλόλαον ἐπιστολῆι φησι τὸν Ἐμπεδοκλέα Ἀρχινόμου εἶναι υἱόν. ὅτι δ' ἦν Ἀκραγαντῖνος ἐκ 54
Σικελίας, αὐτὸς ἐναρχόμενος τῶν Καθαρμῶν φησιν· ὦ — πόλεος [fr. 112]. καὶ τὰ μὲν περὶ τοῦ γένους αὐτοῦ τάδε.

ἀκοῦσαι δ' αὐτὸν Πυθαγόρου Τίμαιος διὰ τῆς ἐνάτης [FHG I 211 fr. 81] ἱστορεῖ, λέγων ὅτι καταγνωσθεὶς ἐπὶ λογοκλοπίαι τότε (καθὰ καὶ Πλάτων) τῶν λόγων ἐκωλύθη μετέχειν. μεμνῆσθαι δὲ καὶ αὐτὸν Πυθαγόρου λέγοντα· 'ἦν — πλοῦτον' [fr. 129]. οἱ δὲ τοῦτο εἰς Παρμενίδην αὐτὸν λέγειν ἀναφέροντα. φησὶ δὲ Νεάνθης 55
[FHG III 6 fr. 20] ὅτι μέχρι Φιλολάου καὶ Ἐμπεδοκλέους ἐκοινώνουν οἱ Πυθαγορικοὶ τῶν λόγων. ἐπεὶ δ' αὐτὸς διὰ τῆς ποιήσεως ἐδημοσίωσεν αὐτά, νόμον ἔθεντο μηδενὶ μεταδώσειν ἐποποιῶι (τὸ δ' αὐτὸ καὶ Πλάτωνα παθεῖν φησι· καὶ γὰρ τοῦτον κωλυθῆναι). τίνος μέντοι γε αὐτῶν ἤκουσεν ὁ Ἐμπεδοκλῆς, οὐκ εἶπε· τὴν γὰρ περιφερομένην πρὸς Τηλαύγους ἐπιστολὴν ὅτι τε μετέσχεν Ἱππάσου καὶ Βροτίνου,

---

54 (444—441) cf. § 74. ergo natus circa 484 et mortuus sec. Aristotelem LX annos natus Atheniensium expeditionem Siciliensem attigisse non potest. at istos expeditionem priorem a. 427 (Thuc. III 86) intellegere potuisse monet Steinhart. re vera vitae neque spatium neque flos certa cf. v. 7 et 79, 2 1 ἡράκλειτον B^1PF: ἡράκλειτος B superscr.: Ἡρακλείδης (scil. Ponticus) Sturz (cf. § 61) verisimiliter; alioquin Apollodorus ὡς Η. dixisset. versus post Meinekeum temptabam l. c. Ἀριστοτέλης γὰρ αὐτὸν ἑξήκοντ' ἐτῶν, ἔτι θ' Ἡρακλείδης, φησὶ τετελευτηκέναι 2 τὴν add. Cobet μίαν BP^1F: πρώτην P^2 3 ἑξηκοστὴν (sed corr. postea) F 4 πάππος Karsten: πάντως libri 6 Ἐμπεδοκλέους — Ἐξαίνετος Schwartz cf. Eus. chron. I 204 Diodor. 13, 82, 6, unde Exaenetum Agrigentinum 416 et 412 stadio vicisse constat 8 μὲν ἐν B 11 θεωροῖς] cf. infra A 11 26 περιφερομένην PF: προσφερομένην B 27 πρὸς] conicio ὡς τε BP: μὲν F. explica: et Telaugis epistula [cf. fr. 155] et Hippasi Brotinique magisterium fide carent βροντίνου BF

μὴ εἶναι ἀξιόπιστον. ὁ δὲ Θεόφραστος Παρμενίδου φησὶ ζηλωτὴν αὐτὸν γενέσθαι καὶ μιμητὴν ἐν τοῖς ποιήμασι· καὶ γὰρ ἐκεῖνον ἐν ἔπεσι τὸν περὶ φύσεως ἐξενεγκεῖν λόγον. Ἕρμιππος [FHG III 56
42 fr. 27] δὲ οὐ Παρμενίδου, Ξενοφάνους δὲ γεγονέναι ζηλωτήν, ὧι καὶ συνδιατρῖψαι καὶ μιμήσασθαι τὴν ἐποποιίαν· ὕστερον δὲ τοῖς Πυθαγορικοῖς ἐντυχεῖν. Ἀλκιδάμας δ' ἐν τῶι Φυσικῶι [OA II 156[b]6 Sauppe] φησι κατὰ τοὺς αὐτοὺς χρόνους Ζήνωνα καὶ Ἐμπεδοκλέα ἀκοῦσαι Παρμενίδου, εἶθ' ὕστερον ἀποχωρῆσαι, καὶ τὸν μὲν Ζήνωνα κατ' ἰδίαν φιλοσοφῆσαι, τὸν δὲ Ἀναξαγόρου διακοῦσαι καὶ Πυθαγόρου· καὶ τοῦ μὲν τὴν σεμνότητα ζηλῶσαι τοῦ τε βίου καὶ τοῦ σχήματος, τοῦ δὲ τὴν φυσιολογίαν. Ἀριστοτέλης δὲ ἐν 57
τῶι Σοφιστῆι [fr. 65] φησι πρῶτον Ἐμπεδοκλέα ῥητορικὴν εὑρεῖν, Ζήνωνα δὲ διαλεκτικήν. ἐν δὲ τῶι Περὶ ποιητῶν [fr. 70] φησιν ὅτι καὶ Ὁμηρικὸς ὁ Ἐμπεδοκλῆς καὶ δεινὸς περὶ τὴν φράσιν γέγονεν, μεταφορητικός τε ὢν καὶ τοῖς ἄλλοις τοῖς περὶ ποιητικὴν ἐπιτεύγμασι χρώμενος· καὶ διότι γράψαντος αὐτοῦ καὶ ἄλλα ποιήματα τήν τε Ξέρξου διάβασιν καὶ προοίμιον εἰς Ἀπόλλωνα, ταῦθ' ὕστερον κατέκαυσεν ἀδελφή τις αὐτοῦ (ἢ θυγάτηρ, ὥς φησιν Ἱερώνυμος [fr. 24 Hiller]) τὸ μὲν προοίμιον ἄκουσα, τὰ δὲ Περσικὰ βουληθεῖσα
διὰ τὸ ἀτελείωτα εἶναι. καθόλου δέ φησι καὶ τραγωιδίας αὐτὸν 58
γράψαι καὶ πολιτικούς· Ἡρακλείδης δὲ ὁ τοῦ Σαραπίωνος ἑτέρου φησὶν εἶναι τὰς τραγωιδίας. Ἱερώνυμος δὲ τρισὶ καὶ τετταράκοντά φησιν ἐντετυχηκέναι, Νεάνθης [FHG III 6 fr. 21] δὲ νέον ὄντα γεγραφέναι τὰς τραγωιδίας καὶ αὐτῶν ἑπτὰ ἐντετυχηκέναι. φησὶ δὲ Σάτυρος ἐν τοῖς Βίοις [FHG III 162 fr. 12] ὅτι καὶ ἰατρὸς ἦν καὶ ῥήτωρ ἄριστος. Γοργίαν γοῦν τὸν Λεοντῖνον αὐτοῦ γενέσθαι μαθητήν, ἄνδρα ὑπερέχοντα ἐν ῥητορικῆι καὶ τέχνην ἀπολελοιπότα· ὃν φησιν Ἀπολλόδωρος ἐν Χρονικοῖς [FHG I 447 fr. 88] ἐννέα πρὸς τοῖς ἑκατὸν ἔτη βιῶναι. τοῦτόν φησιν ὁ Σάτυρος λέγειν, 59
ὡς αὐτὸς παρείη τῶι Ἐμπεδοκλεῖ γοητεύοντι. ἀλλὰ καὶ αὐτὸν διὰ τῶν ποιημάτων ἐπαγγέλλεσθαι τοῦτό τε καὶ ἄλλα πλείω, δι' ὧν φησι· ‘φάρμακα — ἀνδρός’ [fr. 111]. φησὶ δὲ καὶ Τίμαιος 60

---

1 φησὶ non in *Φυσικῶν δόξαις*, sed fortasse in *Περὶ λέξεως* 3 λόγον ἐξενεγκεῖν F 4 οὐ παρμενίδου corr. P[1]: ὁ παρμενίδου PB: om. F[1]: οὐ παρμενίδης F[2] 12 idem IX 25 cf. A 19 15 μεταφορητικός (—ρικός) BP[1]: μεταφορικός P[2]F; illa forma posterioribus usitatior (cf. e. g. κυκλοφορητικός) 16 διότι PF: δὴ ὅτι B 17 post τε add. τοῦ P[2]F 21 πολιτικούς (sc. λόγους) BPF: πολιτικά vulgo 21 σεραπίωνος F 24 αὐτὸν libri: correxi; αὐτὸς Cobet ἑπτὰ scripsi: ἔπειτα libri 29 ἑκατὸν] τεσσεράκοντα F[1] 30 παρείη P: παρῆναι B: παρήει F

ἐν τῇι ὀκτωκαιδεκάτηι [FHG I 215 fr. 94] *κατὰ πολλοὺς τρόπους τεθαυμάσθαι τὸν ἄνδρα. καὶ γὰρ ἐτησίων ποτὲ σφοδρῶς πνευσάντων ὡς τοὺς καρποὺς λυμήνασθαι, κελεύσας ὄνους ἐκδαρῆναι καὶ ἀσκοὺς ποιῆσαι περὶ τοὺς λόφους καὶ τὰς ἀκρωρείας διέτεινε πρὸς τὸ συλλαβεῖν τὸ πνεῦμα· λήξαντος δὲ Κωλυσανέμαν κληθῆναι. Ἡρακλείδης τε ἐν τῶι Περὶ νόσων* [fr. 75 Voss.] *φησὶ καὶ Παυσανίαι ὑφηγήσασθαι αὐτὸν τὰ περὶ τὴν ἄπνουν. ἦν δ' ὁ Παυσανίας, ὥς φησιν Ἀρίστιππος καὶ Σάτυρος, ἐρώμενος αὐτοῦ, ὃι δὴ καὶ τὰ Περὶ φύσεως προσπεφώνηκεν οὕτως Παυσανίηι — υἱεῖ* [fr. 1]. *ἀλλὰ καὶ ἐπίγραμμα εἰς αὐτὸν ἐποίησεν· Παυσανίην — ἀδύ-* 61 *των* [fr. 156]. *τὴν γοῦν ἄπνουν ὁ Ἡρακλείδης* [fr. 72 Voss] *φησὶ τοιοῦτόν τι εἶναι, ὡς τριάκοντα ἡμέρας συντηρεῖν ἄπνουν καὶ ἄσφυκτον τὸ σῶμα· ὅθεν εἶπεν αὐτὸν καὶ ἰητρὸν καὶ μάντιν, λαμβάνων ἅμα καὶ ἀπὸ τούτων τῶν στίχων· ὦ φίλοι — βάξιν* 62 [fr. 112]. *μέγαν δὲ τὸν Ἀκράγαντα εἰπεῖν φησι* [*ποταμὸν ἄλλα*], 63 *ἐπεὶ μυριάδες αὐτὸν κατώικουν ὀγδοήκοντα· ὅθεν τὸν Ἐμπεδοκλέα εἰπεῖν τρυφώντων αὐτῶν· Ἀκραγαντῖνοι τρυφῶσι μὲν ὡς αὔριον ἀποθανούμενοι, οἰκίας δὲ κατασκευάζονται ὡς πάντα τὸν χρόνον βιωσόμενοι*. *αὐτοὺς δὲ τούτους τοὺς Καθαρμοὺς* [*ἐν*] *Ὀλυμπίασι ῥαψωιδῆσαι λέγεται Κλεομένη τὸν ῥαψωιδόν, ὡς καὶ Φαβωρῖνος ἐν Ἀπομνημονεύμασι. φησὶ δ' αὐτὸν καὶ Ἀριστοτέλης* [fr. 66] *ἐλεύθερον γεγονέναι καὶ πάσης ἀρχῆς ἀλλότριον, εἴ γε τὴν βασιλείαν αὐτῶι διδομένην παρητήσατο, καθάπερ Ξάνθος ἐν τοῖς περὶ αὐτοῦ λέγει, τὴν λιτότητα δηλονότι πλέον ἀγαπήσας. τὰ δ' αὐτὰ καὶ Τίμαιος* 64 [FHG I 214 fr. 88 a] *εἴρηκε, τὴν αἰτίαν ἅμα παρατιθέμενος τοῦ*

---

1 *ὀκτωκαιδεκάτη*] *ιβ* verisimiliter Beloch 3 *λυμήνασθαι* Cobet: *λυμῆναι* BPF Suidas s. v. *ἄπνους* 4 *ποιεῖσθαι* Cobet *περί* BP¹F: *πρὸς* P² 6 *δὲ* vulgo (P?) 5 *κωλυσάνεμον* Suid. l. c. 11 *Ἡρακλείδης* Mercurialis: *ἡράκλειτος* P: *ἡράκλητος* BF 13 *ἄσφυκτον* Mercurialis (cf. Galen. VIII 414 K. *λέγεται γὰρ ἄπνους τε καὶ ἄσφυκτος ἐκείνη ἡ ἄνθρωπος γεγονέναι τῶν νεκρῶν ἐνὶ μόνωι διαλλάττουσα τῶι βραχεῖαν ἔχειν θερμότητα κατὰ τὰ μέσα μέρη τοῦ σώματος· ἐπιγέγραπται γοῦν τὸ βιβλίον Ἄπνους Ἡρακλείδου*): *ἄσηπτον* libri: *ἄσιτον* Suidas l. c. post *ὅθεν* add. *καὶ* P²F *ἰητρὸν* BP¹: *ἰατρὸν* P²F; cf. fr. 146, 1 *ποταμὸν ἀλλὰ* (vel *ἀλλ*) P²F. scholion antiquum [cf. Usener *Epic.* p. 21, 15] delevi; scilicet alia commentaria *Ἀκράγαντος* urbem, alia fluvium explicabant: *ποταμίλλα* BP¹ 15 *φησι* om. F; sc. Timaeus cf. § 61 16 *αὐτὴν* P¹: corr. P² *ὀγδοήκοντα*] multo minus Diodor. XIII 3 17 Platoni ab Ael. VH. XII 29 tribuitur, Diogeni cynico a Tertull. apol. 39, a Plutarcho de avar. 6 p. 525 B Stratonico 19 cf. A 12 *ἐν ὀλυμπιάδι ῥαψωδῆσαι* BP: *ἐν ὀλυμπίαι διαραψωδῆσαι* P²F: correxi ex Ath. *ἐν* ex v. 21 migravit 21 *ἐν* ante *ἀπομνημονεύμασι* om. BPF: add. B²P²

δημοτικὸν εἶναι τὸν ἄνδρα. φησὶ γὰρ ὅτι κληθεὶς ὑπό τινος τῶν ἀρχόντων, ὡς προβαίνοντος τοῦ πότου τὸ δεῖπνον οὐκ εἰσεφέρετο, τῶν [δ'] ἄλλων ἡσυχαζόντων, μισοπονήρως διατεθεὶς ἐκέλευσεν εἰσφέρειν· ὁ δὲ κεκληκὼς ἀναμένειν ἔφη τὸν τῆς βουλῆς ὑπηρέτην. ὡς δὲ παρεγένετο, ἐγενήθη συμποσίαρχος, τοῦ κεκληκότος δηλονότι καταστήσαντος, ὃς ὑπεγράφετο τυραννίδος ἀρχήν· ἐκέλευσε γὰρ ἢ πίνειν ἢ καταχεῖσθαι τῆς κεφαλῆς. τότε μὲν οὖν ὁ Ἐμπεδοκλῆς ἡσύχασε· τῇ δ' ὑστεραίαι εἰσαγαγὼν εἰς δικαστήριον ἀπέκτεινε καταδικάσας ἀμφοτέρους, τόν τε κλήτορα καὶ τὸν συμποσίαρχον. ἀρχὴ μὲν οὖν αὐτῶι τῆς πολιτείας ἦδε. πάλιν δὲ 65
Ἄκρωνος τοῦ ἰατροῦ τόπον αἰτοῦντος παρὰ τῆς βουλῆς εἰς κατασκευὴν πατρώιου μνήματος διὰ τὴν ἐν τοῖς ἰατροῖς ἀκρότητα παρελθὼν ὁ Ἐμπεδοκλῆς ἐκώλυσε, τά τε ἄλλα περὶ ἰσότητος διαλεχθεὶς καί τι καὶ τοιοῦτον ἐρωτήσας· 'τί δὲ ἐπιγράψομεν ἐλεγεῖον; ἦ τοῦτο; ἄκρον — ἀκροτάτης [fr. 157]'; τινὲς δὲ τὸν δεύτερον στίχον οὕτω προφέρονται,

'ἀκροτάτης κορυφῆς τύμβος ἄκρος κατέχει.'

τοῦτό τινες Σιμωνίδου φασὶν εἶναι. ὕστερον δ' ὁ Ἐμπεδοκλῆς 66
καὶ τὸ τῶν χιλίων ἄθροισμα κατέλυσε συνεστὼς ἐπὶ ἔτη τρία, ὥστε οὐ μόνον ἦν τῶν πλουσίων, ἀλλὰ καὶ τῶν τὰ δημοτικὰ φρονούντων. ὁ γέ τοι Τίμαιος ἐν τῆι ια καὶ ιβ [FHG om.] (πολλάκις γὰρ αὐτοῦ μνημονεύει) φησὶν ἐναντίαν ἐσχηκέναι γνώμην αὐτὸν τῆι τε πολιτείαι * * * φαίνεσθαι· ὅπου δὲ ἁλαζόνα καὶ φίλαυτον ἐν τῆι ποιήσει· φησί γοῦν· 'χαίρετ' — πωλεῦμαι' καὶ τὰ ἑξῆς [fr. 112, 4. 5]. καθ' ὃν δὲ χρόνον ἐπεδήμει Ὀλυμπίασιν, ἐπιστροφῆς ἠξιοῦτο πλείονος, ὥστε μηδενὸς ἑτέρου μνείαν γίγνεσθαι ἐν ταῖς ὁμιλίαις τοσαύτην ὅσην Ἐμπεδοκλέους. ὕστερον μέντοι τοῦ Ἀκράγαντος 67

---

2 τοῦ πότου τὸ δεῖπνον BP: τοῦ δείπνου τὸ ποτὸν F ὡς] καὶ libri 3 δ' del. Cobet 10 αὐτῶι Aldobrandinus: αὐτῆ (vel αὐτῆι vel αὖτη) libri ἦδε om. F 14 τι BP: ὅτι F 18 τοῦτον P^2 19 χιλιάδων F; si mille civium potentia illico post Thrasydaei cladem (ca. 470) instituta esset (de quo dubitari potest propter Diod. XI 53, 5 δημοκρατίαν), Empedoclem ca. 467 plenam libertatem attulisse credibile esset. at si Timaei haec excerpta cum Neanthe (§ 72) componas, conicias democratiam a Metone conditam post eius mortem ab oligarchis repressam, tum ab Empedocle instauratam esse διέλυσε B 19 συνεστὸς B 21 ια καὶ ιβ Beloch: πρώτηι καὶ δευτέραι libri πολλάκι P^1F 22 τῆι τε πολιτείαι φαίνεσθαι om. F; lacunam signavit sententiamque supplevit Reiske, quem in universum secutus propono ἐσχηκέναι γνώμην αὐτὸν ἔν τε τῆι πολιτείαι ⟨καὶ ἐν τῆι ποιήσει· ὅπου μὲν γὰρ μέτριον καὶ ἐπιεικῆ [ἐν τῆι πολιτείαι]⟩ φαίνεσθαι ὅπου δ' ἀλαζόνα καὶ φίλαυτον [ἐν τῆι ποιήσει]

οἰκιζομένου, ἀντέστησαν αὐτοῦ τῇι καθόδωι οἱ τῶν ἐχθρῶν ἀπόγονοι· διόπερ εἰς Πελοπόννησον ἀποχωρήσας ἐτελεύτησεν. οὐ παρῆκε δ' οὐδὲ τοῦτον ὁ Τίμων, ἀλλ' ὧδ' αὐτοῦ καθάπτεται λέγων· 'καὶ Ἐμπεδοκλῆς — ἄλλων' [fr. 49 W.].

περὶ δὲ τοῦ θανάτου διάφορός ἐστιν αὐτοῦ λόγος· Ἡρακλείδης [fr. 76 Voss] *μὲν γὰρ τὰ περὶ τῆς ἄπνου διηγησάμενος, ὡς ἐδοξάσθη Ἐμπεδοκλῆς ἀποστείλας τὴν νεκρὰν ἄνθρωπον ζῶσαν, φησὶν ὅτι θυσίαν συνετέλει πρὸς τῶι Πεισιάνακτος ἀγρῶι. συνεκέκλητο δὲ τῶν φίλων τινές, ἐν οἷς καὶ Παυσανίας. εἶτα μετὰ τὴν εὐ-* 68
ωχίαν οἱ μὲν ἄλλοι χωρισθέντες ἀνεπαύοντο, οἱ μὲν ὑπὸ τοῖς δένδροις ὡς ἀγροῦ παρακειμένου, οἱ δ' ὅπηι βούλοιντο, αὐτὸς δὲ ἔμεινεν ἐπὶ τοῦ τόπου ἐφ' οὗπερ κατεκέκλιτο. ὡς δὲ ἡμέρας γενηθείσης ἐξανέστησαν, οὐχ ηὑρέθη μόνος. ζητουμένου δὲ καὶ τῶν οἰκετῶν ἀνακρινομένων καὶ φασκόντων μὴ εἰδέναι, εἷς τις ἔφη μέσων νυκτῶν φωνῆς ὑπερμεγέθους ἀκοῦσαι προσκαλουμένης Ἐμπεδοκλέα, εἶτα ἐξαναστὰς ἑωρακέναι φῶς οὐράνιον καὶ λαμπάδων φέγγος, ἄλλο δὲ μηδέν· τῶν δὲ ἐπὶ τῶι γενομένωι ἐκπλαγέντων, καταβὰς ὁ Παυσανίας ἔπεμψέ τινας ζητήσοντας. ὕστερον δὲ ἐκώλυεν πολυπραγμονεῖν, φάσκων εὐχῆς ἄξια συμβεβηκέναι καὶ θύειν 69
αὐτῶι δεῖν καθαπερεὶ γεγονότι θεῶι. Ἕρμιππος [FHG III 42 fr. 27] *δέ φησι Πάνθειάν τινα Ἀκραγαντίνην ἀπηλπισμένην ὑπὸ τῶν ἰατρῶν θεραπεῦσαι αὐτὸν καὶ διὰ τοῦτο τὴν θυσίαν ἐπιτελεῖν· τοὺς δὲ κληθέντας εἶναι πρὸς τοὺς ὀγδοήκοντα. Ἱππόβοτος* [Heraclidis fr. 77 Voss] *δέ φησιν ἐξαναστάντα αὐτὸν ὠδευκέναι ὡς ἐπὶ τὴν Αἴτνην, εἶτα παραγενόμενον ἐπὶ τοὺς κρατῆρας τοῦ πυρὸς ἐναλέσθαι καὶ ἀφανισθῆναι, βουλόμενον τὴν περὶ αὐτοῦ φήμην βεβαιῶσαι ὅτι γεγόνοι θεός, ὕστερον δὲ γνωσθῆναι, ἀναρριπισθείσης αὐτοῦ μιᾶς τῶν κρηπίδων· χαλκᾶς γὰρ εἴθιστο ὑποδεῖσθαι. πρὸς* 70
τοῦθ' ὁ Παυσανίας ἀντέλεγε. (Διόδωρος δ' ὁ Ἐφέσιος περὶ Ἀναξιμάνδρου γράφων φησὶν ὅτι τοῦτον ἐζηλώκει, τραγικὸν ἀσκῶν τῦφον καὶ σεμνὴν ἀναλαβὼν ἐσθῆτα). τοῖς Σελινουντίοις ἐμπεσόντος

---

1 locus dubius. *οἰκιζομένου* post 405? cf. 74, 16. 75, 7 3 *δ'* P^2F: *τ'* BP *ἀλλ' ὧδ'* Q(descr. ex P^1): *ἄλλων δ'* BP^2F 5 *τοῦ* om. F *αὐτοῦ* post *θανάτου* transp. edd. *λόγος* BP: *ὁ λόγος* F 13 *ηὑρέθη* P^1: *εὑρέθη* P^2BF 15 *μέσον νυκτὸς φωνῆς ἐπακοῦσαι ὑπερμεγέθους* F 18 *ἐκώλυε* Reiske: *ἐκωλύθη* libri: *ἐκώλυσε* Cobet 20 *δεῖ* P^2F *γεγονότι* om. F 29 *Παυσανίας*] scil. in Heraclidis dialogo *θεόδωρος* F § 70 intempestive inter Hippoboti eclogam inserta 31 post *τοῖς* add. *δὲ* P^2, at turbarum vestigium non delendum

Selinuntiorum memoria e nummis quinti saeculi (Head *hist. num.* 147 sqq.) translata

λοιμοῦ διὰ τὰς ἀπὸ τοῦ παρακειμένου ποταμοῦ δυσωδίας, ὥστε καὶ αὐτοὺς φθείρεσθαι καὶ τὰς γυναῖκας δυστοκεῖν, ἐπινοῆσαι τὸν Ἐμπεδοκλέα καὶ δύο τινὰς ποταμοὺς τῶν σύνεγγυς ἐπαγαγεῖν ἰδίαις δαπάναις· καὶ καταμίξαντα γλυκῆναι τὰ ῥεύματα. οὕτω δὴ λήξαντος τοῦ λοιμοῦ καὶ τῶν Σελινουντίων εὐωχουμένων ποτὲ παρὰ τῶι ποταμῶι, ἐπιφανῆναι τὸν Ἐμπεδοκλέα· τοὺς δ' ἐξαναστάντας προσκυνεῖν καὶ προσεύχεσθαι καθαπερεὶ θεῶι. ταύτην οὖν θέλοντα βεβαιῶσαι τὴν διάληψιν εἰς τὸ πῦρ ἐναλέσθαι. τούτοις δ' ἐναντιοῦται Τίμαιος [FHG I 218 fr. 98] ῥητῶς λέγων ὡς ἐξεχώρησεν εἰς Πελοπόννησον καὶ τὸ σύνολον οὐκ ἐπανῆλθεν· ὅθεν αὐτοῦ καὶ τὴν τελευτὴν ἄδηλον εἶναι. πρὸς δὲ τὸν Ἡρακλείδην καὶ ἐξ ὀνόματος ποιεῖται τὴν ἀντίρρησιν ἐν τῆι ιδ· Συρακόσιόν τε γὰρ εἶναι τὸν Πεισιάνακτα καὶ ἀγρὸν οὐκ ἔχειν ἐν Ἀκράγαντι· Παυσανίαν τε μνημεῖον ⟨ἂν⟩ πεποιηκέναι τοῦ φίλου, τοιούτου διαδοθέντος λόγου, ἢ ἀγαλμάτιόν τι ἢ σηκὸν οἷα θεοῦ· καὶ γὰρ πλούσιον εἶναι. 'πῶς οὖν, φησίν, εἰς τοὺς κρατῆρας ἤλατο ὢν σύνεγγυς ὄντων οὐδὲ μνείαν ποτὲ ἐπεποίητο; τετελεύτηκεν οὖν ἐν Πελοποννήσωι. οὐδὲν δὲ παράδοξον τάφον αὐτοῦ μὴ φαίνεσθαι· μηδὲ γὰρ ἄλλων πολλῶν.' τοιαῦτά τινα εἰπὼν ὁ Τίμαιος ἐπιφέρει· 'ἀλλὰ διὰ παντός ἐστιν Ἡρακλείδης τοιοῦτος παραδοξολόγος, καὶ ἐκ τῆς σελήνης πεπτωκέναι ἄνθρωπον λέγων.' Ἱππόβοτος δέ φησιν ὅτι ἀνδριὰς ἐγκεκαλυμμένος Ἐμπεδοκλέους ἕκειτο πρότερον μὲν ἐν Ἀκράγαντι, ὕστερον δὲ πρὸ τοῦ Ῥωμαίων βουλευτηρίου ἀκάλυφος δηλονότι μεταθέντων αὐτὸν ἐκεῖ Ῥωμαίων. γραπταὶ μὲν γὰρ εἰκόνες καὶ νῦν περιφέρονται. Νεάνθης δ' ὁ Κυζικηνὸς ὁ καὶ περὶ τῶν Πυθαγορικῶν εἰπών φησι [FHG III 6 fr. 22] Μέτωνος τελευτήσαντος τυραννίδος ἀρχὴν ὑποφύεσθαι· εἶτα τὸν Ἐμπεδοκλέα πεῖσαι τοὺς Ἀκραγαντίνους παύσασθαι μὲν τῶν στάσεων, ἰσότητα δὲ πολιτικὴν ἀσκεῖν. ἔτι τε πολλὰς τῶν πολιτίδων ἀπροίκους ὑπαρχούσας αὐτὸν προικίσαι διὰ τὸν παρόντα πλοῦτον· διὸ δὴ πορφύραν τε ἀναλαβεῖν αὐτὸν καὶ στρόφιον ἐπιθέσθαι χρυσοῦν, ὡς Φαβωρῖνος ἐν Ἀπομνημονεύμασιν, ἔτι τ' ἐμβάτας χαλκᾶς καὶ στέμμα Δελφικόν. κόμη τε ἦν αὐτῶι βαθεῖα καὶ παῖδες ἀκόλουθοι· καὶ αὐτὸς ἀεὶ σκυθρωπὸς ἐφ' ἑνὸς σχήματος ἦν. τοιοῦτος δὴ προήιει, τῶν πολιτῶν ἐντυχόντων καὶ τοῦτο ἀξιωσάντων οἱονεὶ βασιλείας τινὸς παρά-

---

4 γλυκῆναι BF: γλυκύναι P¹: γλυκάναι P² δὲ F 8 διαβεβαιῶσαι FP² 9 ἐξεώρησεν B 12 ιδ scripsi: δ libri 14 ἂν add. C. Müller 16 ὢν ὡς et 17 πεποίηται inscite Cobet 19 οὐδὲ scripserat Timaeus 24 εἰκόνες Sturz: εἰσι τινὲς libri 34 ἦν σχήματος F

σημον. ὕστερον δὲ διά τινα πανήγυριν πορευόμενον ἐπ' ἀμάξης ὡς εἰς Μεσσήνην πεσεῖν καὶ τὸν μηρὸν κλάσαι· νοσήσαντα δ' ἐκ τούτου τελευτῆσαι ἐτῶν ἑπτὰ καὶ ἑβδομήκοντα. εἶναι δ' αὐτοῦ καὶ τάφον ἐν Μεγάροις. περὶ δὲ τῶν ἐτῶν Ἀριστοτέλης δια- 74
φέρεται· φησὶ γὰρ ἐκεῖνος ἑξήκοντα ἐτῶν αὐτὸν τελευτῆσαι· οἱ δὲ ἐννέα καὶ ἑκατόν. ἤκμαζε δὲ κατὰ τὴν τετάρτην καὶ ὀγδοηκοστὴν ὀλυμπιάδα [444/1]. *Δημήτριος δ' ὁ Τροιζήνιος ἐν τῶι Κατὰ σοφιστῶν βιβλίωι* [FHG IV 383] *φησὶν αὐτὸν καθ' Ὅμηρον*

ἁψάμενον βρόχον αἰπὺν ἀφ' ὑψηλοῖο κρανείης
αὐχέν' ἀποκρεμάσαι, ψυχὴν δ' Ἀΐδόσδε κατελθεῖν.

ἐν δὲ τῶι προειρημένωι Τηλαύγους ἐπιστολίωι λέγεται αὐτὸν εἰς θάλατταν ὑπὸ γήρως ὀλισθόντα τελευτῆσαι. καὶ ταῦτα μὲν περὶ τοῦ θανάτου καὶ τοσαῦτα.

φέρεται δὲ καὶ ἡμῶν εἰς αὐτὸν ἐν τῆι Παμμέτρωι σκωπτικὸν μέν, τοῦτον δ' ἔχον τὸν τρόπον·

καὶ σύ ποτ', Ἐμπεδόκλεις, διερῆι φλογὶ σῶμα καθήρας 75
πῦρ ἀπὸ κρατήρων ἔκπιες ἀθάνατον·
οὐκ ἐρέω δ' ὅτι σαυτὸν ἑκὼν βάλες ἐς ῥόον Αἴτνης,
ἀλλὰ λαθεῖν ἐθέλων ἔμπεσες οὐκ ἐθέλων.

καὶ ἄλλο·

ναὶ μὴν Ἐμπεδοκλῆα θανεῖν λόγος ὥς ποτ' ἀμάξης
ἔκπεσε καὶ μηρὸν κλάσσατο δεξιτερόν·
εἰ δὲ πυρὸς κρατῆρας ἐσήλατο καὶ πίε τὸ ζῆν,
πῶς ἂν ἔτ' ἐν Μεγάροις δείκνυτο τοῦδε τάφος;

ἐδόκει δ' αὐτῶι τάδε· στοιχεῖα μὲν εἶναι τέτταρα, πῦρ, ὕδωρ, 76
γῆν, ἀέρα· Φιλίαν τε ἧι συγκρίνεται καὶ Νεῖκος ὧι διακρίνεται. φησὶ δ' οὕτω· 'Ζεὺς — βρότειον' [fr. 6, 2. 3], *Δία μὲν τὸ πῦρ λέγων, Ἥρην δὲ τὴν γῆν, Ἀϊδωνέα δὲ τὸν ἀέρα, Νῆστιν δὲ τὸ ὕδωρ. 'καὶ ταῦτα, φησίν, ἀλλάττοντα — λήγει'* [fr. 17, 6], *ὡς ἂν ἀιδίου τῆς τοιαύτης διακοσμήσεως οὔσης· ἐπιφέρει γοῦν· 'ἄλλοτε — ἔχθει'* [fr. 17, 7. 8]. *καὶ τὸν μὲν ἥλιόν φησι πυρὸς ἄθροισμα* 77
μέγα καὶ τῆς σελήνης μείζω· τὴν δὲ σελήνην δισκοειδῆ, αὐτὸν δὲ τὸν οὐρανὸν κρυσταλλοειδῆ. καὶ τὴν ψυχὴν παντοῖα εἴδη ζώιων καὶ φυτῶν ἐνδύεσθαι· φησὶ γοῦν· 'ἤδη — ἰχθύς' [fr. 117].

τὰ μὲν οὖν Περὶ φύσεως αὐτῶι καὶ οἱ Καθαρμοὶ εἰς ἔπη

---

1 *ἐφ' ἁμάξης* B²F 6 *ἐννέα καὶ ἑκατὸν*] a Gorgia discipulo translatum cf. Quint. III 1, 8. 9 7 *δημόκριτος* F 8 *Ὅμηρον*] λ 278 11 *προειρημένωι*] § 55 17 *κρητήρων* P² *ἀθάνατον* Anth. Pal. VII 124: *θάνατον* libri cf. v. 23 23 *κἄκπιε* Casaubonus

τείνουσι πεντακισχίλια, ὁ δὲ Ἰατρικὸς λόγος εἰς ἔπη ἑξακόσια. περὶ δὲ τῶν τραγωιδιῶν προειρήκαμεν.

1 *πεντακισχίλια*] *πάντα τρισχίλια* proposui *Berl. Sitz.* 1898, 398 cf. A 2, 21 2 *προειρήκαμεν*] § 58.

2. Suidas.

Ἐμπεδοκλῆς Μέτωνος, οἱ δὲ Ἀρχινόμου [ex Hesychio], *οἱ δ' Ἐξαινέτου. καὶ ἀδελφὸν ἔσχε Καλλικρατίδην* [ex Laert. § 58].

ἠκροάσατο δὲ πρώτου Παρμενίδου, οὗτινος, ὥς φησι Πορφύριος ἐν Φιλοσόφωι ἱστορίαι, ἐγένετο παιδικά. οἱ δὲ ἔφασαν μαθητὴν Τηλαύγους, τοῦ Πυθαγόρου υἱοῦ, τὸν Ἐμπεδοκλέα γενέσθαι [ex Porphyr. Hist. philos. fr. 8 Nauck]

Ἀκραγαντῖνος δὲ φιλόσοφος φυσικὸς καὶ ἐποποιός [ex Hesych.] *οὗτος ὁ Ἐμπεδοκλῆς στέμμα ἔχων ἐπὶ τῆς κεφαλῆς χρυσοῦν καὶ ἀμύκλας ἐν τοῖς ποσὶ χαλκᾶς καὶ στέμματα Δελφικὰ ἐν ταῖς χερσὶν ἐπήιει τὰς πόλεις, δόξαν περὶ αὑτοῦ κατασχεῖν ὡς περὶ θεοῦ βουλόμενος. ἐπειδὴ δὲ γηραιὸς ἐγένετο, νύκτωρ ἔρριψεν ἑαυτὸν εἰς κρατῆρα πυρός, ὥστε μὴ φανῆναι αὐτοῦ τὸ σῶμα. καὶ οὕτως ἀπώλετο τοῦ σανδαλίου αὐτοῦ ἐκβρασθέντος ὑπὸ τοῦ πυρός. ἐπεκλήθη δὲ καὶ Κωλυσανέμας διὰ τὸ ἀνέμου πολλοῦ ἐπιθεμένου τῆι Ἀκράγαντι ἐξελάσαι αὐτὸν δορὰς ὄνων περιθέντα τῆι πόλει* [ex Porph. cf. A 16].

γέγονε δὲ τούτου μαθητὴς Γοργίας ὁ ῥήτωρ ὁ Λεοντῖνος [ex Laert. § 53].

καὶ ἔγραψε δι' ἐπῶν Περὶ φύσεως τῶν ὄντων βιβλία $\overline{\beta}$ *(καὶ ἔστιν ἔπη ὡς δισχίλια), Ἰατρικὰ καταλογάδην καὶ ἄλλα πολλά* [ex Hes.].

5 *παιδικά*] Platonis Parm. 127 A [supra p. 50, 6] memoriam confudit 20 $\overline{\beta}$ libri: $\overline{\gamma}$ (fortasse ex Tzetzae Chil. VII 522) editor princeps Demetrius Chalcondyles 21 *Ἰατρικὰ* — *Ἰατρικὸς λόγος* Laert. § 77.

3. Plinius Nat. Hist XXIX 1, 5 *alia factio (ab experimentis cognominant empiricen) coepit in Sicilia, Acrone Agragantino Empedoclis physici auctoritate commendato.* Suid. s. v. *Ἄκρων, Ἀκραγαντῖνος υἱὸς Ξένωνος . ἐσοφίστευσεν ἐν ταῖς Ἀθήναις ἅμα Ἐμπεδοκλεῖ. ἔστιν οὖν πρεσβύτερος Ἱπποκράτους. ἔγραψε Περὶ ἰατρικῆς δωριδι διαλέκτωι, Περὶ τροφῆς ὑγιεινῶν βιβλίον ᾱ. ἔστι δὲ καὶ οὗτος τῶν τινα πνεύματα σημειωσαμένων. εἰς τοῦτον ἐποίησεν Ἐ. τωθαστικὸν ἐπίγραμμα* [fr. 157]. Plut. de Is. et Os. 80 p. 383 B *Ἄκρωνα γοῦν τὸν ἰατρὸν ἐν Ἀθήναις ὑπὸ τὸν μέγαν λοιμὸν εὐδοκιμῆσαι λέγουσι πῦρ κελεύ-*

οντα παρακαλειν τοῖς νοσοῦσιν. [cf. M. Wellmann *Fr. d. gr. Ärzte* I 108 sqq.] GALEN. meth. ther. I 1 [X 5 K.] *καὶ πρόσθεν μὲν ἔρις ἦν οὐ σμικρὰ νικῆσαι τῶι πλήθει τῶν εὑρημάτων ἀλλήλους ὀριγνωμένων τῶν ἐν Κῶι καὶ Κνίδωι· διττὸν γὰρ ἔτι τοῦτο τὸ γένος ἦν τῶν ἐπὶ τῆς Ἀσίας Ἀσκληπιαδῶν ἐκλιπόντος τοῦ κατὰ Ῥόδον· ἤριζον δ' αὐτοῖς τὴν ἀγαθὴν ἔριν ἐκείνην, ἣν Ἡσίοδος ἐπήινει καὶ οἱ ἐκ τῆς Ἰταλίας ἰατροί, Φιλιστίων τε καὶ Ἐμπεδοκλῆς καὶ Παυσανίας καὶ οἱ τούτων ἑταῖροι.*

4. ARIST. de anima A 2. 405^{b}1 *τῶν δὲ φορτικωτέρων καὶ ὕδωρ τινὲς ἀπεφήναντο καθάπερ Ἵππων· πεισθῆναι δ' ἐοίκασιν ἐκ τῆς γονῆς ὅτι πάντων ὑγρά. καὶ γὰρ ἐλέγχει τοὺς αἷμα φάσκοντας τὴν ψυχήν, ὅτι ἡ γονὴ οὐχ αἷμα.* Empedoclis, non popularem quandam opinionem, tangi ab Hippone veri simile cf. Hippocr. q. f. de morb. I 30 [VI 200 L.] *τὸ αἷμα τὸ ἐν τῶι ἀνθρώπωι πλεῖστον ξυμβάλλεται μέρος συνέσιος· ἔνιοι δὲ λέγουσι τὸ πᾶν.* de sacro morbo 17 [VI 392 L.] *λέγουσι δέ τινες ὡς φρονέομεν τῆι καρδίηι καὶ τὸ ἀνιώμενον τοῦτό ἐστι καὶ τὸ φροντίζον· τὸ δὲ οὐχ οὕτως ἔχει.* inter aequales etiam Ion Chius Empedoclis doctrinam tangere videtur, qui dum incipit *ἀρχὴ δέ μοι τοῦ λόγου· πάντα τρία καὶ ⟨οὐδὲν⟩ πλέον οὐδὲ ἔλασσον τούτων τῶν τριῶν. ἑνὸς ἑκάστου ἀρετὴ τριάς, σύνεσις καὶ κράτος καὶ τύχη* et naturae elementa tum recenset tria *πῦρ, γῆν, ὕδωρ* (Philop. d. gen. et corr. 207, 17. 227, 12) quaternionem istius oblique significaverit voce *πλέον* (cf. Isocr. antid. 268).

5. SUIDAS s. v. *Ζήνων Τελευταγόρου Ἐλεάτης φιλόσοφος τῶν ἐγγιζόντων Πυθαγόραι καὶ Δημοκρίτωι κατὰ τοὺς χρόνους* (ἦν γὰρ ἐπὶ τῆς $\overline{οη}$ ὀλυμπιάδος) [468—5] *μαθητὴς Ξενοφάνους ἢ Παρμενίδου. ἔγραψεν Ἐριδας, Ἐξήγησιν τῶν Ἐμπεδοκλέους, Πρὸς τοὺς φιλοσόφους περὶ φύσεως. — τοῦτόν φασιν εὑρετὴν εἶναι τῆς διαλεκτικῆς, ὡς Ἐμπεδοκλέα τῆς ῥητορικῆς.* extrema e Laertio IX 25 sqq. — Hesychii catalogum librorum genuinum credo; *ἐξήγησιν commentarium criticum* explicavi *Berl. Sitz.* 1884, 359^{2}. 1898, 408^{2}.

6. ARISTOT. Metaph. A 3. 984^{a}11 *Ἀναξαγόρας δὲ ὁ Κλαζομένιος τῆι μὲν ἡλικίαι πρότερος ὢν τούτου* [Empedocle], *τοῖς δ' ἔργοις ὕστερος ἀπείρους εἶναί φησι τὰς ἀρχάς.* *'Anaxagoram quod dicit Aristoteles aetate priorem esse Empedocle τοῖς δ' ἔργοις ὕστερον, illud quidem apparet τὰ ἔργα ipsam eius esse doctrinam et philosophiam. sed ὕστερος dubium est utrum ad tempus referendum sit quo vel coeperit philosophari vel placita sua proposuerit Anaxagoras, an ad doctrinae Anaxagoreae dignitatem et auctoritatem.'* Bonitz comm. p. 67, qui alteram explicationem recte magis Aristoteleam dixit.

7. SIMPLICIUS phys. 25, 19 e Theophrasti Phys. Op. [fr. 3. 477, 17 Dox.] *Ἐμπεδοκλῆς ὁ Ἀκραγαντῖνος οὐ πολὺ κατόπιν τοῦ Ἀναξαγόρου γεγονώς, Παρμενίδου δὲ ζηλωτὴς καὶ πλησιαστὴς καὶ ἔτι μᾶλλον τῶν Πυθαγορείων.* cf. A 1 § 54. SUID. s. v. *Ἀρχύτας* in additamento *τοῦτον φανερῶς γενέσθαι διδάσκαλον Ἐμπεδοκλέους.* pertinet fortasse ad Alcmaeonem.

8. EUS. P. E. X 14, 15 [ex anonymo biographo] *Τηλαύγους δὲ Ἐ. ἀκουστὴς γίνεται, καθ' ὃν Ἡράκλειτος ὁ σκοτεινὸς ἐγνωρίζετο* (i. e. Ol. 69 [504—1] sec. Chron.).

9. IDEM Chron. sub ol. 81, 1 [456] *Ἐ. καὶ Παρμενίδης φυσικοὶ φιλόσοφοι ἐγνωρίζοντο.* GELL. XVII 21, 14 [fort. ex Nepotis Chronicis] inter cladem

5. EMPEDOCLES.

A. TESTIMONIA VITAE CARMINUM DOCTRINAE

VITAE. 1. LAERTIUS DIOG. VIII 51—77.

Ἐμπεδοκλῆς, ὡς φησιν Ἱππόβοτος, Μέτωνος ἦν υἱὸς τοῦ Ἐμ-
πεδοκλέους Ἀκραγαντῖνος. τὸ δ' αὐτὸ καὶ Τίμαιος ἐν τῇι πεντε- 51
καιδεκάτηι τῶν Ἱστοριῶν [FHG I 215 fr. 93] ἐπίσημον ἄνδρα γε-
γονέναι τὸν Ἐμπεδοκλέα τὸν πάππον τοῦ ποιητοῦ. ἀλλὰ καὶ
Ἕρμιππος [FHG III 42 fr. 27] τὰ αὐτὰ τούτωι φησίν. ὁμοίως
Ἡρακλείδης ἐν τῶι Περὶ νόσων [fr. 74 Voss], ὅτι λαμπρᾶς ἦν οἰκίας
ἱπποτροφικότος τοῦ πάππου. λέγει δὲ καὶ Ἐρατοσθένης ἐν τοῖς
Ὀλυμπιονίκαις τὴν πρώτην καὶ ἑβδομηκοστὴν ὀλυμπιάδα [496]
νενικηκέναι τὸν τοῦ Μέτωνος πατέρα, μάρτυρι χρώμενος Ἀριστοτέλει
[fr. 71]. Ἀπολλόδωρος δ' ὁ γραμματικὸς ἐν τοῖς Χρονικοῖς
[FHG I 447 fr. 87] φησιν ὡς 52

ἦν μὲν Μέτωνος υἱός, εἰς δὲ Θουρίους
αὐτὸν νεωστὶ παντελῶς ἐκτισμένους
⟨ὁ⟩ Γλαῦκος ἐλθεῖν φησιν.

εἶθ' ὑποβάς·

οἱ δ' ἱστοροῦντες, ὡς πεφευγὼς οἴκοθεν
εἰς τὰς Συρακούσας μετ' ἐκείνων ἐπολέμει
πρὸς τοὺς Ἀθηναίους, τελέως ἀγνοεῖν μοι
δοκοῦσιν· ἦ γὰρ οὐκέτ' ἦν ἦ παντελῶς
ὑπεργεγηρακώς, ὅπερ οὐχὶ φαίνεται.

---

1 Hippobotus hausit e Timaeo, maxime ex eius contra Heraclidis Pontici *Περὶ νόσων* disputatione 3 post *ἱστοριῶν* videtur intercidisse *προσιστορῶν*; pro *τῶν ἱστοριῶν* prop. *ἱστορῶν* E. Schwartz Herm. 34, 488 5 *ὁμοίως καὶ* FP² 11 *μέτωνος μὲν* BP: *μέτωνος*, superscr. *μὲν* F: corr. Clinton 13 *ὁ* add. Cobet 15 *οἴκοθεν πεφευγὼς* libri: corr. Clinton 17 versus certo recuperari non potest. temptabam (Mus. Rh. XXXI 38) *πρὸς Ἀθηνάους ἔμοιγε τελέως ἀγνοεῖν* 19 *οὐχὶ* Clinton: *οὐ* libri. Apollodorus ita ratiocinatur: Empedocles exul (ergo *ἀκμάσας*) Thurios venit nuper conditos sec. Glaucum. ergo *ἀκμὴ* incidit in ol.

Ἀριστοτέλης [fr. 71 cf. infra § 74] *γὰρ αὐτὸν, ἔτι τε Ἡράκλειτον, ἑξήκοντα ἐτῶν φησι τετελευτηκέναι. ὁ δὲ ⟨τὴν⟩ μίαν καὶ ἑβδομηκοστὴν Ὀλυμπιάδα νενικηκὼς*

κέλητι τούτου πάππος ἦν ὁμώνυμος,

ὥσθ' ἅμα καὶ τὸν χρόνον ὑπὸ τοῦ Ἀπολλοδώρου σημαίνεσθαι. 53
Σάτυρος δὲ ἐν τοῖς Βίοις [FHG III 162 fr. 11] *φησὶν ὅτι Ἐμπεδοκλῆς υἱὸς μὲν ἦν Ἐξαινέτου, κατέλιπε δὲ καὶ αὐτὸς υἱὸν Ἐξαίνετον· ἐπί τε τῆς αὐτῆς ὀλυμπιάδος τὸν μὲν ἵππωι κέλητι νενικηκέναι, τὸν δὲ υἱὸν αὐτοῦ πάλητι ἤ, ὡς Ἡρακλείδης ἐν τῆι Ἐπιτομῆι* [FHG III 169 fr. 6], *δρόμωι. ἐγὼ δὲ εὗρον ἐν τοῖς ὑπομνήμασι Φαβωρίνου ὅτι καὶ βοῦν ἔθυσε τοῖς θεωροῖς ὁ Ἐμπεδοκλῆς ἐκ μέλιτος καὶ ἀλφίτων, καὶ ἀδελφὸν ἔσχε Καλλικρατίδην. Τηλαύγης δ' ὁ Πυθαγόρου παῖς ἐν τῆι πρὸς Φιλόλαον ἐπιστολῆι φησι τὸν Ἐμπεδοκλέα Ἀρχινόμου εἶναι υἱόν. ὅτι δ' ἦν Ἀκραγαντῖνος ἐκ* 54
Σικελίας, αὐτὸς ἐναρχόμενος τῶν Καθαρμῶν φησιν· ὦ — πόλεος [fr. 112]. *καὶ τὰ μὲν περὶ τοῦ γένους αὐτοῦ τάδε.*

ἀκούσαι δ' αὐτὸν Πυθαγόρου Τίμαιος διὰ τῆς ἐνάτης [FHG I 211 fr. 81] *ἱστορεῖ, λέγων ὅτι καταγνωσθεὶς ἐπὶ λογοκλοπίαι τότε (καθὰ καὶ Πλάτων) τῶν λόγων ἐκωλύθη μετέχειν. μεμνῆσθαι δὲ καὶ αὐτὸν Πυθαγόρου λέγοντα· 'ἦν — πλοῦτον'* [fr. 129]. *οἱ δὲ τοῦτο εἰς Παρμενίδην αὐτὸν λέγειν ἀναφέροντα. φησὶ δὲ Νεάνθης* 55
[FHG III 6 fr. 20] *ὅτι μέχρι Φιλολάου καὶ Ἐμπεδοκλέους ἐκοινώνουν οἱ Πυθαγορικοὶ τῶν λόγων. ἐπεὶ δ' αὐτὸς διὰ τῆς ποιήσεως ἐδημοσίωσεν αὐτά, νόμον ἔθεντο μηδενὶ μεταδώσειν ἑποποιῶι (τὸ δ' αὐτὸ καὶ Πλάτωνα παθεῖν φησι· καὶ γὰρ τοῦτον κωλυθῆναι). τίνος μέντοι γε αὐτῶν ἤκουσεν ὁ Ἐμπεδοκλῆς, οὐκ εἶπε· τὴν γὰρ περιφερομένην πρὸς Τηλαύγους ἐπιστολὴν ὅτι τε μετέσχεν Ἱππάσου καὶ Βροτίνου,*

---

84 (444—441) cf. § 74. ergo natus circa 484 et mortuus sec. Aristotelem LX annos natus Atheniensium expeditionem Siciliensem attigisse non potest. at istos expeditionem priorem a. 427 (Thuc. III 86) intellegere potuisse monet Steinhart. re vera vitae neque spatium neque flos certa cf. v. 7 et 79, 2 1 *ἡράκλειτον* B^1PF: *ἡράκλειτος* B superscr.: *Ἡρακλείδης* (scil. Ponticus) Sturz (cf. § 61) verisimiliter; alioquin Apollodorus *ὡς Ἡ.* dixisset. versus post Meinekeum temptabam l. c. *Ἀριστοτέλης γὰρ αὐτὸν ἑξήκοντ' ἐτῶν, ἔτι θ' Ἡρακλείδης, φησὶ τετελευτηκέναι* 2 *τὴν* add. Cobet *μίαν* BP^1F: *πρώτην* P^2 3 *ἑξηκοστὴν* (sed corr. postea) F 4 *πάππος* Karsten: *πάντως* libri 6 *Ἐμπεδοκλέους — Ἐξαίνετος* Schwartz cf. Eus. chron. I 204 Diodor. 13, 82, 6, unde Exaenetum Agrigentinum 416 et 412 stadio vicisse constat 8 *μὲν ἐν* B 11 *θεωροῖς*] cf. infra A 11 26 *περιφερομένην* PF: *προσφερομένην* B 27 *πρὸς*] conicio *ὡς τε* BP: *μὲν* F. explica: et Telaugis epistula [cf. fr. 155] et Hippasi Brotinique magisterium fide carent *βροντίνου* BF

μὴ εἶναι ἀξιόπιστον. ὁ δὲ Θεόφραστος Παρμενίδου φησὶ ζηλωτὴν αὐτὸν γενέσθαι καὶ μιμητὴν ἐν τοῖς ποιήμασι· καὶ γὰρ ἐκεῖνον ἐν ἔπεσι τὸν περὶ φύσεως ἐξενεγκεῖν λόγον. Ἕρμιππος [FHG III 56
42 fr. 27] δὲ οὐ Παρμενίδου, Ξενοφάνους δὲ γεγονέναι ζηλωτήν,
5 ὥι καὶ συνδιατρῖψαι καὶ μιμήσασθαι τὴν ἐποποιίαν· ὕστερον δὲ τοῖς Πυθαγορικοῖς ἐντυχεῖν. Ἀλκιδάμας δ' ἐν τῶι Φυσικῶι [OA II 156[b]6 Sauppe] φησι κατὰ τοὺς αὐτοὺς χρόνους Ζήνωνα καὶ Ἐμπεδοκλέα ἀκοῦσαι Παρμενίδου, εἶθ' ὕστερον ἀποχωρῆσαι, καὶ τὸν μὲν Ζήνωνα κατ' ἰδίαν φιλοσοφῆσαι, τὸν δὲ Ἀναξαγόρου διακοῦσαι
10 καὶ Πυθαγόρου· καὶ τοῦ μὲν τὴν σεμνότητα ζηλῶσαι τοῦ τε βίου καὶ τοῦ σχήματος, τοῦ δὲ τὴν φυσιολογίαν. Ἀριστοτέλης δὲ ἐν 57
τῶι Σοφιστῆι [fr. 65] φησι πρῶτον Ἐμπεδοκλέα ῥητορικὴν εὑρεῖν, Ζήνωνα δὲ διαλεκτικήν. ἐν δὲ τῶι Περὶ ποιητῶν [fr. 70] φησιν ὅτι καὶ Ὁμηρικὸς ὁ Ἐμπεδοκλῆς καὶ δεινὸς περὶ τὴν φράσιν γέγονεν,
15 μεταφορητικός τε ὢν καὶ τοῖς ἄλλοις τοῖς περὶ ποιητικὴν ἐπιτεύγμασι χρώμενος· καὶ διότι γράψαντος αὐτοῦ καὶ ἄλλα ποιήματα τήν τε Ξέρξου διάβασιν καὶ προοίμιον εἰς Ἀπόλλωνα, ταῦθ' ὕστερον κατέκαυσεν ἀδελφή τις αὐτοῦ (ἡ Θυγάτηρ, ὥς φησιν Ἱερώνυμος [fr. 24 Hiller]) τὸ μὲν προοίμιον ἄκουσα, τὰ δὲ Περσικὰ βουληθεῖσα
20 διὰ τὸ ἀτελείωτα εἶναι. καθόλου δέ φησι καὶ τραγωιδίας αὐτὸν 58
γράψαι καὶ πολιτικούς· Ἡρακλείδης δὲ ὁ τοῦ Σαραπίωνος ἑτέρου φησὶν εἶναι τὰς τραγωιδίας. Ἱερώνυμος δὲ τρισὶ καὶ τετταράκοντά φησιν ἐντετυχηκέναι, Νεάνθης [FHG III 6 fr. 21] δὲ νέον ὄντα γεγραφέναι τὰς τραγωιδίας καὶ αὐτῶν ἑπτὰ ἐντετυχηκέναι. φησὶ
25 δὲ Σάτυρος ἐν τοῖς Βίοις [FHG III 162 fr. 12] ὅτι καὶ ἰατρὸς ἦν καὶ ῥήτωρ ἄριστος. Γοργίαν γοῦν τὸν Λεοντῖνον αὐτοῦ γενέσθαι μαθητήν, ἄνδρα ὑπερέχοντα ἐν ῥητορικῆι καὶ τέχνην ἀπολελοιπότα· ὃν φησιν Ἀπολλόδωρος ἐν Χρονικοῖς [FHG I 447 fr. 88] ἐννέα πρὸς τοῖς ἑκατὸν ἔτη βιῶναι. τοῦτόν φησιν ὁ Σάτυρος λέγειν, 59
30 ὡς αὐτὸς παρείη τῶι Ἐμπεδοκλεῖ γοητεύοντι. ἀλλὰ καὶ αὐτὸν διὰ τῶν ποιημάτων ἐπαγγέλλεσθαι τοῦτό τε καὶ ἄλλα πλείω, δι' ὧν φησι· ‘φάρμακα — ἀνδρός’ [fr. 111]. φησὶ δὲ καὶ Τίμαιος 60

---

1 φησὶ non in *Φυσικῶν δόξαις*, sed fortasse in *Περὶ λέξεως* 3 λόγον ἐξενεγκεῖν F 4 οὐ παρμενίδου corr. P[1]: ὁ παρμενίδου PB: om. F[1]: οὐ παρμενίδης F[2] 12 idem IX 25 cf. A 19 15 μεταφορητικός (—ρικός) BP[1]: μεταφορικός P[2]F; illa forma posterioribus usitatior (cf. e. g. κυκλοφορητικός) 16 διότι PF: δὴ ὅτι B 17 post τε add. τοῦ P[2]F 21 πολιτικούς (sc. λόγους) BPF: πολιτικά vulgo 21 σεραπίωνος F 24 αὐτὸν libri: correxi; αὐτὸς Cobet ἑπτὰ scripsi: ἔπειτα libri 29 ἑκατὸν] τεσσεράκοντα F[1] 30 παρείη P: παρῆναι B: παρήει F

ἐν τῇι ὀκτωκαιδεκάτηι [FHG I 215 fr. 94] *κατὰ πολλοὺς τρόπους τεθαυμάσθαι τὸν ἄνδρα. καὶ γὰρ ἐτησίων ποτὲ σφοδρῶς πνευσάντων ὡς τοὺς καρποὺς λυμήνασθαι, κελεύσας ὄνους ἐκδαρῆναι καὶ ἀσκοὺς ποιῆσαι περὶ τοὺς λόφους καὶ τὰς ἀκρωρείας διέτεινε πρὸς τὸ συλλαβεῖν τὸ πνεῦμα· λήξαντος δὲ Κωλυσανέμαν κληθῆναι. Ἡρακλείδης τε ἐν τῶι Περὶ νόσων* [fr. 75 Voss.] *φησὶ καὶ Παυσανίαι ὑφηγήσασθαι αὐτὸν τὰ περὶ τὴν ἄπνουν. ἦν δ' ὁ Παυσανίας, ὥς φησιν Ἀριστιππος καὶ Σάτυρος, ἐρώμενος αὐτοῦ, ὧι δὴ καὶ τὰ Περὶ φύσεως προσπεφώνηκεν οὕτως Παυσανίη — υἱέ* [fr. 1]. *ἀλλὰ καὶ ἐπίγραμμα εἰς αὐτὸν ἐποίησεν· Παυσανίην — ἀδύ-* 61
των [fr. 156]. *τὴν γοῦν ἄπνουν ὁ Ἡρακλείδης* [fr. 72 Voss] *φησὶ τοιοῦτόν τι εἶναι, ὡς τριάκοντα ἡμέρας συντηρεῖν ἄπνουν καὶ ἄσφυκτον τὸ σῶμα· ὅθεν εἶπεν αὐτὸν καὶ ἰητρὸν καὶ μάντιν, λαμβάνων ἅμα καὶ ἀπὸ τούτων τῶν στίχων· ὦ φίλοι — βάξιν* 62
[fr. 112]. *μέγαν δὲ τὸν Ἀκράγαντα εἰπεῖν φησι* [*ποταμὸν ἄλλα*], 63
ἐπεὶ μυριάδες αὐτὸν κατώικουν ὀγδοήκοντα· ὅθεν τὸν Ἐμπεδοκλέα εἰπεῖν τρυφώντων αὐτῶν· Ἀκραγαντῖνοι τρυφῶσι μὲν ὡς αὔριον ἀποθανούμενοι, οἰκίας δὲ κατασκευάζονται ὡς πάντα τὸν χρόνον βιωσόμενοι. *αὐτοὺς δὲ τούτους τοὺς Καθαρμοὺς* [*ἐν*] *Ὀλυμπίασι ῥαψωιδῆσαι λέγεται Κλεομένη τὸν ῥαψωιδόν, ὡς καὶ Φαβωρῖνος ἐν Ἀπομνημονεύμασι. φησὶ δ' αὐτὸν καὶ Ἀριστοτέλης* [fr. 66] *ἐλεύθερον γεγονέναι καὶ πάσης ἀρχῆς ἀλλότριον, εἴ γε τὴν βασιλείαν αὐτῶι διδομένην παρητήσατο, καθάπερ Ξάνθος ἐν τοῖς περὶ αὐτοῦ λέγει, τὴν λιτότητα δηλονότι πλέον ἀγαπήσας. τὰ δ' αὐτὰ καὶ Τίμαιος* 64
[FHG I 214 fr. 88 a] *εἴρηκε, τὴν αἰτίαν ἅμα παρατιθέμενος τοῦ*

---

1 *ὀκτωκαιδεκάτη*] *ιβ* verisimiliter Beloch 3 *λυμήνασθαι* Cobet: *λυμῆναι* BPF Suidas s. v. *ἄπνους* 4 *ποιεῖσθαι* Cobet *περί* BP¹F: *πρὸς* P² 6 *δὲ* vulgo (P?) 5 *κωλυσάνεμον* Suid. l. c. 11 *Ἡρακλείδης* Mercurialis: *ἡράκλειτος* P: *ἡράκλητος* BF 13 *ἄσφυκτον* Mercurialis (cf. Galen. VIII 414 K. *λέγεται γὰρ ἄπνους τε καὶ ἄσφυκτος ἐκείνη ἡ ἄνθρωπος γεγονέναι τῶν νεκρῶν ἐνὶ μόνωι διαλλάττουσα τῶι βραχεῖαν ἔχειν θερμότητα κατὰ τὰ μέσα μέρη τοῦ σώματος· ἐπιγέγραπται γοῦν τὸ βιβλίον Ἄπνους Ἡρακλείδου*): *ἄσηπτον* libri: *ἄσιτον* Suidas l. c. post *ὅθεν* add. *καὶ* P²F *ἰητρὸν* BP¹: *ἰατρὸν* P²F; cf. fr. 146, 1 *ποταμὸν ἀλλὰ* (vel *ἀλλ*) P²F. scholion antiquum [cf. Usener *Epic.* p. 21, 15] delevi; scilicet alia commentaria *Ἀκράγαντος* urbem, alia fluvium explicabant: *ποταμίλλα* BP¹ 15 *φησι* om. F; sc. Timaeus cf. § 61 16 *αὐτὴν* P¹: corr. P² *ὀγδοήκοντα*] multo minus Diodor. XIII 3 17 Platoni ab Ael. VH. XII 29 tribuitur, Diogeni cynico a Tertull. apol. 39, a Plutarcho de *avar.* 6 p. 525 B Stratonico 19 cf. A 12 *ἐν ὀλυμπιάδι ῥαψωδῆσαι* BP: *ἐν ὀλυμπίαι διαραψωδῆσαι* P²F: correxi ex Ath. *ἐν* ex v. 21 migravit 21 *ἐν* ante *ἀπομνημονεύμασι* om. BPF: add. B²P²

δημοτικὸν εἶναι τὸν ἄνδρα. φησὶ γὰρ ὅτι κληθεὶς ὑπό τινος τῶν ἀρχόντων, ὡς προβαίνοντος τοῦ πότου τὸ δεῖπνον οὐκ εἰσεφέρετο, τῶν [δ'] ἄλλων ἡσυχαζόντων, μισοπονήρως διατεθεὶς ἐκέλευσεν εἰσφέρειν· ὁ δὲ κεκληκὼς ἀναμένειν ἔφη τὸν τῆς βουλῆς ὑπηρέτην. ὡς δὲ παρεγένετο, ἐγενήθη συμποσίαρχος, τοῦ κεκληκότος δηλονότι καταστήσαντος, ὃς ὑπεγράφετο τυραννίδος ἀρχήν· ἐκέλευσε γὰρ ἢ πίνειν ἢ καταχεῖσθαι τῆς κεφαλῆς. τότε μὲν οὖν ὁ Ἐμπεδοκλῆς ἡσύχασε· τῇ δ' ὑστεραίαι εἰσαγαγὼν εἰς δικαστήριον ἀπέκτεινε καταδικάσας ἀμφοτέρους, τόν τε κλήτορα καὶ τὸν συμποσίαρχον. ἀρχὴ μὲν οὖν αὐτῶι τῆς πολιτείας ἥδε. πάλιν δὲ 65
Ἄκρωνος τοῦ ἰατροῦ τόπον αἰτοῦντος παρὰ τῆς βουλῆς εἰς κατασκευὴν πατρώιου μνήματος διὰ τὴν ἐν τοῖς ἰατροῖς ἀκρότητα παρελθὼν ὁ Ἐμπεδοκλῆς ἐκώλυσε, τά τε ἄλλα περὶ ἰσότητος διαλεχθεὶς καί τι καὶ τοιοῦτον ἐρωτήσας· 'τί δὲ ἐπιγράψομεν ἐλεγεῖον; ἢ τοῦτο; ἄκρον — ἀκροτάτης [fr. 157]'; τινὲς δὲ τὸν δεύτερον στίχον οὕτω προφέρονται,

'ἀκροτάτης κορυφῆς τύμβος ἄκρος κατέχει.'

τοῦτό τινες Σιμωνίδου φασὶν εἶναι. ὕστερον δ' ὁ Ἐμπεδοκλῆς 66
καὶ τὸ τῶν χιλίων ἄθροισμα κατέλυσε συνεστὼς ἐπὶ ἔτη τρία, ὥστε οὐ μόνον ἦν τῶν πλουσίων, ἀλλὰ καὶ τῶν τὰ δημοτικὰ φρονούντων. ὁ γέ τοι Τίμαιος ἐν τῆι ια καὶ ιβ [FHG om.] (πολλάκις γὰρ αὐτοῦ μνημονεύει) φησὶν ἐναντίαν ἐσχηκέναι γνώμην αὐτὸν τῆι τε πολιτείαι * * * φαίνεσθαι· ὅπου δὲ ἁλαζόνα καὶ φίλαυτον ἐν τῆι ποιήσει· φησί γοῦν· 'χαίρετ' — πωλεῦμαι' καὶ τὰ ἑξῆς [fr. 112, 4. 5]. καθ' ὃν δὲ χρόνον ἐπεδήμει Ὀλυμπίασιν, ἐπιστροφῆς ἠξιοῦτο πλείονος, ὥστε μηδενὸς ἑτέρου μνείαν γίγνεσθαι ἐν ταῖς ὁμιλίαις τοσαύτην ὅσην Ἐμπεδοκλέους. ὕστερον μέντοι τοῦ Ἀκράγαντος 67

---

2 τοῦ πότου τὸ δεῖπνον BP: τοῦ δείπνου τὸ ποτὸν F ὡς] καὶ libri 3 δ' del. Cobet 10 αὐτῶι Aldobrandinus: αὐτὴ (vel αὐτῆ vel αὖτη) libri ἥδε om. F 14 τι BP: ὅτι F 18 τοῦτον P^2 19 χιλιάδων F; si mille civium potentia illico post Thrasydaei cladem (ca. 470) instituta esset (de quo dubitari potest propter Diod. XI 53, 5 δημοκρατίαν), Empedoclem ca. 467 plenam libertatem attulisse credibile esset. at si Timaei haec excerpta cum Neanthe (§ 72) componas, conicias democratiam a Metone conditam post eius mortem ab oligarchis repressam, tum ab Empedocle instauratam esse διέλυσε B 19 συνεστὸς B 21 ια καὶ ιβ Beloch: πρώτηι καὶ δευτέραι libri πολλάκι P^1F 22 τῆι τε πολιτείαι φαίνεσθαι om. F; lacunam signavit sententiamque supplevit Reiske, quem in universum secutus propono ἐσχηκέναι γνώμην αὐτὸν ἔν τε τῆι πολιτείαι ⟨καὶ ἐν τῆι ποιήσει· ὅπου μὲν γὰρ μέτριον καὶ ἐπιεικῆ [ἐν τῆι πολιτείαι]⟩ φαίνεσθαι ὅπου δ' ἀλαζόνα καὶ φίλαυτον [ἐν τῆι ποιήσει]

οἰκιζομένου, ἀντέστησαν αὐτοῦ τῆι καθόδωι οἱ τῶν ἐχθρῶν ἀπόγονοι· διόπερ εἰς Πελοπόννησον ἀποχωρήσας ἐτελεύτησεν. οὐ παρῆκε δ' οὐδὲ τοῦτον ὁ Τίμων, ἀλλ' ὧδ' αὐτοῦ καθάπτεται λέγων· 'καὶ Ἐμπεδοκλῆς — ἄλλων' [fr. 49 W.].

περὶ δὲ τοῦ θανάτου διάφορός ἐστιν αὐτοῦ λόγος· Ἡρακλείδης [fr. 76 Voss] *μὲν γὰρ τὰ περὶ τῆς ἄπνου διηγησάμενος, ὡς ἐδοξάσθη Ἐμπεδοκλῆς ἀποστείλας τὴν νεκρὰν ἄνθρωπον ζῶσαν, φησὶν ὅτι θυσίαν συνετέλει πρὸς τῶι Πεισιάνακτος ἀγρῶι. συνεκέκληντο δὲ τῶν φίλων τινές, ἐν οἷς καὶ Παυσανίας. εἶτα μετὰ τὴν εὐ-* 68
ωχίαν οἱ μὲν ἄλλοι χωρισθέντες ἀνεπαύοντο, οἱ μὲν ὑπὸ τοῖς δένδροις ὡς ἀγροῦ παρακειμένου, οἱ δ' ὅπηι βούλοιντο, αὐτὸς δὲ ἔμεινεν ἐπὶ τοῦ τόπου ἐφ' οὗπερ κατεκέκλιτο. ὡς δὲ ἡμέρας γενηθείσης ἐξανέστησαν, οὐχ ηὑρέθη μόνος. ζητουμένου δὲ καὶ τῶν οἰκετῶν ἀναχρινομένων καὶ φασκόντων μὴ εἰδέναι, εἷς τις ἔφη μέσων νυκτῶν φωνῆς ὑπερμεγέθους ἀκοῦσαι προσκαλουμένης Ἐμπεδοκλέα, εἶτα ἐξαναστὰς ἑωρακέναι φῶς οὐράνιον καὶ λαμπάδων φέγγος, ἄλλο δὲ μηδέν· τῶν δὲ ἐπὶ τῶι γενομένωι ἐκπλαγέντων, καταβὰς ὁ Παυσανίας ἔπεμψέ τινας ζητήσοντας. ὕστερον δὲ ἐκώλυεν πολυπραγμονεῖν, φάσκων εὐχῆς ἄξια συμβεβηκέναι καὶ θύειν αὐτῶι δεῖν καθαπερεὶ γεγονότι θεῶι. Ἕρμιππος [FHG III 42 69
fr. 27] *δέ φησι Πάνθειάν τινα Ἀκραγαντίνην ἀπηλπισμένην ὑπὸ τῶν ἰατρῶν θεραπεῦσαι αὐτὸν καὶ διὰ τοῦτο τὴν θυσίαν ἐπιτελεῖν· τοὺς δὲ κληθέντας εἶναι πρὸς τοὺς ὀγδοήκοντα. Ἱππόβοτος* [Heraclidis fr. 77 Voss] *δέ φησιν ἐξαναστάντα αὐτὸν ὠδευκέναι ὡς ἐπὶ τὴν Αἴτνην, εἶτα παραγενόμενον ἐπὶ τοὺς κρατῆρας τοῦ πυρὸς ἐναλέσθαι καὶ ἀφανισθῆναι, βουλόμενον τὴν περὶ αὐτοῦ φήμην βεβαιῶσαι ὅτι γεγόνοι θεός, ὕστερον δὲ γνωσθῆναι, ἀναρριπισθείσης αὐτοῦ μιᾶς τῶν κρηπίδων· χαλκᾶς γὰρ εἴθιστο ὑποδεῖσθαι. πρὸς τοῦθ' ὁ Παυσανίας ἀντέλεγε. (Διόδωρος δ' ὁ Ἐφέσιος περὶ* 70
Ἀναξιμάνδρου γράφων φησὶν ὅτι τοῦτον ἐζηλώκει, τραγικὸν ἀσκῶν τῦφον καὶ σεμνὴν ἀναλαβὼν ἐσθῆτα). τοῖς Σελινουντίοις ἐμπεσόντος

---

1 locus dubius. *οἰκιζομένου* post 405? cf. 74, 16. 75, 7 3 *δ'* P^2F: *τ'* BP *ἀλλ' ὧδ'* Q(descr. ex P^1): *ἄλλων δ'* BP^2F 5 *τοῦ* om. F *αὐτοῦ* post *θανάτου* transp. edd. *λόγος* BP: *ὁ λόγος* F 13 *ηὑρέθη* P^1: *εὑρέθη* P^2BF 15 *μέσον νυκτὸς φωνῆς ἐπακοῦσαι ὑπερμεγέθους* F 18 *ἐκώλυε* Reiske: *ἐκωλύθη* libri: *ἐκώλυσε* Cobet 20 *δεῖ* P^2F *γεγονότι* om. F 29 *Παυσανίας*] scil. in Heraclidis dialogo *θεόδωρος* F § 70 intempestive inter Hippoboti eclogam inserta 31 post *τοῖς* add. *δὲ* P^2, at turbarum vestigium non delendum

Selinuntiorum memoria e nummis quinti saeculi (Head *hist. num.* 147 sqq.) translata

λοιμοῦ διὰ τὰς ἀπὸ τοῦ παρακειμένου ποταμοῦ δυσωδίας, ὥστε καὶ αὐτοὺς φθείρεσθαι καὶ τὰς γυναῖκας δυστοκεῖν, ἐπινοῆσαι τὸν Ἐμπεδοκλέα καὶ δύο τινὰς ποταμοὺς τῶν σύνεγγυς ἐπαγαγεῖν ἰδίαις δαπάναις· καὶ καταμίξαντα γλυκῆναι τὰ ῥεύματα. οὕτω δὴ λήξαντος τοῦ λοιμοῦ καὶ τῶν Σελινουντίων εὐωχουμένων ποτὲ παρὰ τῶι ποταμῶι, ἐπιφανῆναι τὸν Ἐμπεδοκλέα· τοὺς δ' ἐξαναστάντας προσκυνεῖν καὶ προσεύχεσθαι καθαπερεὶ θεῶι. ταύτην οὖν θέλοντα βεβαιῶσαι τὴν διάληψιν εἰς τὸ πῦρ ἐναλέσθαι. τούτοις 71
δ' ἐναντιοῦται Τίμαιος [FHG I 218 fr. 98] ῥητῶς λέγων ὡς ἐξεχώρησεν εἰς Πελοπόννησον καὶ τὸ σύνολον οὐκ ἐπανῆλθεν· ὅθεν αὐτοῦ καὶ τὴν τελευτὴν ἄδηλον εἶναι. πρὸς δὲ τὸν Ἡρακλείδην καὶ ἐξ ὀνόματος ποιεῖται τὴν ἀντίρρησιν ἐν τῆι ιδ· Συρακόσιόν τε γὰρ εἶναι τὸν Πεισιάνακτα καὶ ἀγρὸν οὐκ ἔχειν ἐν Ἀκράγαντι· Παυσανίαν τε μνημεῖον ⟨ἂν⟩ πεποιηκέναι τοῦ φίλου, τοιούτου διαδοθέντος λόγου, ἢ ἀγαλμάτιόν τι ἢ σηκὸν οἷα θεοῦ· καὶ γὰρ πλούσιον εἶναι. 'πῶς οὖν, φησίν, εἰς τοὺς κρατῆρας ἤλατο ὢν σύνεγγυς ὄντων οὐδὲ μνείαν ποτὲ ἐπεποίητο; τετελεύτηκεν οὖν ἐν Πελοποννήσωι. οὐδὲν δὲ παράδοξον τάφον αὐτοῦ μὴ φαίνεσθαι· 72
μηδὲ γὰρ ἄλλων πολλῶν.' τοιαῦτά τινα εἰπὼν ὁ Τίμαιος ἐπιφέρει· 'ἀλλὰ διὰ παντός ἐστιν Ἡρακλείδης τοιοῦτος παραδοξολόγος, καὶ ἐκ τῆς σελήνης πεπτωκέναι ἄνθρωπον λέγων.' Ἱππόβοτος δέ φησιν ὅτι ἀνδριὰς ἐγκεκαλυμμένος Ἐμπεδοκλέους ἔκειτο πρότερον μὲν ἐν Ἀκράγαντι, ὕστερον δὲ πρὸ τοῦ Ῥωμαίων βουλευτηρίου ἀκάλυφος δηλονότι μεταθέντων αὐτὸν ἐκεῖ Ῥωμαίων. γραπταὶ μὲν γὰρ εἰκόνες καὶ νῦν περιφέρονται. Νεάνθης δ' ὁ Κυζικηνὸς ὁ καὶ περὶ τῶν Πυθαγορικῶν εἰπών φησι [FHG III 6 fr. 22] Μέτωνος τελευτήσαντος τυραννίδος ἀρχὴν ὑποφύεσθαι· εἶτα τὸν Ἐμπεδοκλέα πεῖσαι τοὺς Ἀκραγαντίνους παύσασθαι μὲν τῶν στάσεων, ἰσότητα δὲ πολιτικὴν ἀσκεῖν. ἔτι τε πολλὰς τῶν πολιτίδων ἀπροίκους ὑπαρχούσας 73
αὐτὸν προικίσαι διὰ τὸν παρόντα πλοῦτον· διὸ δὴ πορφύραν τε ἀναλαβεῖν αὐτὸν καὶ στρόφιον ἐπιθέσθαι χρυσοῦν, ὡς Φαβωρῖνος ἐν Ἀπομνημονεύμασιν, ἔτι τ' ἐμβάτας χαλκᾶς καὶ στέμμα Δελφικόν. κόμη τε ἦν αὐτῶι βαθεῖα καὶ παῖδες ἀκόλουθοι· καὶ αὐτὸς ἀεὶ σκυθρωπὸς ἐφ' ἑνὸς σχήματος ἦν. τοιοῦτος δὴ προήιει, τῶν πολιτῶν ἐντυχόντων καὶ τοῦτο ἀξιωσάντων οἱονεὶ βασιλείας τινὸς παρά-

---

4 γλυκῆναι BF: γλυκύναι P¹: γλυκάναι P² δὲ F 8 διαβεβαιῶσαι FP² 9 ἐξεώρησεν B 12 ιδ scripsi: δ libri 14 ἂν add. C. Müller 16 ὢν ὡς et 17 πεποίηται inscite Cobet 19 οὐδὲ scripserat Timaeus 24 εἰκόνες Sturz: εἰσι τινὲς libri 34 ἦν σχήματος F

σημον. ὕστερον δὲ διά τινα πανήγυριν πορευόμενον ἐπ' ἀμάξης ὡς εἰς Μεσσήνην πεσεῖν καὶ τὸν μηρὸν κλάσαι· νοσήσαντα δ' ἐκ τούτου τελευτῆσαι ἐτῶν ἑπτὰ καὶ ἑβδομήκοντα. εἶναι δ' αὐτοῦ καὶ τάφον ἐν Μεγάροις. περὶ δὲ τῶν ἐτῶν Ἀριστοτέλης δια- 74
φέρεται· φησὶ γὰρ ἐκεῖνος ἑξήκοντα ἐτῶν αὐτὸν τελευτῆσαι· οἱ δὲ ἐννέα καὶ ἑκατόν. ἤκμαζε δὲ κατὰ τὴν τετάρτην καὶ ὀγδοηκοστὴν ὀλυμπιάδα [444/1]. *Δημήτριος δ' ὁ Τροιζήνιος ἐν τῶι Κατὰ σοφιστῶν βιβλίωι* [FHG IV 383] *φησὶν αὐτὸν καθ' Ὅμηρον*

ἁψάμενον βρόχον αἰπὺν ἀφ' ὑψηλοῖο κρανείης
αὐχέν' ἀποκρεμάσαι, ψυχὴν δ' Ἀΐδόσδε κατελθεῖν.

ἐν δὲ τῶι προειρημένωι Τηλαύγους ἐπιστολίωι λέγεται αὐτὸν εἰς θάλατταν ὑπὸ γήρως ὀλισθόντα τελευτῆσαι. καὶ ταῦτα μὲν περὶ τοῦ θανάτου καὶ τοσαῦτα.

φέρεται δὲ καὶ ἡμῶν εἰς αὐτὸν ἐν τῆι Παμμέτρωι σκωπτικὸν μέν, τοῦτον δ' ἔχον τὸν τρόπον·

καὶ σύ ποτ', Ἐμπεδόκλεις, διερῆι φλογὶ σῶμα καθήρας 75
πῦρ ἀπὸ κρατήρων ἔκπιες ἀθάνατον·
οὐκ ἐρέω δ' ὅτι σαυτὸν ἑκὼν βάλες ἐς ῥόον Αἴτνης,
ἀλλὰ λαθεῖν ἐθέλων ἔμπεσες οὐκ ἐθέλων.

καὶ ἄλλο·

ναὶ μὴν Ἐμπεδοκλῆα θανεῖν λόγος ὥς ποτ' ἀμάξης
ἔκπεσε καὶ μηρὸν κλάσσατο δεξιτερόν·
εἰ δὲ πυρὸς κρατῆρας ἐσήλατο καὶ πίε τὸ ζῆν,
πῶς ἂν ἔτ' ἐν Μεγάροις δείκνυτο τοῦδε τάφος;

ἐδόκει δ' αὐτῶι τάδε· στοιχεῖα μὲν εἶναι τέτταρα, πῦρ, ὕδωρ, 76
γῆν, ἀέρα· Φιλίαν τε ἧι συγκρίνεται καὶ Νεῖκος ὧι διακρίνεται. φησὶ δ' οὕτω· 'Ζεὺς — βρότειον' [fr. 6, 2. 3], *Ἥλιον μὲν τὸ πῦρ λέγων, Ἥρην δὲ τὴν γῆν, Ἀϊδωνέα δὲ τὸν ἀέρα, Νῆστιν δὲ τὸ ὕδωρ. 'καὶ ταῦτα, φησίν, ἀλλάττοντα — λήγει'* [fr. 17, 6], *ὡς ἂν ἀιδίου τῆς τοιαύτης διακοσμήσεως οὔσης· ἐπιφέρει γοῦν· 'ἄλλοτε — ἔχθει'* [fr. 17, 7. 8]. *καὶ τὸν μὲν ἥλιόν φησι πυρὸς ἄθροισμα* 77
μέγα καὶ τῆς σελήνης μεῖζω· τὴν δὲ σελήνην δισκοειδῆ, αὐτὸν δὲ τὸν οὐρανὸν κρυσταλλοειδῆ. καὶ τὴν ψυχὴν παντοῖα εἴδη ζώιων καὶ φυτῶν ἐνδύεσθαι· φησὶ γοῦν· 'ἤδη — ἰχθύς' [fr. 117].

τὰ μὲν οὖν Περὶ φύσεως αὐτῶι καὶ οἱ Καθαρμοὶ εἰς ἔπη

---

1 *ἐφ' ἁμάξης* B²F 6 *ἐννέα καὶ ἑκατόν*] a Gorgia discipulo translatum cf. Quint. III 1, 8. 9 7 *δημόκριτος* F 8 *Ὅμηρον*] λ 278 11 *προειρημένωι*] § 55 17 *κρητήρων* P² *ἀθάνατον* Anth. Pal. VII 124: *θάνατον* libri cf. v. 23 23 *κἄκπιε* Casaubonus

τείνουσι πεντακισχίλια, ὁ δὲ Ἰατρικὸς λόγος εἰς ἔπη ἑξακόσια. περὶ δὲ τῶν τραγωιδιῶν προειρήκαμεν.

1 πεντακισχίλια] πάντα τρισχίλια proposui *Berl. Sitz.* 1898, 398 cf. A 2, 21 2 προειρήκαμεν] § 58.

2. SUIDAS.

Ἐμπεδοκλῆς Μέτωνος, οἱ δὲ Ἀρχινόμου [ex Hesychio], οἱ δ' Ἐξαινέτου. καὶ ἀδελφὸν ἔσχε Καλλικρατίδην [ex Laert. § 58].

ἠκροάσατο δὲ πρώτου Παρμενίδου, οὗτινος, ὥς φησι Πορφύριος ἐν Φιλοσόφωι ἱστορίαι, ἐγένετο παιδικά. οἱ δὲ ἔφασαν μαθητὴν Τηλαύγους, τοῦ Πυθαγόρου υἱοῦ, τὸν Ἐμπεδοκλέα γενέσθαι [ex Porphyr. Hist. philos. fr. 8 Nauck]

Ἀκραγαντῖνος δὲ φιλόσοφος φυσικὸς καὶ ἐποποιός [ex Hesych.] οὗτος ὁ Ἐμπεδοκλῆς στέμμα ἔχων ἐπὶ τῆς κεφαλῆς χρυσοῦν καὶ ἀμύκλας ἐν τοῖς ποσὶ χαλκᾶς καὶ στέμματα Δελφικὰ ἐν ταῖς χερσὶν ἐπήιει τὰς πόλεις, δόξαν περὶ αὑτοῦ κατασχεῖν ὡς περὶ θεοῦ βουλόμενος. ἐπειδὴ δὲ γηραιὸς ἐγένετο, νύκτωρ ἔρριψεν ἑαυτὸν εἰς κρατῆρα πυρός, ὥστε μὴ φανῆναι αὐτοῦ τὸ σῶμα. καὶ οὕτως ἀπώλετο τοῦ σανδαλίου αὐτοῦ ἐκβρασθέντος ὑπὸ τοῦ πυρός. ἐπεκλήθη δὲ καὶ Κωλυσανέμας διὰ τὸ ἀνέμου πολλοῦ ἐπιθεμένου τῆι Ἀκράγαντι ἐξελάσαι αὐτὸν δορὰς ὄνων περιθέντα τῆι πόλει [ex Porph. cf. A 16].

γέγονε δὲ τούτου μαθητὴς Γοργίας ὁ ῥήτωρ ὁ Λεοντῖνος [ex Laert. § 53].

καὶ ἔγραψε δι' ἐπῶν Περὶ φύσεως τῶν ὄντων βιβλία $\overline{\beta}$ (καὶ ἔστιν ἔπη ὡς δισχίλια), Ἰατρικὰ καταλογάδην καὶ ἄλλα πολλά [ex Hes.].

5 παιδικά] Platonis Parm. 127 A [supra p. 50, 6] memoriam confudit 20 $\overline{\beta}$ libri: $\overline{\gamma}$ (fortasse ex Tzetzae Chil. VII 522) editor princeps Demetrius Chalcondyles 21 Ἰατρικὰ — Ἰατρικὸς λόγος Laert. § 77.

3. PLINIUS Nat. Hist XXIX 1, 5 *alia factio (ab experimentis cognominant empiricen) coepit in Sicilia, Acrone Agragantino Empedoclis physici auctoritate commendato.* SUID. s. v. Ἄκρων, Ἀκραγαντῖνος υἱὸς Ξένωνος . ἐσοφίστευσεν ἐν ταῖς Ἀθήναις ἅμα Ἐμπεδοκλεῖ. ἔστιν οὖν πρεσβύτερος Ἱπποκράτους. ἔγραψε Περὶ ἰατρικῆς δωρίδι διαλέκτωι, Περὶ τροφῆς ὑγιεινῶν βιβλίον ἄ. ἔστι δὲ καὶ οὗτος τῶν τινα πνεύματα σημειωσαμένων. εἰς τοῦτον ἐποίησεν Ἐ. τωθαστικὸν ἐπίγραμμα [fr. 157]. PLUT. de Is. et Os. 80 p. 383 B Ἄκρωνα γοῦν τὸν ἰατρὸν ἐν Ἀθήναις ὑπὸ τὸν μέγαν λοιμὸν εὐδοκιμῆσαι λέγουσι πῦρ κελεύ-

οντα παρακαλειν τοῖς νοσοῦσιν. [cf. M. Wellmann *Fr. d. gr. Ärzte* I 108 sqq.] GALEN. meth. ther. I 1 [X 5 K.] *καὶ πρόσθεν μὲν ἔρις ἦν οὐ σμικρὰ νικῆσαι τῶι πλήθει τῶν εὑρημάτων ἀλλήλους ὀριγνωμένων τῶν ἐν Κῶι καὶ Κνίδωι· ἀττὸν γὰρ ἔτι τοῦτο τὸ γένος ἦν τῶν ἐπὶ τῆς Ἀσίας Ἀσκληπιαδῶν ἐκλιπόντος τοῦ κατὰ Ῥόδον· ἤριζον δ' αὐτοῖς τὴν ἀγαθὴν ἔριν ἐκείνην, ἣν Ἡσίοδος ἐπήινει καὶ οἱ ἐκ τῆς Ἰταλίας ἰατροί, Φιλιστίων τε καὶ Ἐμπεδοκλῆς καὶ Παυσανίας καὶ οἱ τούτων ἑταῖροι.*

4. ARIST. de anima A 2. 405^{b}1 *τῶν δὲ φορτικωτέρων καὶ ὕδωρ τινὲς ἀπεφήναντο καθάπερ Ἵππων· πεισθῆναι δ' ἐοίκασιν ἐκ τῆς γονῆς ὅτι πάντων ὑγρά. καὶ γὰρ ἐλέγχει τοὺς αἷμα φάσκοντας τὴν ψυχήν, ὅτι ἡ γονὴ οὐχ αἷμα.* Empedoclis, non popularem quandam opinionem, tangi ab Hippone veri simile cf. Hippocr. q. f. de morb. I 30 [VI 200 L.] *τὸ αἷμα τὸ ἐν τῶι ἀνθρώπωι πλεῖστον ξυμβάλλεται μέρος συνέσιος· ἔνιοι δὲ λέγουσι τὸ πᾶν.* de sacro morbo 17 [VI 392 L.] *λέγουσι δέ τινες ὡς φρονέομεν τῆι καρδίηι καὶ τὸ ἀνιώμενον τοῦτό ἐστι καὶ τὸ φροντίζον· τὸ δὲ οὐχ οὕτως ἔχει.* inter aequales etiam Ion Chius Empedoclis doctrinam tangere videtur, qui dum incipit *ἀρχὴ δέ μοι τοῦ λόγου· πάντα τρία καὶ ⟨οὐδὲν⟩ πλέον οὐδὲ ἔλασσον τούτων τῶν τριῶν. ἑνὸς ἑκάστου ἀρετὴ τριάς. σύνεσις καὶ κράτος καὶ τύχη* et naturae elementa tum recenset tria *πῦρ, γῆν, ὕδωρ* (Philop. d. gen. et corr. 207, 17. 227, 12) quaternionem istius oblique significaverit voce *πλέον* (cf. Isocr. antid. 268).

5. SUIDAS s. v. *Ζήνων Τελεναγόρου Ἐλεάτης φιλόσοφος τῶν ἐγγιζόντων Πυθαγόραι καὶ Δημοκρίτωι κατὰ τοὺς χρόνους (ἦν γὰρ ἐπὶ τῆς $\overline{\text{οη}}$ ὀλυμπιάδος)* [468—5] *μαθητὴς Ξενοφάνους ἢ Παρμενίδου. ἔγραψεν Ἐριδας, Ἐξήγησιν τῶν Ἐμπεδοκλέους, Πρὸς τοὺς φιλοσόφους περὶ φύσεως. — τοῦτόν φασιν εὑρετὴν εἶναι τῆς διαλεκτικῆς, ὡς Ἐμπεδοκλέα τῆς ῥητορικῆς.* extrema e Laertio IX 25 sqq. — Hesychii catalogum librorum genuinum credo; *ἐξήγησιν commentarium criticum* explicavi *Berl. Sitz.* 1884, 359^{2}. 1898, 408^{2}.

6. ARISTOT. Metaph. A 3. 984^{a}11 *Ἀναξαγόρας δὲ ὁ Κλαζομένιος τῆι μὲν ἡλικίαι πρότερος ὢν τούτου* [Empedocle], *τοῖς δ' ἔργοις ὕστερος ἀπείρους εἶναί φησι τὰς ἀρχάς.* *'Anaxagoram quod dicit Aristoteles aetate priorem esse Empedocle τοῖς δ' ἔργοις ὕστερον, illud quidem apparet τὰ ἔργα ipsam eius esse doctrinam et philosophiam. sed ὕστερος dubium est utrum ad tempus referendum sit quo vel coeperit philosophari vel placita sua proposuerit Anaxagoras, an ad doctrinae Anaxagoreae dignitatem et auctoritatem.'* Bonitz comm. p. 67, qui alteram explicationem recte magis Aristoteleam dixit.

7. SIMPLICIUS phys. 25, 19 e Theophrasti Phys. Op. [fr. 3. 477, 17 Dox.] *Ἐμπεδοκλῆς ὁ Ἀκραγαντῖνος οὐ πολὺ κατόπιν τοῦ Ἀναξαγόρου γεγονώς, Παρμενίδου δὲ ζηλωτὴς καὶ πλησιαστὴς καὶ ἔτι μᾶλλον τῶν Πυθαγορείων.* cf. A 1 § 54. SUID. s. v. *Ἀρχύτας* in additamento *τοῦτον φανερῶς γενέσθαι διδάσκαλον Ἐμπεδοκλέους.* pertinet fortasse ad Alcmaeonem.

8. Eus. P. E. X 14, 15 [ex anonymo biographo] *Τηλαύγους δὲ Ἐ. ἀκουστὴς γίνεται, καθ' ὃν Ἡράκλειτος ὁ σκοτεινὸς ἐγνωρίζετο* (i. e. Ol. 69 [504—1] sec. Chron.).

9. IDEM Chron. sub ol. 81, 1 [456] *Ἐ. καὶ Παρμενίδης φυσικοὶ φιλόσοφοι ἐγνωρίζοντο.* GELL. XVII 21, 14 [fort. ex Nepotis Chronicis] inter cladem

Cremerensem [477] et decemviros [450]: *iuxta ea tempora E. Agrigentinus in philosophiae naturalis studio floruit.*

10. Eus. Chron. sub ol. 86, 1 [436] cf. p. 51 n. 11 b.

11. Athen. I 3 E [hinc Suid. s. v. *Ἀθήναιος*] *Ἐμπεδοκλῆς δ' ὁ Ἀκραγαντῖνος ἵπποις Ὀλύμπια νικήσας Πυθαγορικὸς ὢν καὶ ἐμψύχων ἀπεχόμενος ἐκ σμύρνης καὶ λιβανωτοῦ καὶ τῶν πολυτελεστάτων ἀρωμάτων βοῦν ἀναπλάσας διένειμε τοῖς εἰς τὴν πανήγυριν ἀπαντήσασιν.* victoria aut avi (A 1 § 51) aut Exaeneti f. (ib. 53) in eum translata.

12. Idem XIV 620 D *τοὺς δ' Ἐμπεδοκλέους Καθαρμοὺς ἐραψῳδησεν Ὀλυμπίασι Κλεομένης ὁ ῥαψῳδός, ὥς φησιν Δικαίαρχος ἐν τῶι Ὀλυμπικῶι* [FHG II 249 fr. 47].

13. Nicomachus (restitutus ex Porph. V. Pyth. 29, Iamb. V. P. 135) de Pythagorae miraculis praefatus: *ὧν μεταλαβόντας Ἐμπεδοκλέα τε τὸν Ἀκραγαντῖνον καὶ Ἐπιμενίδην τὸν Κρῆτα καὶ Ἄβαριν τὸν Ὑπερβόρειον πολλαχῆι καὶ αὐτοὺς τοιαῦτά τινα ἐπιτετελεκέναι. δῆλα δ' αὐτῶν τὰ ποιήματα ὑπάρχει, ἄλλως τε καὶ ἀλεξανέμας μὲν ὂν τὸ ἐπώνυμον Ἐμπεδοκλέους, καθαρτὴς δὲ τὸ Ἐπιμενίδου, αἰθροβάτης δὲ τὸ Ἀβάριδος.*

14. Plutarch. de curios. 1 p. 515 C *ὁ δὲ φυσικὸς Ἐμπεδοκλῆς ὄρους τινὰ διασφάγα βαρὺν καὶ νοσώδη κατὰ τῶν πεδίων τὸν νότον ἐμπνέουσαν* [*ἐκπνέουσαν* Reiske] *ἐμφράξας λοιμὸν ἔδοξεν ἐκκλεῖσαι τῆς χώρας.* Idem adv. Colot. 32, 4 p. 1126 B *Ἐ. δὲ τούς τε πρώτους τῶν πολιτῶν ὑβρίζοντας καὶ διαφοροῦντας τὰ κοινὰ* ⟨*ἐξέβαλεν*⟩ *ἐξελέγξας τήν τε χώραν ἀπήλλαξεν ἀκαρπίας καὶ λοιμοῦ διασφάγας ὄρους ἀποτειχίσας δι' ὧν ὁ νότος εἰς τὸ πεδίον ὑπερέβαλλε.* Clem. Strom. VI 30 p. 754 P. *Ἐ. τε ὁ Ἀκραγαντῖνος Κωλυσανέμας ἐπεκλήθη. λέγεται οὖν ἀπὸ τοῦ Ἀκράγαντος ὄρους πνέοντός ποτε ἀνέμου βαρὺ καὶ νοσῶδες τοῖς ἐγχωρίοις, ἀλλὰ καὶ ταῖς γυναιξὶν αὐτῶν ἀγονίας αἴτιον γινομένου παῦσαι τὸν ἄνεμον.* citantur tum fr. 111, 3—5. 112, 10—12. Philostrat. V. Apoll. VIII 7, 8 p. 158 *τίς δ' ἂν σοφὸς ἐκλιπεῖν σοι δοκεῖ τὸν ὑπὲρ πόλεως τοιαύτης ἀγῶνα, ἐνθυμηθεὶς μὲν Δημόκριτον ἐλευθερώσαντα λοιμοῦ ποτε Ἀβδηρίτας, ἐννοήσας δὲ Σοφοκλέα τὸν Ἀθηναῖον, ὃς λέγεται καὶ ἀνέμους θέλξαι τῆς ὥρας πέρα πνεύσαντας, ἀκηκοὼς δὲ τὰ Ἐμπεδοκλέους ὃς νεφέλης ἀνέσχε φορὰν ἐπ' Ἀκραγαντίνους ῥαγείσης;* cf. I 2 *Ἐ. τε γὰρ καὶ Πυθαγόρας αὐτὸς καὶ Δημόκριτος ὁμιλήσαντες μάγοις καὶ πολλὰ δαιμόνια εἰπόντες οὔπω ὑπήχθησαν τῆι τέχνηι.* Plin. h. nat. 30, 1, 9 *certe Pythagoras, E., Democritus, Plato ad hanc* [sc. magicen] *discendam navigavere exiliis verius quam peregrinationibus susceptis. hanc reversi praedicavere, hanc in arcanis habuere.*

15. Iamblich. V. Pyth. 113 [ex Nicomacho] *Ἐμπεδοκλῆς δὲ σπασαμένου τὸ ξίφος ἤδη νεανίου τινὸς ἐπὶ τὸν αὐτοῦ ξενοδόχον Ἄγχιτον, ἐπεὶ δικάσας δημοσίαι τὸν τοῦ νεανίου πατέρα ἐθανάτωσε καὶ ἁλόντος ὡς εἶχε συγχύσεως καὶ θυμοῦ, ξιφήρους παῖσαι τὸν τοῦ πατρὸς καταδικαστὴν ὡσανεὶ φονέα Ἄγχιτον, μεθαρμοσάμενος ὡς εἶχε τὴν λύραν καὶ πεπαντικόν τι μέλος καὶ κατασταλτικὸν μεταχειρισάμενος εὐθὺς ἀνεκρούσατο τὸ Νηπενθὲς ἄχολόν τε κακῶν ἐπίληθες ἁπάντων' κατὰ τὸν ποιητήν* [δ 221], *καὶ τόν τε ἑαυτοῦ ξενοδόχον Ἄγχιτον θανάτου ἐρρύσατο καὶ τὸν νεανίαν ἀνδροφονίας. ἱστορεῖται δ' οὗτος τῶν Ἐμπεδοκλέους γνωρίμων ὁ δοκιμώτατος ἔκτοτε γενέσθαι* [hinc Plan. in Herm.

V 459, 1 Walz]. fabula a Pythagoreis posterioribus ex fr. 1 concinnata; adulescens intellegitur sine dubio Pausanias Anchiti filius. itaque inepte patris nomen translatum ad hospitem, quod num Iamblichus an Nicomachus an princeps auctor confuderit, nescitur, cum idem referens e Nic. Boethius de mus. I 1 p. 185, 23 Friedl. nomen taceat.

16. Strabo VI p. 274 *νομίζειν δ' ἐκ τῆς τοιαύτης ὄψεως* [Aetnae] *πολλὰ μυθεύεσθαι καὶ μάλιστα οἷά φασί τινες περὶ Ἐμπεδοκλέους, ὅτι καθάλοιτο εἰς τὸν κρατῆρα καὶ καταλίποι τοῦ πάθους ἴχνος τῶν ἐμβάδων τὴν ἑτέραν ἃς ἐφόρει χαλκᾶς. εὑρεθῆναι γὰρ ἔξω μικρὸν ἄπωθεν τοῦ χείλους τοῦ κρατῆρος ὡς ἀνερριμμένην ὑπὸ τῆς βίας τοῦ πυρός* [cf. p. 276].

Horat. Art. Poet. 458

si veluti merulis intentus decidit auceps
in puteum foveamve, licet 'succurrite' longum
clamet 'io cives!' non sit qui tollere curet.
si curet quis opem ferre et demittere funem
'qui scis, an prudens huc se deiecerit atque
servari nolit?' dicam, Siculique poetae
narrabo interitum. deus immortalis haberi
dum cupit Empedocles, ardentem frigidus Aetnam
insiluit. sit ius liceatque perire poetis:
invitum qui servat, idem facit occidenti.

Claudian XVII 72

alter in Aetnaeas casurus sponte favillas
dispergit revocatque deum rursusque receptis
nectit amicitiis quidquid discordia solvit.

Gregorius naz. carm. II 7, 281 sqq. [XXXVII 1573 Migne]

Ἐμπεδόκλεις, σέ μὲν αὐτίκ' ἐτώσια φυσιόωντα
καὶ βροτὸν Αἰτναίοιο πυρὸς κρητῆρες ἔδειξαν
σάνδαλ' ἀποβράσσαντες ἐλαφρονόοιο θεοῖο
χάλκεα καί σε βροτοῖσιν ἐπαίσχεα πᾶσιν ἔθηκαν
κύδεος ἱμείροντα δι' ἅλματος αἰνομόροιο.

(cf. II 69). ex Porphyrio cf. A 2, 14. idem tangunt Lucian. Fugitiv. 2 saepe alias. Tertull. Apol. 50 al. Tatian. 3. Lactant. inst. d. III 18, 5. Herm. irris. 8.

17. [Arist.] Probl. 30, 1 p. 953ª26 *τῶν δὲ ὕστερον Ἐ. καὶ Πλάτων καὶ Σωκράτης καὶ ἕτεροι συχνοὶ τῶν γνωρίμων* (scil. melancholici erant) cf. Luc. fug. 2 post saltum in Aetnam commemoratum *μελαγχολίαν τινὰ δεινὴν λέγεις.*

18. Aelian V. H. XII 32 *Ἐμπεδοκλῆς δὲ ὁ Ἀκραγαντῖνος ἀλουργεῖ ἐχρήσατο καὶ ὑποδήμασι χαλκοῖς* [cf. Favorin. A 1 § 73]. Philostr. V. Ap. VIII 7 p. 156 *Ἐ. μὲν γὰρ καὶ στρόφιον τῶν ἀλουργοτάτων περὶ αὐτὴν* [sc. *τὴν κόμην*] *ἁρμόσας ἐσόβει περὶ τὰς τῶν Ἑλλήνων ἀγυιὰς ὕμνους ξυντιθείς, ὡς θεὸς ἐξ ἀνθρώπου ἔσοιτο* [cf. fr. 112, 6 sqq.].

19. Sextus adv. math. VII 6 *Ἐμπεδοκλέα μὲν γὰρ ὁ Ἀριστοτέλης* (in Sophista cf. A 1 § 57) *φησὶ πρῶτον ῥητορικὴν κεκινηκέναι.* ex eiusdem Aristotelis *Συναγωγῇ τεχνῶν* Quint. III 1, 8 *nam primus post eos quos poetae tradiderunt movisse aliqua circa rhetoricen Empedocles dicitur . artium autem*

scriptores antiquissimi Corax et Tisias Siculi, quos insecutus est vir eiusdem insulae Gorgias Leontinus, Empedoclis, ut traditur, discipulus. cf. Arist. soph. el. 33 p. 183^{b} 31 *οἱ δὲ νῦν εὐδοκιμοῦντες* [sc. *ῥήτορες*] *παραλαβόντες παρὰ πολλῶν οἷον ἐκ διαδοχῆς κατὰ μέρος προαγαγόντων οὕτως ηὐξήκασι Τεισίας μὲν μετὰ τοὺς πρώτους* [i. e. Homericos oratores] *Θρασύμαχος δὲ μετὰ Τεισίαν κτλ.* Schol. Iamblich. V. P. p. 198 ed. Nauck *ὅτι καὶ ὁ Παρμενίδης ὁ ἐξ Ἐλέας Πυθαγόρειος ἦν· ἐξ οὗ δῆλον ὅτι καὶ Ζήνων ὁ 'ἀμφοτερόγλωσσος' ὁ καὶ τὰς ἀρχὰς τῆς διαλεκτικῆς παραδούς. ὥστε ἐκ Πυθαγόρου ἤρξατο ἡ διαλεκτική, ὡσαύτως δὲ ἡ ῥητορική· Τισίας γὰρ καὶ Γοργίας καὶ Πῶλος Ἐμπεδοκλέους τοῦ Πυθαγορείου μαθηταί.*

20. Laert. diog. IX 29 *τοῦτόν* [Zenonem Eleatam] *φασι λοιδορούμενον ἀγανακτῆσαι· αἰτιασάμενον δέ τινος φάναι· 'ἐὰν μὴ λοιδορούμενος προσποιῶμαι, οὐδὲ ἐπαινούμενος αἰσθήσομαι* [sic libri]. errore ad Zenonem translata, quae Empedoclis re vera sunt ut fortasse etiam placita quae praecedunt. cf. Gnom. Paris. n. 153 [*Ac. Cracov.* XX 152] *Ἐμπεδοκλῆς ἐρωτηθείς, διὰ τί σφοδρα ἀγανακτεῖ κακῶς ἀκούων ἔφη· 'ὅτι οὐδὲ ἐπαινούμενος ἡσθήσομαι, εἰ μὴ κακῶς ἀκούων λυπηθήσομαι'*; cf. Gnom. Vatic. n. 274 [Wien. Stud. X 236] *ὁ αὐτὸς* [Euripides?] *ἐρωτηθείς — ἡσθήσομαι — ἀκούων ἀχθεσθήσομαι* Gnom. Par. 158 *Ἐ. πρὸς τὸν λέγοντα* [an Xenophanem, conl. Diog. IX 20 [p. 21, 1] ?], *ὅτι οὐδένα σοφὸν εὑρεῖν δύναμαι, 'κατὰ λόγον' εἶπε· 'τὸν γὰρ ζητοῦντα σοφὸν αὐτὸν πρῶτον εἶναι δεῖ σοφόν.* Gnom. Vat. 283 *Ἐ. ὁ φυσικὸς — αὐτὸν πρότερον εἶναι δεῖ* [unde Max. 17 supra p. 21 not. 1].

21. Lucret. I 714 sqq.

et qui quattuor ex rebus posse omnia rentur
ex igni terra atque anima procrescere ex imbri
quorum Acragantinus cum primis Empedocles est,
insula quem triquetris terrarum gessit in oris,
quam fluitans circum magnis anfractibus aequor
Ionium glaucis aspargit virus ab undis,
angustoque fretu rapidum mare dividit undans
Italiae terrarum oras a finibus eius.
hic est vasta Charybdis, et hic Aetnaea minantur
murmura flammarum rursum se colligere iras,
faucibus eruptos iterum vis ut vomat ignis
ad caelumque ferat flammai fulgura rursum.
quae cum magna modis multis miranda videtur
gentibus humanis regio visendaque fertur,
rebus opima bonis, multa munita virum vi,
nil tamen hoc habuisse viro praeclarius in se
nec sanctum magis et mirum carumque videtur,
carmina quin etiam divini pectoris eius
vociferantur et exponunt praeclara reperta,
ut vix humana videatur stirpe creatus.

22. Aristot. Poet. 1. 1447^{b} 17 *οὐδὲν δὲ κοινόν ἐστιν Ὁμήρῳ καὶ Ἐμπεδοκλεῖ πλὴν τὸ μέτρον. διὸ τὸν μὲν ποιητὴν δίκαιον καλεῖν, τὸν δὲ φυσιολόγον μᾶλλον ἢ ποιητήν.*

23. MENANDER [immo GENETHL.] I 2, 2 *φυσικοί* [sc. *ὕμνοι*] *δὲ ὁποίους οἱ περὶ Παρμενίδην καὶ Ἐμπεδοκλέα ἐποίησαν τίς ἡ τοῦ Ἀπόλλωνος φύσις* [cf. ad fr. 134], *τίς ἡ τοῦ Διὸς* [fr. 6, 2] *παρατιθέμενοι. καὶ οἱ πολλοὶ τῶν Ὀρφέως τούτου τοῦ τρόπου.* ibid. 5, 2 *εἰσὶν δὲ τοιοῦτοι, ὅταν Ἀπόλλωνος ὕμνον λέγοντες ἥλιον αὐτὸν εἶναι φάσκωμεν καὶ περὶ τοῦ ἡλίου τῆς φύσεως διαλεγώμεθα καὶ περὶ Ἥρας ὅτι ἀὴρ καὶ Ζεὺς τὸ θερμόν. οἱ γὰρ τοιοῦτοι ὕμνοι φυσιολογικοί. καὶ χρῶνται δὲ τῶι τοιούτωι τρόπωι Παρμενίδης καὶ Ἐ. ... Παρμενίδης μὲν γὰρ καὶ Ἐ. ἐξηγοῦνται Πλάτων δὲ ἐν βραχυτάτοις ἀναμμνήισκει.*

24. LACTANT. Inst. div. II 12, 4 *Empedocles quem nescias utrumne inter poetas an inter philosophos numeres quia de rerum natura versibus scripsit ut apud Romanos Lucretius et Varro, quattuor elementa constituit.* QUINT. I 4, 4 *propter Empedoclea in Graecis Varronem ac Lucretium in Latinis qui praecepta sapientiae versibus tradiderunt.* DIOMED. gramm. p. 483, 1 (de specie poematos exegetici) *didascalice est qua comprehenditur philosophia Empedoclis et Lucreti, item astrologia ut Phaenomena Aratu et Ciceronis et Georgica Vergilii et his similia.* AVICENNA de poetica c. 1 (Margoliouth *Anal. orient.* p. 79) *aliud genus* [scil. poeseos] *ἀμφὶ γενέσιος* [= *περὶ φύσεως*?] *dictum inventum ab Empedocle, qui in eo physicam aliasque res tractavit.*

25. SCHOL. ad DIONYS. Thrac. [Bekk. A. 734, 11. Cramer A. O. IV 312, 14] *ποιητὴς δὲ κεκόσμηται τοῖς τέσσαρσι τούτοις μέτρωι, μύθωι, ἱστορίαι καὶ ποιᾶι λέξει, καὶ πᾶν πολίημα μὴ μετέχον τούτων οὐκ ἔστι πολίημα, εἰ καὶ μέτρωι κέχρηται. ἀμέλει τὸν Ἐμπεδοκλέα καὶ Τυρταῖον οὐ καλοῦσι ποιητάς, εἰ καὶ μέτρωι ἐχρήσαντο διὰ τὸ μὴ χρήσασθαι αὐτοὺς τοῖς τῶν ποιητικῶν* [Kaibel *ποιητῶν*] *χαρακτηριστικοῖς.* ibid. 733, 13 *οὐκ ἔστι ποιητὴς ὁ μέτρωι μόνωι χρώμενος· οὐδὲ γὰρ Ἐμπεδοκλῆς ὁ τὰ Φυσικὰ γράψας οὐδ' οἱ περὶ ἀστρολογίας εἰπόντες οὐδὲ ὁ Πύθιος ἐμμέτρως χρησμωιδῶν* [cf. Kaibel *Abh. d. Gött. Ges.* 1898, 20; Usener *Mus. Rh.* XXV 608. *Münchn. Sitz.* 1892, 606; nos ad *Parm.* 5 sqq.]. PLUTARCH. quom. ad. poet. aud. 2 p. 16 C *θυσίας μὲν γὰρ ἀχόρους καὶ ἀναύλους ἴσμεν, οὐκ ἴσμεν δ' ἄμυθον οὐδ' ἀψευδῆ ποίησιν. τὰ δ' Ἐμπεδοκλέους ἔπη καὶ Παρμενίδου καὶ Θηριακὰ Νικάνδρου καὶ Γνωμολογίαι Θεόγνιδος λόγοι εἰσὶ κιχράμενοι παρὰ ποιητικῆς ὥσπερ ὄχημα τὸν ὄγκον καὶ τὸ μέτρον, ἵνα τὸ πεζὸν διαφύγωσιν.* ARIST. Rhet. *Γ* 5. 1407ᵃ 30 *δεύτερον δὲ τὸ τοῖς ἰδίοις ὀνόμασι λέγειν ..., τρίτον μὴ ἀμφιβόλοις· ταῦτα δέ, ἂν μὴ τἀναντία προαιρῆται, ὅπερ ποιοῦσιν ὅταν μηθὲν μὲν ἔχωσι λέγειν προσποιῶνται δέ τι λέγειν. οἱ γὰρ τοιοῦτοι ἐν ποιήσει* [cf. Meteor. B 3. 357ᵃ 26] *λέγουσιν ταῦτα οἷον Ἐμπεδοκλῆς. φενακίζει γὰρ τὸ κύκλωι πολὺ ὄν, καὶ πάσχουσιν οἱ ἀκροαταὶ ὅπερ οἱ πολλοὶ παρὰ τοῖς μάντεσιν. ὅταν γὰρ λέγωσιν ἀμφίβολα, συμπαρανεύουσιν Κροῖσος Ἅλυν διαβὰς μεγάλην ἀρχὴν καταλύσει.* CICERO de oratore I 50, 217 *liceat ista ratione dicamus pila bene et duodecim scriptis ludere proprium esse iuris civilis, quoniam utrumque eorum P. Mucius optime fecerit; eademque ratione dicantur ei quos φυσικοὺς Graeci nominant, eidem poetae, quoniam Empedocles physicus egregium poema fecerit.*

26. DIONYSIUS de comp. verb. 32 (de austera harmonia) *ταύτης δὲ τῆς ἁρμονίας πολλοὶ μὲν ἐγένοντο ζηλωταὶ κατά τε ποίησιν καὶ ἱστορίαν καὶ λόγους πολιτικούς, διαφέροντες δὲ τῶν ἄλλων ἐν μὲν ἐπικῆι ποιήσει ὅ τε Κολοφώνιος Ἀντίμαχος καὶ Ἐμπεδοκλῆς ὁ φυσικός, ἐν δὲ μελοποιίαι Πίνδαρος, ἐν δὲ τραγωιδίαι Αἰσχύλος.*

27. CICERO ad Qu. fr. II 9, 3 *Lucretii poemata ut scribis ita sunt: multis luminibus ingenii, multae etiam artis; sed (cum veneris) virum te putabo, si Sallustii Empedoclea legeris, hominem non putabo.*

DOCTRINAE.

De principiis.

28. SIMPL. phys. 25, 21 (e Theophrasto) post A 7 *οὗτος δὲ τὰ μὲν σωματικὰ στοιχεῖα ποιεῖ τέτταρα, πῦρ καὶ ἀέρα καὶ ὕδωρ καὶ γῆν, ἀΐδια μὲν ὄντα πλήθει καὶ ὀλιγότητι, μεταβάλλοντα δὲ κατὰ τὴν σύγκρισιν καὶ διάκρισιν, τὰς δὲ ἐυρίως ἀρχάς, ὑφ' ὧν κινεῖται ταῦτα, Φιλίαν καὶ Νεῖκος. δεῖ γὰρ διατελεῖν ἐναλλὰξ κινούμενα τὰ στοιχεῖα, ποτὲ μὲν ὑπὸ τῆς Φιλίας συγκτινόμενα, ποτὲ δὲ ὑπὸ τοῦ Νείκους διακρινόμενα· ὥστε καὶ ἓξ εἶναι κατ' αὐτὸν τὰς ἀρχάς. καὶ γὰρ ὅπου μὲν ποιητικὴν δίδωσι δύναμιν τῶι Νείκει καὶ τῆι Φιλίαι ὅταν λέγηι 'ἄλλοτε — ἔχθει'* [fr. 17, 7. 8] *ποτὲ δὲ τοῖς τέτταρσιν ὡς ἰσόστοιχα συντάττει καὶ ταῦτα ὅταν λέγηι 'τοτὲ — πλάτος τε'* [fr. 17, 17—20].

29. PLATO Soph. 242 CD *μῦθόν τινα ἕκαστος φαίνεταί μοι διηγεῖσθαι παισὶν ὡς οὖσιν ἡμῖν, ὁ μὲν ὡς τρία τὰ ὄντα, πολεμεῖ δὲ ἀλλήλοις ἐνίοτε αὐτῶν ἄττα πηι, τοτὲ δὲ καὶ φίλα γιγνόμενα γάμους τε καὶ τόκους καὶ τροφὰς τῶν ἐκγόνων παρέχεται* [inprimis Pherecydes tangitur]. *ὁ δὲ ἕτερος εἰπών, ὑγρὸν καὶ ξηρὸν ἢ θερμὸν καὶ ψυχρόν, συνοικίζει τε αὐτὰ καὶ ἐκδίδωσι* [Archelaus?]. *τὸ δὲ παρ' ἡμῶν Ἐλεατικὸν ἔθνος, ἀπὸ Ξενοφάνους τε καὶ ἔτι πρόσθεν ἀρξάμενον* [ab Orphicis], *ὡς ἑνὸς ὄντος τῶν πάντων καλουμένων οὕτω διεξέρχεται τοῖς μύθοις. Ἰάδες δὲ καὶ Σικελαί τινες ὕστερον Μοῦσαι* [Heraclitus et Empedocles] *ξυνενόησαν, ὅτι συμπλέκειν ἀσφαλέστατον ἀμφότερα καὶ λέγειν, ὡς τό ὂν πολλά τε καὶ ἕν ἐστιν, ἔχθραι δὲ καὶ φιλίαι συνέχεται. διαφερόμενον γὰρ ἀεὶ ξυμφέρεται, φασὶν αἱ συντονώτεραι τῶν Μουσῶν. αἱ δὲ μαλακώτεραι τὸ μὲν ἀεὶ ταῦθ' οὕτως ἔχειν ἐχάλασαν, ἐν μέρει δὲ τοτὲ μὲν ἕν εἶναι φασι τὸ πᾶν καὶ φίλον ὑπ' Ἀφροδίτης, τότε δὲ πολλὰ καὶ πολέμιον αὐτὸ αὑτῶι διὰ Νεῖκός τι.*

30. PSEUDOPLUT. Stromat. ap. Eus. P. E. I 8, 10 [D. 582 ex Theophrasto ut 31 sqq.] *Ἐ. ὁ Ἀκραγαντῖνος στοιχεῖα τέσσαρα, πῦρ ὕδωρ αἰθέρα γαῖαν. αἰτίαν δὲ τούτων Φιλίαν καὶ Νεῖκος. ἐκ πρώτης φησὶ τῆς τῶν στοιχείων κράσεως ἀποκριθέντα τὸν ἀέρα περιχυθῆναι κύκλωι· μετὰ δὲ τὸν ἀέρα τὸ πῦρ ἐκδραμὸν καὶ οὐκ ἔχον ἑτέραν χώραν ἄνω ἐκτρέχειν ὑπὸ τοῦ περὶ τὸν ἀέρα πάγου. εἶναι δὲ κύκλωι περὶ τὴν γῆν φερόμενα δύο ἡμισφαίρια τὸ μὲν καθόλου πυρός, τὸ δὲ μικτὸν ἐξ ἀέρος καὶ ὀλίγου πυρός, ὅπερ οἴεται τὴν νύκτα εἶναι. τὴν δὲ ἀρχὴν τῆς κινήσεως συμβῆναι ἀπὸ τοῦ τετυχηκέναι κατὰ τὸν ἀθροισμὸν ἐπιβρίσαντος τοῦ πυρός* [l. *ἐπιβρῖσάν ποτε τὸ πῦρ*]. *ὁ δὲ ἥλιος τὴν φύσιν οὐκ ἔστι πῦρ, ἀλλὰ τοῦ πυρὸς ἀντανάκλασις ὁμοία τῆι ἀφ' ὕδατος γινομένηι. σελήνην δέ φησιν συστῆναι καθ' ἑαυτὴν ἐκ τοῦ ἀποληφθέντος ἀέρος ὑπὸ τοῦ πυρός. τοῦτον γὰρ παγῆναι καθάπερ καὶ τὴν χάλαζαν. τὸ δὲ φῶς αὐτὴν ἔχειν ἀπὸ τοῦ ἡλίου. τὸ δὲ ἡγεμονικὸν οὔτε ἐν κεφαλῆι οὔτε ἐν θώρακι, ἀλλ' ἐν αἵματι. ὅθεν καθ' ὅτι ἄν μέρος τοῦ σώματος πλεῖον ἢι παρεσπαρμένον (τὸ ἡγεμονικὸν οἴεται), κατ' ἐκεῖνο προτερεῖν τοὺς ἀνθρώπους.*

31. HIPPOL. Ref. I 3 [D. 558] *Ἐ. δὲ μετὰ τούτους* [Pythagoreos] *γενόμενος καὶ περὶ δαιμόνων φύσεως εἶπε πολλά, ὡς ἀναστρέφονται διοικοῦντες* 1

τὰ κατὰ τὴν γῆν, ὄντες πλεῖστοι. οὗτος τὴν τοῦ παντὸς ἀρχὴν Νεῖκος καὶ Φιλίαν ἔφη καὶ τὸ τῆς μονάδος νοερὸν πῦρ τὸν θεὸν καὶ συνεστάναι ἐκ πυρὸς τὰ πάντα καὶ εἰς πῦρ ἀναλυθήσεσθαι. ὧι σχεδὸν καὶ οἱ Στωικοὶ συντίθενται δόγματι ἐκπύρωσιν προσδοκῶντες μάλιστα δὲ πάντων συγκατατίθεται τῆι 2
μετενσωματώσει οὕτως εἰπών 'ἤτοι — ἰχθύς' [fr. 117]. οὗτος πάσας εἰς 3
πάντα τὰ ζῶια μεταλλάττειν εἶπε τὰς ψυχάς. καὶ γὰρ ὁ τούτων διδάσκαλος Πυθαγόρας ἔφη ἑαυτὸν Εὔφορβον γεγονέναι τὸν ἐπὶ Ἴλιον στρατεύσαντα φάσκων ἐπιγινώσκειν τὴν ἀσπίδα.

32. Aet. I 7, 28 [D. 303 cf. Stob. I 35, 17 W.] ⟨Ἐμπεδοκλῆς σφαιροειδῆ καὶ ἀίδιον καὶ ἀκίνητον τὸ ἕν⟩ καὶ τὸ μὲν ἓν τὴν ἀνάγκην, ὕλην δὲ αὐτῆς τὰ τέτταρα στοιχεῖα, εἴδη δὲ τὸ Νεῖκος καὶ τὴν Φιλίαν. λέγει δὲ καὶ τὰ στοιχεῖα θεοὺς καὶ τὸ μῖγμα τούτων τὸν κόσμον καὶ πρὸς τ⟨ούτοις τὸν Σφαῖρον, εἰς ὃν πάντα ταῦτ⟩' ἀναλυθήσεται, τὸ μονοειδές. καὶ θείας μὲν οἴεται τὰς ψυχάς, θείους δὲ καὶ τοὺς μετέχοντας αὐτῶν καθαροὺς καθαρῶς.

33. Aet. I 3, 20 [D. 287] Ἐ., Μέτωνος Ἀκραγαντῖνος τέτταρα μὲν λέγει στοιχεῖα, πῦρ ἀέρα ὕδωρ γῆν. δύο δὲ ἀρχικὰς δυνάμεις, Φιλίαν τε καὶ Νεῖκος, ὧν ἡ μέν ἐστιν ἑνωτική, τὸ δὲ διαιρετικόν. φησὶ δὲ οὕτως· 'τέσσαρα — βρότειον' [fr. 6]. Δία μὲν γὰρ λέγει τὴν ζέσιν καὶ τὸν αἰθέρα, Ἥρην δὲ φερέσβιον τὸν ἀέρα, τὴν δὲ γῆν τὸν Ἀιδωνέα· Νῆστιν δὲ καὶ κρούνωμα βρότειον οἱονεὶ τὸ σπέρμα καὶ τὸ ὕδωρ. Allegor. hom. script. (fort. Plutarch.) ap. Stob. Ecl. I 10, 11b p. 121 W. (cf. Plut. Vit. Hom. 99) Ἐ. Δία μὲν λέγει τὴν ζέσιν ⟨καὶ⟩ τὸν αἰθέρα, Ἥρην δὲ φερέσβιον τὴν γῆν, ἀέρα δὲ τὸν Ἀιδωνέα, ἐπειδὴ φῶς οἰκεῖον οὐκ ἔχει, ἀλλὰ ὑπὸ ἡλίου καὶ σελήνης καὶ ἄστρων καταλάμπεται, Νῆστιν δὲ καὶ κρούνωμα βρότειον τὸ σπέρμα καὶ τὸ ὕδωρ. ἐκ τεσσάρων οὖν στοιχείων τὸ πᾶν, τῆς τούτων φύσεως ἐξ ἐναντίων συνεστώσης, ξηρότητός τε καὶ ὑγρότητος καὶ θερμότητος καὶ ψυχρότητος, ὑπὸ τῆς πρὸς ἄλληλα ἀναλογίας καὶ κράσεως ἐναπεργαζομένης τὸ πᾶν καὶ μεταβολὰς μὲν μερικὰς ὑπομενούσης τοῦ δὲ παντὸς λύσιν μὴ ἐπιδεχομένης. λέγει γὰρ οὕτως 'ἄλλοτε — ἔχθει' [fr. 17, 7. 8]. Hippol. Ref. VII 29 post fr. 6 [ex Plutarchi Empedocleis?, cf. V 20 p. 144, 13] Ζεύς ἐστι τὸ πῦρ, Ἥρη δὲ φερέσβιος ἡ γῆ ἡ φέρουσα τοὺς τοὺς πρὸς τὸν βίον καρπούς, Ἀιδωνεὺς δὲ ὁ ἀήρ, ὅτι πάντα δι' αὐτοῦ βλέποντες μόνον αὐτὸν οὐ καθορῶμεν, Νῆστις δὲ τὸ ὕδωρ· μόνον γὰρ τοῦτο ὄχημα τροφῆς αἴτιον γινόμενον πᾶσι τοῖς τρεφομένοις αὐτὸ καθ' αὑτὸ τρέφειν οὐ δυνάμενον τὰ τρεφόμενα. εἰ γὰρ ἔτρεφε, φησίν, οὐκ ἄν ποτε λιμῶι κατελήφθη τὰ ζῶια, ὕδατος ἐν τῶι κόσμωι πλεονάζοντος ἀεί. διὰ τοῦτο Νῆστιν καλεῖ τὸ ὕδωρ ὅτι τροφῆς αἴτιον γινόμενον τρέφειν οὐκ εὐτονεῖ τὰ τρεφόμενα.

34. Galen. in Hipp. nat. hom. XV 32 K. Ἐ. ἐξ ἀμεταβλήτων τῶν τεττάρων στοιχείων ἠγεῖτο γίγνεσθαι τὴν τῶν συνθέτων σωμάτων φύσιν, οὕτως ἀναμεμειγμένων ἀλλήλοις τῶν πρώτων, ὡς εἴ τις λειώσας ἀκριβῶς καὶ χνοώδη ποιήσας ἰὸν καὶ χαλκῖτιν καὶ καδμίαν καὶ μίσυ μείξειεν, ὡς μηδὲν ἐξ αὐτῶν δύνασθαι μεταχειρίσασθαι χωρὶς ἑτέρου.

35. Aët. II 7, 6 [D. 336] Ἐ. ἔλεγε μὴ διὰ παντὸς ἑστῶτας εἶναι μηδ' ὡρισμένους τοὺς τόπους τῶν στοιχείων, ἀλλὰ πάντα τοὺς [sic antiquo vitio, l. πάντα πως] ἀλλήλων μεταλαμβάνειν cf. Achill. p. 34, 20 M. ὁ δὲ Ἐ. οὐ δίδωσι τοῖς στοιχείοις ὡρισμένους τόπους, ἀλλ' ἀντιπαραχωρεῖν ἀλλήλοις φησίν, ὥστε τὴν γῆν μετέωρον φέρεσθαι καὶ τὸ πῦρ ταπεινότερον.

36. Arist. de gen. et corr. B 3. 330^{b} 19 *ἔνιοι δ' εὐθὺς τέτταρα λέγουσιν οἷον Ἐ. συνάγει δὲ καὶ οὗτος εἰς τὰ δύο· τῶι γὰρ πυρὶ τἆλλα πάντα ἀντιτίθησιν.*

37. Idem Metaph. A 4. 985^{a} 21 *καὶ Ἐ. ἐπὶ πλέον μὲν χρῆται τούτου* [Anaxagora] *τοῖς αἰτίοις, οὐ μὴν οὔθ' ἱκανῶς οὔτ' ἐν τούτοις εὑρίσκει τὸ ὁμολογούμενον· πολλαχοῦ γοῦν αὐτῶι ἡ μὲν Φιλία διακρίνει τὸ δὲ Νεῖκος συγκρίνει. ὅταν μὲν γὰρ εἰς τὰ στοιχεῖα διίστηται τὸ πᾶν ὑπὸ τοῦ Νείκους τό τε πῦρ εἰς ἓν συγκρίνεται καὶ τῶν ἄλλων στοιχείων ἕκαστον· ὅταν δὲ πάλιν ὑπὸ τῆς Φιλίας συνίωσιν εἰς τὸ ἕν, ἀναγκαῖον ἐξ ἑκάστου τὰ μόρια διακρίνεσθαι πάλιν. Ἐ. μὲν οὖν παρὰ τοὺς πρότερον πρῶτος τὸ τὴν αἰτίαν διελεῖν* [sic A^{b}] *εἰσήνεγκεν, οὐ μίαν ποιήσας τὴν τῆς κινήσεως ἀρχὴν ἀλλ' ἑτέρας τε καὶ ἐναντίας. ἔτι δὲ τὰ ὡς ἓν ὕλης εἴδει λεγόμενα στοιχεῖα τέτταρα πρῶτος εἶπεν. οὐ μὴν χρῆταί γε τέτταρσιν, ἀλλ' ὡς δυσὶν οὖσι μόνοις, πυρὶ μὲν καθ' αὑτό, τοῖς δ' ἀντικειμένοις ὡς μιᾶι φύσει, γῆι τε καὶ ἀέρι καὶ ὕδατι. λάβοι δ' ἄν τις αὐτὸ θεωρῶν ἐκ τῶν ἐπῶν.*

38. Idem phys. Θ 1. 252^{a} 7 *ἔοικεν Ἐ. ἂν εἰπεῖν ὡς τὸ κρατεῖν καὶ κινεῖν ἐν μέρει τὴν Φιλίαν καὶ τὸ Νεῖκος ὑπάρχει τοῖς πράγμασιν ἐξ ἀνάγκης, ἠρεμεῖν δὲ τὸν μεταξὺ χρόνον.*

39. Idem Metaph. A 4. 984^{b} 32 *ἐπεὶ δὲ καὶ τἀναντία τοῖς ἀγαθοῖς ἐνόντα ἐφαίνετο ἐν τῆι φύσει, καὶ οὐ μόνον τάξις καὶ τὸ καλὸν ἀλλὰ καὶ ἀταξία καὶ τὸ αἰσχρόν, καὶ πλείω τὰ κακὰ τῶν ἀγαθῶν καὶ τὰ φαῦλα τῶν καλῶν, οὕτως ἄλλος τις Φιλίαν εἰσήνεγκε καὶ Νεῖκος, ἑκάτερον ἑκατέρων αἴτιον τούτων. εἰ γάρ τις ἀκολουθοίη καὶ λαμβάνοι πρὸς τὴν διάνοιαν καὶ μὴ πρὸς ἃ ψελλίζεται λέγων Ἐ., εὑρήσει τὴν μὲν Φιλίαν αἰτίαν οὖσαν τῶν ἀγαθῶν, τὸ δὲ Νεῖκος τῶν κακῶν· ὥστ' εἴ τις φαίη τρόπον τινὰ καὶ λέγειν καὶ πρῶτον λέγειν τὸ κακὸν καὶ τὸ ἀγαθὸν ἀρχὰς Ἐμπεδοκλέα, τάχ' ἂν λέγοι καλῶς, εἴπερ τὸ τῶν ἀγαθῶν ἁπάντων αἴτιον αὐτὸ τἀγαθὸν ἐστι* [καὶ τῶν κακῶν τὸ κακόν].

40. Idem de gen. et corr. B 6. 333^{b} 20 *καίτοι τά γε στοιχεῖα διακρίνει οὐ τὸ Νεῖκος ἀλλ' ἡ Φιλία, τὰ φύσει πρότερα τοῦ θεοῦ· θεοὶ δὲ καὶ ταῦτα.*

41. Philop. de gen. et corr. 19, 3 Vitelli *πρὸς μὲν γὰρ τὰ φαινόμενα ἐναντία λέγει ἀναιρῶν τὴν ἀλλοίωσιν ἐναργῆ οὖσαν, πρὸς ἑαυτὸν δὲ διότι λέγει μὲν ἀμετάβλητα τὰ στοιχεῖα, καὶ αὐτὰ μὲν μὴ γίνεσθαι ἐξ ἀλλήλων τὰ δὲ ἄλλα ἐκ τούτων. πάλιν δέ φησι τῆς Φιλίας κρατούσης τὰ πάντα ἓν γίνεσθαι καὶ τὸν Σφαῖρον ἀποτελεῖν ἄποιον ὑπάρχοντα, ὡς μηκέτι μήτε τὴν τοῦ πυρὸς μήτε τῶν ἄλλων τινὸς σώιζεσθαι ἐν αὐτῶι ἰδιότητα, ἀποβάλλοντος ἑκάστου τῶν στοιχείων τὸ οἰκεῖον εἶδος.*

42. Arist. de caelo Γ 2. 301^{a} 14 *ἐκ διεστώτων δὲ καὶ κινουμένων οὐκ εὔλογον ποιεῖν τὴν γένεσιν. διὸ καὶ Ἐ. παραλείπει τὴν ἐπὶ τῆς Φιλότητος· οὐ γὰρ ἂν ἠδύνατο συστῆσαι τὸν οὐρανὸν ἐκ κεχωρισμένων μὲν κατασκευάζων, σύγκρισιν δὲ ποιῶν διὰ τὴν Φιλότητα· ἐκ διακεκριμένων γὰρ συνέστηκεν ὁ κόσμος τῶν στοιχείων. ὥστ' ἀναγκαῖον γίνεσθαι ἐξ ἑνὸς καὶ συγκεκριμένου.*

43. Aët. I 13, 1 [D. 312] *Ἐμπεδοκλῆς ἔφη πρὸ τῶν τεττάρων στοιχείων θραύσματα ἐλάχιστα οἱονεὶ στοιχεῖα πρὸ τῶν στοιχείων ὁμοιομερῆ.* 17, 3 [D. 315] *Ἐ. καὶ Ξενοκράτης ἐκ μικροτέρων ὄγκων τὰ στοιχεῖα συγκρίνει, ἅπερ ἐστὶν ἐλάχιστα καὶ οἱονεὶ στοιχεῖα στοιχείων.* Galen. in Hipp. de nat. h. XV

49 K. *κἀκεῖνος γὰρ* [Emp.] *ἐκ μὲν τῶν αὐτῶν στοιχείων, ὧν καὶ Ἱπποκράτης, γεγονέναι φησὶν ἡμᾶς γε καὶ τὰ ἄλλα σώματα πάντα τὰ περὶ τὴν γῆν, οὐ μὴν κεκραμένων γε δι' ἀλλήλων, ἀλλὰ κατὰ μικρὰ μόρια παρακειμένων τε καὶ ψανόντων* [cf. IV 762 *κατὰ σμικρὰ μόρια καταθρανομένων*].

44. Aët. I 24, 2 [D. 320] *Ἐ. Ἀναξαγόρας, Δημόκριτος, Ἐπίκουρος καὶ πάντες ὅσοι κατὰ συναθροισμὸν τῶν λεπτομερῶν σωμάτων κοσμοποιοῦσι συγκρίσεις μὲν καὶ διακρίσεις εἰσάγουσι, γενέσεις δὲ καὶ φθορὰς οὐ κυρίως· οὐ γὰρ κατὰ τὸ ποιὸν ἐξ ἀλλοιώσεως, κατὰ δὲ τὸ ποσὸν ἐκ συναθροισμοῦ ταύτας γίνεσθαι.*

45. Idem I 26, 1 [D. 321] *Ἐ. οὐσίαν ἀνάγκης αἰτίαν χρηστικὴν τῶν ἀρχῶν καὶ τῶν στοιχείων.* Plut. de an. procr. 27, 2 p. 1026 B *ἀνάγκην, ἣν εἱμαρμένην οἱ πολλοὶ καλοῦσιν, Ἐ. δὲ Φιλίαν ὁμοῦ καὶ Νεῖκος.*

De mundo.

46. Aristot. Phys. Α 4. 187ª 20 *οἱ δ' ἐκ τοῦ ἑνὸς ἐνούσας τὰς ἐναντιότητας ἐκκρίνεσθαι, ὥσπερ Ἀναξίμανδρός φησι καὶ ὅσοι δ' ἓν καὶ πολλά φασιν εἶναι, ὥσπερ Ἐ. καὶ Ἀναξαγόρας. ἐκ τοῦ μείγματος γὰρ καὶ οὗτοι ἐκκρίνουσι τἆλλα. διαφέρουσι δ' ἀλλήλων τῶι τὸν μὲν* [Emp.] *περιοδον ποιεῖν τούτων, τὸν δ'* [Anaxag.] *ἅπαξ, καὶ τὸν μὲν ἄπειρα τά τε ὁμοιομερῆ καὶ τἀναντία, τὸν δὲ τὰ καλούμενα στοιχεῖα [μόνον].*

47. Aët. I 5, 2 [Dox. 291] *Ἐμπεδοκλῆς δὲ κόσμον μὲν ἕνα, οὐ μέντοι τὸ πᾶν εἶναι τὸν κόσμον, ἀλλὰ ὀλίγον τι τοῦ παντὸς μέρος, τὸ δὲ λοιπὸν ἀργὴν ὕλην.*

48. Plato leg. X 889 B *πῦρ καὶ ὕδωρ καὶ γῆν καὶ ἀέρα φύσει πάντα εἶναι καὶ τύχηι φασί* [Empedocleos tangit], *τέχνηι δὲ οὐδὲν τούτων, καὶ τὰ μετὰ ταῦτα αὖ σώματα, γῆς τε καὶ ἡλίου καὶ σελήνης ἄστρων τε πέρι, διὰ τούτων γεγονέναι παντελῶς ὄντων ἀψύχων. τύχηι δὲ φερόμενα τῆι τῆς δυνάμεως ἕκαστα ἑκάστων ἥι ξυμπέπτωκεν ἁρμόττοντα οἰκείως πως, θερμὰ ψυχροῖς ἢ ξηρὰ πρὸς ὑγρὰ καὶ μαλακὰ πρὸς σκληρά, καὶ πάντα ὁπόσα τῆι τῶν ἐναντίων κράσει κατὰ τύχην ἐξ ἀνάγκης συνεκεράσθη ταύτηι καὶ κατὰ ταῦτα οὕτω γεγεννῆκέναι τόν τε οὐρανὸν ὅλον καὶ πάντα ὁπόσα κατ' οὐρανόν, καὶ ζῶια αὖ καὶ φυτὰ ξύμπαντα, ὡρῶν πασῶν ἐκ τούτων γενομένων, οὐ διὰ νοῦν, φασίν, οὐδὲ διά τινα θεὸν οὐδὲ διὰ τέχνην, ἀλλὰ ὃ λέγομεν, φύσει καὶ τύχηι.*

49. Philo de provid. [conversus ex armen. ab Auchero, quem correxi sec. Conybearii notas ap. Wendland *Philo üb. d. Vors.* 64 sq.] II 60 p. 86 *eodem modo* [sc. ut leviora a gravioribus sursum pellantur] *etiam mundi partes confici videntur, ut dicit Empedocles. postquam enim secretus est aether* (*μετὰ τὸ διακριθῆναι τὸν αἰθέρα*), *aer et ignis sursus volaverunt et caelum formatum quod in latissimo spatio circumferebatur. ignis autem qui caelo paulo inferior manserat, ipse quoque in radios solis coacervatus est. terra vero in unum concurrens et necessitate quadam concreta* (*πιληθεῖσα*) *in medio apparens consedit. porro circa eam undique aether, quia multo levior erat, volvitur neque umquam desistit. quietis autem inde causa per deum* [male intellexit quale *τοῦ δ' ἠρεμεῖν* (*τὴν γῆν*) *αἴτιον τὸ θεῖν* (*τὸν αἰθέρα*) vel *τὸν δῖνον* (hoc Wendland)], *non vero per sphaeras multas super se invicem positas, quarum circumrotationes poliverint figuram, quia circa eam* [sc. terram] *compressa fuit sphaera ignis mirabilis* (*magnae enim et multiplicis theoriae*(?) *vim habet*), *ideo nec huc nec illuc cadit*

ista. Aët. II 6, 3 [D. 334] *Ἐ. τὸν μὲν αἰθέρα πρῶτον διακριθῆναι, δεύτερον δὲ τὸ πῦρ, ἐφ' ᾧι τὴν γῆν, ἐξ ἧς ἄγαν περισφιγγομένης τῆι ῥύμηι τῆς περιφορᾶς ἀναβλύσαι τὸ ὕδωρ· ἐξ οὗ θυμιαθῆναι τὸν ἀέρα, καὶ γενέσθαι τὸν μὲν οὐρανὸν ἐκ τοῦ αἰθέρος, τὸν δὲ ἥλιον ἐκ τοῦ πυρός, πιληθῆναι δὲ ἐκ τῶν ἄλλων τὰ περίγεια.*

50. Aët. II 31, 4 [D. 363] *Ἐ. τοῦ ὕψους τοῦ ἀπὸ τῆς γῆς εἰς τὸν οὐρανόν, ἥτις ἐστὶν ἀφ' ἡμῶν ἀνάτασις, πλείονα εἶναι τὴν κατὰ τὸ πλάτος διάστασιν κατὰ τοῦτο τοῦ οὐρανοῦ μᾶλλον ἀναπεπταμένου διὰ τὸ ὠιῶι παραπλησίως τὸν κόσμον κεῖσθαι.* 1, 4 [D. 328] *Ἐ. τὸν τοῦ ἡλίου περίδρομον εἶναι περιγραφὴν τοῦ πέρατος τοῦ κόσμου.* 10, 2 [D. 339] *Ἐ. δεξιὰ μὲν αὐτοῦ* [scil. *τοῦ κόσμου*] *τὰ κατὰ τὸν θερινὸν τροπικόν, ἀριστερὰ δὲ τὰ κατὰ τὸν χειμερινόν.*

51. Aët. II 11, 2 [D. 339] *Ἐ. στερέμνιον εἶναι τὸν οὐρανὸν ἐξ ἀέρος συμπαγέντος ὑπὸ πυρὸς κρυσταλλοειδῶς, τὸ πυρῶδες καὶ τὸ ἀερῶδες ἐν ἑκατέρωι τῶν ἡμισφαιρίων περιέχοντα.* Lactant. de opif. dei 17, 6 *an si mihi quispiam dixerit aeneum esse caelum aut vitreum aut ut Empedocles ait, aerem glaciatum, statimne assentiar?* [ex Varronis Tuberone cf. § 5. Dox. 198[1]].

52. Aët. II 4, 8 [D. 331] *Ἐ. τὸν κόσμον φθείρεσθαι κατὰ τὴν ἀντεπικράτειαν τοῦ Νείκους καὶ τῆς Φιλίας.* Simpl. de caelo 293, 18 *οἱ δὲ ἐναλλὰξ γίνεσθαι καὶ φθείρεσθαι τὸν αὐτὸν καὶ πάλιν γινόμενον πάλιν φθείρεσθαι* [sc. *τὸν κόσμον*] *λέγουσι, καὶ ἀΐδιον εἶναι τὴν τοιαύτην διαδοχήν, ὥσπερ Ἐ. τὴν Φιλίαν λέγων καὶ τὸ Νεῖκος παρὰ μέρος ἐπικρατοῦντα τὴν μὲν συνάγειν τὰ πάντα εἰς ἓν καὶ φθείρειν τὸν τοῦ Νείκους κόσμον καὶ ποιεῖν ἐξ αὐτοῦ τὸν Σφαῖρον, τὸ δὲ Νεῖκος διακρίνειν πάλιν τὰ στοιχεῖα καὶ ποιεῖν τὸν τοιοῦτον κόσμον* [tum citat fr. 17, 7 sqq.] 305, 21 *Πλάτων καὶ Ἐ. καὶ Ἀναξαγόρας καὶ οἱ ἄλλοι φυσικοὶ τὴν τῶν συνθέτων ἀπὸ τῶν ἁπλῶν γένεσιν κατὰ τὸν ἐξ ὑποθέσεως τοῦτον τρόπον* [i. e. *διδασκαλίας χάριν* 304, 5] *φαίνονται παραδιδόντες ... ὡσεὶ καὶ προϋπῆρχον τῶι χρόνωι τὰ ἐξ ὧν γίνεται τὰ γινόμενα.* contra Arist. Metaph. B 4. 1000[b] 18 *οὐ γὰρ τὰ μὲν φθαρτά, τὰ δ' ἄφθαρτα ποιεῖ τῶν ὄντων, ἀλλ' ἅπαντα φθαρτὰ πλὴν τῶν στοιχείων.*

53. Aët. II 13, 2 [D. 341] *Ἐ. πύρινα* [sc. *εἶναι τὰ ἄστρα*] *ἐκ τοῦ πυρώδους, ὅπερ ὁ ἀὴρ ἐν ἑαυτῶι περιέχων ἐξανέθλιψε κατὰ τὴν πρώτην διάκρισιν.*

54. Idem II 13, 11 [D. 342] *Ἐ. τοὺς μὲν ἀπλανεῖς ἀστέρας συνδεδέσθαι τῶι κρυστάλλωι, τοὺς δὲ πλανήτας ἀνεῖσθαι.*

55. Achill. in Arat. 16 p. 43, 2 Maass. *εἰσὶ δὲ οἳ πρῶτον τὸν ἥλιον λέγουσιν δευτέραν δὲ τὴν σελήνην, τρίτον δὲ τὸν Κρόνον. ἡ δὲ πλείων δόξα πρώτην τὴν σελήνην, ἐπεὶ καὶ ἀπόσπασμα τοῦ ἡλίου λέγουσιν αὐτήν, ὡς δὲ* [*καὶ* Maass] *Ἐ. 'κυκλοτερὲς — φῶς'* [fr. 45].

56. Aët. II 20, 13 [D. 350] *Ἐ. δύο ἡλίους· τὸν μὲν ἀρχέτυπον, πῦρ ὂν ἐν τῶι ἑτέρωι ἡμισφαιρίωι τοῦ κόσμου, πεπληρωκὸς τὸ ἡμισφαίριον, αἰεὶ κατ' ἀντικρὺ τῆι ἀντανγείαι ἑαυτοῦ τεταγμένον· τὸν δὲ φαινόμενον, ἀνταύγειαν ἐν τῶι ἑτέρωι ἡμισφαιρίωι τῶι τοῦ ἀέρος τοῦ θερμομιγοῦς πεπληρωμένωι, ἀπὸ κυκλοτεροῦς τῆς γῆς κατ' ἀνάκλασιν γιγνομένην* [cf. Plut. ad fr. 44] *εἰς τὸν ἥλιον τὸν κρυσταλλοειδῆ, συμπεριελκομένην δὲ τῆι κινήσει τοῦ πυρίνου. ὡς δὲ βραχέως εἰρῆσθαι* [*συντεμόντα*], *ἀνταύγειαν εἶναι τοῦ περὶ τὴν γῆν πυρὸς τὸν ἥλιον.* 21, 2 [D. 351] *ἴσον τῆι γῆι τὸν κατὰ τὴν ἀνταύγειαν.*

57. Arist. de anima B 6. 418^{b} 20 *οὐκ ὀρθῶς Ἐ. οὐδ' εἴ τις ἄλλος οὑτως εἴρηκεν, ὡς φερομένου τοῦ φωτὸς καὶ γιγνομένου* [sic etiam Them. Philop.: *τεινομένου* EV] *ποτὲ μεταξὺ τῆς γῆς καὶ τοῦ περιέχοντος, ἡμᾶς δὲ λανθάνοντος ... ἐν μικρῷι μὲν γὰρ διαστήματι λάθοι ἄν, ἀπ' ἀνατολῆς δ' ἐπὶ δυσμὰς το λανθάνειν μέγα λίαν τὸ αἴτημα.* de sensu 6. 446^{a} 26 *καθάπερ καὶ Ἐ. φησιν ἀφικνεῖσθαι πρότερον τὸ ἀπὸ τοῦ ἡλίου φῶς εἰς τὸ μεταξὺ* [*τὸν μεταξὺ* EM fort. recte, scil. *τὸν φαινόμενον ἥλιον*], *πρὶν πρὸς τὴν ὄψιν ἥ ἐπὶ τὴν γῆν.* cf. Philop. de anima 344, 34 (ad Ar. 418^{b} 20) *Ἐ. ὃς ἔλεγεν ἀπορρέον τὸ φῶς σῶμα ὂν ἐκ τοῦ φωτίζοντος σώματος γίνεσθαι πρῶτον ἐν τῶι μεταξὺ τόπωι τῆς τε γῆς καὶ τοῦ οὐρανοῦ εἶτα ἀφικνεῖσθαι πρὸς ἡμᾶς, λανθάνειν δὲ τὴν τοιαύτην αὐτοῦ κίνησιν διὰ τὴν ταχυτῆτα.*

58. Aet. II 8, 2 [D. 338] *Ἐ. τοῦ ἀέρος εἰξαντος τῆι τοῦ ἡλίου ὁρμῆι, ἐπικλιθῆναι τὰς ἄρκτους, καὶ τὰ μὲν βόρεια ὑψωθῆναι, τὰ δὲ νότια ταπεινωθῆναι, καθ' ὃ καὶ τὸν ὅλον κόσμον.* 23, 3 [D. 353] *Ἐ. ὑπὸ τῆς περιεχούσης αὐτὸν σφαίρας κωλυόμενον ἄχρι παντὸς εὐθυπορεῖν καὶ ὑπὸ τῶν τροπικῶν κύκλων* [sc. *τὸν ἥλιον τρέπεσθαι*].

59. Idem II, 24, 7 [D. 354] *σελήνης αὐτὸν ὑπερχομένης* [sc. *ἥλιον ἐκλείπειν*].

60. Idem II 25, 15 [D. 357] *Ἐ. ἀέρα συνεστραμμένον, νεφοειδῆ, πεπηγότα ὑπὸ πυρός, ὥστε σίμμικτον* [sc. *τὴν σελήνην*]. Plut. de fac. in orbe lun. 5, 6 p. 922 C *καὶ γὰρ Ἐμπεδοκλεῖ δυσκολαίνουσι πάγον ἀέρος χαλαζώδη ποιοῦντι τὴν σελήνην ὑπὸ τῆς τοῦ πυρὸς σφαίρας περιεχόμενον.* Aet. II 27, 3 [D. 358] *δισκοειδῆ*; cf. Plut. quaest. Rom. 101 p. 288 B *τὸ γὰρ φαινόμενον σχῆμα τῆς σελήνης, ὅταν ἠι διχόμηνος, οὐ σφαιροειδὲς ἀλλὰ φακοειδές ἐστι καὶ δισκοειδές, ὡς δ' Ἐ. οἴεται, καὶ τὸ ὑποκείμενον.* Aet. II 28, 5 [D. 358] *Θαλῆς πρῶτος ἔφη ὑπὸ τοῦ ἡλίου φωτίζεσθαι. Πυθαγόρας, Παρμενίδης, Ἐ. ... ὁμοίως.*

61. Idem II 31, 1 [D. 362] *Ἐ. διπλάσιον ἀπέχειν τὴν σελήνην ἀπὸ τῆς γῆς ἥπερ ἀπὸ τοῦ ἡλίου,* Aetii vitio corruptum, quod esse debebat *ἀπέχειν τὸν ἥλιον ἀπὸ τῆς γῆς ἥπερ τὴν σελήνην.*

62. Hippol. I 4, 3 [D. 558] *ὥσπερ ὁ Ἐ. πάντα τὸν καθ' ἡμᾶς τόπον ἔφη κακῶν μεστὸν εἶναι καὶ μέχρι μὲν σελήνης τὰ κακὰ φθάνειν ἐκ τοῦ περὶ γῆν τόπου ταθέντα περαιτέρω δὲ μὴ χωρεῖν ἅτε καθαρωτέρου τοῦ ὑπὲρ τὴν σελήνην παντὸς ὄντος τόπου, οὕτω καὶ τῶι Ἡρακλείτωι ἔδοξεν.*

63. Arist. Meteor. B 9. 369^{b} 12 (de *ἀστραπῆι*) *τινὲς λέγουσιν ὡς ἐν τοῖς νέφεσιν ἐγγίνεται πῦρ. τοῦτο δ' Ἐ. μέν φησιν εἶναι τὸ ἐμπεριλαμβανόμενον τῶν τοῦ ἡλίου ἀκτίνων.* Aet. III 3, 7 [D. 368] *Ἐ. ἔμπτωσιν φωτὸς εἰς νέφος ἐξειργοντος τὸν ἀνθεστῶτα ἀέρα, οὗ τὴν μὲν σβέσιν* [? *σχίσιν* cf. § 3] *καὶ τὴν θραῦσιν κτύπον ἀπεργάζεσθαι, τὴν δὲ λάμψιν ἀστραπήν, κεραυνὸν δὲ τὸν τῆς ἀστραπῆς τόνον.*

64. Olympiod. in Meteor. *A* 13. 102, 1 Stüve *τί τὸ κινοῦν αὐτοὺς* [ventos] *λοξὴν κίνησιν; ὅτι οὐ τὸ γεῶδες καὶ τὸ πυρῶδες τὴν ἐναντίαν κινούμενα κίνησιν, ὡς Ἐ. ὤιετο, ἀλλ' ὁ κύκλωι κινούμενος ἀήρ.*

65. Aet. III 8, 1 [D. 375] *Ἐ. καὶ οἱ Στωικοὶ χειμῶνα μὲν γίνεσθαι τοῦ ἀέρος ἐπικρατοῦντος τῆι πυκνώσει εἰς τὸ ἀνωτέρω βιαζομένου, θερείαν δὲ τοῦ πυρός, ὅταν εἰς τὸ κατωτέρω βιάζηται.*

66. PHILO de prov. II 61 p. 86 Aucher (sec. Conybear.) *deinde ratiocinatus* [sc. Empedocles] *de mari ait: postquam concretum est id quod erat in extremitate orae maxime grandinis more* [i. e. postquam astra in *πάγον ἀέρος χαλαζωδη* (supra n. 51 et n. 30 p. 88, 35) concreta sunt], *aqua limosa* ⟨*facta est*⟩. *quidquid enim in terra humidi est, in demissis depressisque eius locis a ventis certatim flantibus nexibus quam fortissimis undique comprimi solebat.* AET. III 16, 3 [D. 381] *Ἐ. ἰδρῶτα τῆς γῆς ἐκκαιομένης ὑπὸ τοῦ ἡλίου διὰ τὴν ἐπὶ τὸ πλεῖον πίλησιν* [cf. II 6, 3 et fr. 55]. Aelian Hist. an. IX 64 *λέγει δὲ Ἀριστοτέλης, καὶ Δημόκριτος πρὸ ἐκείνου, Θεόφραστός τε ἐκ τρίτων καὶ αὐτός φησι μὴ τῶι ἁλμυρῶι ὕδατι τρέφεσθαι τοὺς ἰχθῦς, ἀλλὰ τῶι παρακειμένωι τῆι θαλάττηι γλυκεῖ ὕδατι* [cf. caus. pl. VI 10, 2]. *καὶ ἐπεὶ δοκεῖ πως ἄπιστον, δι' αὐτῶν τῶν ἔργων βεβαιῶσαι βουληθεὶς τὸ λεχθὲν ὁ τοῦ Νικομάχου λέγει* [Hist. anim. Θ 2. 590^{b}24] *εἶναί τι πότιμον ὕδωρ ἐν πάσηι θαλάττηι, καὶ ἐλέγχεσθαι τούτωι· εἴ τις ἀγγεῖον ἐκ κηροῦ ποιήσας κοῖλον καὶ λεπτὸν καθείη κενὸν ἐς τὴν θάλατταν, ἐξάψας ποθὲν ὥστε ἀνιμήσασθαι δύνασθαι, νυκτὸς δὲ διελθούσης καὶ ἡμέρας ἀρύεται πεπλησμένον, γλυκέος τε καὶ ποτίμου ὕδατος μεστὸν αὐτό. καὶ Ἐ. δὲ ὁ Ἀκραγαντῖνος λέγει τι εἶναι γλυκὺ ἐν τῆι θαλάττηι ὕδωρ οὐ πᾶσι δῆλον, τρόφιμον δὲ τῶν ἰχθύων. καὶ τὴν αἰτίαν τοῖδε τοῦ ἐν τῆι ἅλμηι γλυκαινομένου λέγει φυσικήν, ἣν ἐκεῖθεν εἴσεσθε.*

67. ARIST. de caelo B 13. 295^{a}13 *διὸ δὴ καὶ τὴν γῆν πάντες ὅσοι τον οὐρανὸν γεννῶσιν ἐπὶ τὸ μέσον συνελθεῖν φασιν. ὅτι δὲ μένει, ζητοῦσι τὴν αἰτίαν καὶ λέγουσιν οἱ μὲν τοῦτον τὸν τρόπον, ὅτι τὸ πλάτος καὶ τὸ μέγεθος αὐτῆς αἴτιον, οἱ δ' ὥσπερ Ἐ. τὴν τοῦ οὐρανοῦ φορὰν κύκλωι περιθέουσαν καὶ θᾶττον φερομένην τὴν τῆς γῆς φορὰν κωλύειν καθάπερ τὸ ἐν τοῖς κνάθοις ὕδωρ· καὶ γὰρ τοῦτο κύκλωι τοῦ κνάθου φερομένου πολλάκις κάτω τοῦ χαλκοῦ γινόμενον ὅμως οὐ φέρεται κάτω πεφυκὸς φέρεσθαι διὰ τὴν αὐτὴν αἰτίαν.*

68. SENECA nat. quaest. III 24, 1 *E. existimat ignibus, quos multis locis terra opertos tegit, aquam calescere, si subiecti sunt ei solo, per quod aquis transcursus est. facere solemus dracones et miliaria et complures formas, in quibus aere tenui fistulas struimus per declive circumlatas, ut saepe eundem ignem ambiens aqua per tantum fluat spatii quantum efficiendo calori sat est. frigida itaque intrat, effluit calida. idem sub terra E. existimat fieri.*

69. [ARIST.] probl. 24, 11. 937^{a}11 *διὰ τί ὑπὸ τῶν θερμῶν ὑδάτων μᾶλλον ἢ ὑπὸ τῶν ψυχρῶν πήγνυνται λίθοι; πότερον ὅτι τῆι τοῦ ὑγροῦ ἐκλείψει γίνεται λίθος, μᾶλλον δὲ ὑπὸ τοῦ θερμοῦ ἢ τοῦ ψυχροῦ ἐκλείπει τὸ ὑγρόν· καὶ ἀπολιθοῦται δὴ διὰ τὸ θερμόν, καθάπερ καὶ Ἐ. φησι τάς τε πέτρας καὶ τοὺς λίθους καὶ τὰ θερμὰ τῶν ὑδάτων γίνεσθαι* [hinc fortasse fabulosa nota Alberti M. de mineral. I 1, 4 (II 213 Jammy) adscito simul fr. 96 ex Aristotele] Psell. de lap. p. 38 Bernard. *τούτων δὲ τῶν παρὰ τοῖς λίθοις δυνάμεων* ⟨*τὰς*⟩ *αἰτίας πολλοὶ ἐθάρρησαν ἀποδοῦναι, τῶν μὲν ἀρχαιοτέρων σοφῶν Ἀναξαγόρας καὶ Ἐ. καὶ Δημόκριτος, τῶν δὲ οὐ πολὺ πρὸ ἡμῶν(!) ὁ ἐκ τῆς Ἀφροδισίας Ἀλέξανδρος.* PLUTARCH. prim. frig. 19, 4 p. 953 E *ταντὶ δὲ τὰ ἐμφανῆ κρημνοὺς καὶ σκοπέλους καὶ πέτρας Ἐ. μὲν ὑπὸ τοῦ πυρὸς οἴεται τοῦ ἐν βάθει τῆς γῆς ἑστάναι καὶ ἀνέχεσθαι διερειδόμενα φλεγμαίνοντος.*

De plantis, animalibus, hominibus.

70. Aet. V 26, 4 [D. 439] *Ἐ. πρῶτα τὰ δένδρα τῶν ζώιων ἐκ γῆς ἀναφῦναί φησι, πρὶν τὸν ἥλιον περιαπλωθῆναι* [recte si archetypi solis (A 56) meminerit] *καὶ πρὶν ἡμέραν καὶ νύκτα διακριθῆναι· διὰ δὲ συμμετρίας τῆς κράσεως τὸν τοῦ ἄρρενος καὶ τοῦ θήλεος περιέχειν λόγον. αὔξεσθαι δὲ ὑπὸ τοῦ ἐν τῆι γῆι θερμοῦ διαιρόμενα ὥστε γῆς εἶναι μέρη καθάπερ καὶ τὰ ἔμβρυα τὰ ἐν τῆι γαστρὶ τῆς μήτρας μέρη· τοὺς δὲ καρποὺς περιττώματα εἶναι τοῦ ἐν τοῖς φυτοῖς ὕδατος καὶ πυρός· καὶ τὰ μὲν ἐλλιπὲς ἔχοντα τὸ ὑγρὸν ἐξικμαζομένου αὐτοῦ τῶι θέρει φυλλορροεῖν, τὰ δὲ πλεῖον, παραμένειν* [cf. fr. 77. 78] *ὥσπερ ἐπὶ τῆς ὀάφνης καὶ τῆς ἐλαίας καὶ τοῦ φοίνικος· τὰς δὲ διαφορὰς τῶν χυμῶν (παρὰ) παραλλαγὰς τῆς (γῆς) πολυμερείας καὶ τῶν φυτῶν γίνεσθαι διαφόρως ἐλκόντων τὰς ἀπὸ τοῦ τρέφοντος ὁμοιομερείας ὥσπερ ἐπὶ τῶν ἀμπέλων· οὐ γὰρ αἱ διαφοραὶ τούτων χρηστὸν τὸν οἶνον ποιοῦσιν, ἀλλ' αἱ τοῦ τρέφοντος ἐδάφους.* Theophr. d. c. pl. I 12, 5 *Ἓν γάρ τι τὸ γεννῶν οὐχ ὥσπερ Ἐ. διαιρεῖ καὶ μερίζει τὴν μὲν γῆν εἰς τὰς ῥίζας, τὸν δ' αἰθέρα εἰς τοὺς βλαστοὺς ὡς ἑκάτερον ἑκατέρου χωριζόμενον, ἀλλ' ἐκ μιᾶς ὕλης καὶ ὑφ' ἑνὸς αἰτίου γεννῶντος.* Arist. de anima B 4. 415^{b}28 *Ἐ. δ' οὐ καλῶς εἴρηκε τοῦτο προστιθεὶς τὴν αὔξησιν συμβαίνειν τοῖς φυτοῖς κάτω μὲν συρριζουμένοις διὰ τὸ τὴν γῆν οὕτω φέρεσθαι κατὰ φύσιν, ἄνω δὲ διὰ τὸ πῦρ ὡσαύτως.* Plut. quaest. conv. VI 22, 6 p. 688A *τηρεῖται δὲ* [sc. *ἡ τροφή*] *τοῖς μὲν φυτοῖς ἀναισθήτως ἐκ τοῦ περιέχοντος, ὥς φησιν Ἐ., ὑδρευομένοις τὸ πρόσφορον.* [Arist.] de plant. A 1. 815^{a} 15 Arabice Alfredo interprete *Anaxagoras autem et Abrucalis* [i. e. Empedocles] *desiderio eas* [plantas] *moveri dicunt, sentire quoque et tristari delectarique asserunt ... Abr. autem sexum in his permixtum opinatus est.* ^{b}16 *Anaxagoras autem et Democritus et Abr. illas intellectum intellegentiamque habere dicebant.* 817^{a} 1 *quod dixit Abr. videlicet si invenitur in plantis sexus femineus et sexus masculinus sive species commixta ex his duobus sexubus.* 817^{b} 35 *dixitque Abr. quod plantae habent generationem, mundo tamen diminuto et non perfecto in complemento suo; et eo completo generabatur animal* [cf. fr. 79].

71. Hippocr. de prisc. med. 20 [sec. cod. A] *λέγουσι δέ τινες ἰητροὶ καὶ σοφισταί, ὡς οὐκ εἴη δυνατὸν ἰητρικὴν εἰδέναι ὅστις μὴ οἶδεν ὅ τί ἐστιν ἄνθρωπος, ἀλλὰ τοῦτο δεῖ [δεῖν?] καταμαθεῖν τὸν μέλλοντα ὀρθῶς θεραπεύσειν τοὺς ἀνθρώπους. τείνει δὲ αὐτοῖς ὁ λόγος ἐς φιλοσοφίαν καθάπερ Ἐ. ἢ ἄλλοι, οἳ περὶ φύσιος γεγράφασιν, ⟨φασίν⟩, ἐξ ἀρχῆς ὅ τί ἐστιν ἄνθρωπος καὶ ὅπως ἐγένετο πρῶτον καὶ ὁπόθεν συνεπάγη· ἐγὼ δὲ τοῦτο μέν, ὅσα τινὶ εἴρηται ἢ σοφιστῆι ἢ ἰητρῶι ἢ γέγραπται περὶ φύσιος ἧσσον νομίζω τῆι ἰητρικῆι τέχνηι προσήκειν ἢ τῆι γραφικῆι. νομίζω δὲ περὶ φύσιος γνῶναί τι σαφὲς οὐδαμόθεν ἄλλοθεν εἶναι ἢ ἐξ ἰητρικῆς.* Empedoclis physiologia ab Alcmaeone profecta quomodo ad posteriores medicos translata sit exp. Fredrich *Hippocr. Unters.* 1899 (Wilamowitz' *Philol. Unters.* XV) 126 sqq.

72. Aet. V 19, 5 [D. 430] *Ἐ. τὰς πρώτας γενέσεις τῶν ζώιων καὶ φυτῶν μηδαμῶς ὁλυκλήρους γενέσθαι, ἀσυμφυέσι δὲ τοῖς μορίοις διεζευγμένας, τὰς δὲ δευτέρας συμφυομένων τῶν μερῶν εἰδωλοφανεῖς, τὰς δὲ τρίτας τῶν ὁλοφυῶν, τὰς δὲ τετάρτας οὐκέτι ἐκ τῶν ὁμοίων [? ὁμοιομερῶν* cf. v. 11] *οἷον ἐκ γῆς καὶ ὕδατος ἀλλὰ δι' ἀλλήλων ἤδη, τοῖς μὲν πυκνωθείσης τῆς τροφῆς, τοῖς δὲ καὶ τῆς εὐμορφίας τῶν γυναικῶν ἐπερεθισμὸν τοῦ σπερματικοῦ κινήματος ἐμποιησάσης· τῶν δὲ ζώιων πάντων τὰ γένη διακριθῆναι διὰ τὰς ποιὰς κράσεις· τὰ μὲν οἰ-*

κειότερα [*ὑγρότερα?*] *εἰς τὸ ὕδωρ τὴν ὁρμὴν ἔχειν, τὰ δὲ εἰς ἀέρα* [*ἀναπνεῖν*] *ὅσ' ἂν πυρῶδες ἔχῃ τὸ πλέον, τὰ δὲ βαρύτερα ἐπὶ τὴν γῆν, τὰ δὲ ἰσόμοιρα τῇι κράσει πᾶσι τοῖς θώραξι πεφωνηκέναι* [*τοῖς χωρίοις σύμφωνα εἶναι?*] CENSORIN. 4, 7 *E. autem egregio suo carmine . . . tale quiddam confirmat. primo membra singula ex terra quasi praegnate passim edita, deinde coisse et effecisse solidi hominis materiam igni simul et umori permixtam* [cf. Parmen. A 51]. Varro Eumenid. sat. fr. 27 Büch. *E. natos homines ex terra ait ut blitum* (cf. Luc. Philopseud. 3 *τοὺς πρώτους ἀνθρώπους ἐκ τῆς Ἀττικῆς ἀναφῦναι καθάπερ τὰ λάχανα* et Censor. l. c. § 11 sqq.).

73. ARIST. de part. anim. B 2. 648ᵃ 25 [cf. p. 56 n. 52] *ἔνιοι γὰρ τὰ ἔνυδρα τῶν πεζῶν θερμότερά φασιν εἶναι λέγοντες ὡς ἐπανισοῖ τὴν ψυχρότητα τοῦ τόπου ἡ τῆς φύσεως αὐτῶν θερμότης καὶ τὰ ἄναιμα τῶν ἐναίμων καὶ τὰ θήλεα τῶν ἀρρένων, οἷον Παρμενίδης τὰς γυναῖκας τῶν ἀνδρῶν θερμοτέρας εἶναί φησι καὶ ἕτεροί τινες, ὡς διὰ τὴν θερμότητα καὶ πολυναιμούσαις γινομένων τῶν γυναικείων, Ἐ. δὲ τοὐναντίον.* ARIST. de resp. 14. 477ᵃ 32 *Ἐ. δ' οὐ καλῶς τοῦτ' εἴρηκε φάσκων τὰ θερμότατα καὶ πῦρ ἔχοντα πλεῖστον τῶν ζῴων ἔννδρα εἶναι φεύγοντα τὴν ὑπερβολὴν τῆς ἐν τῇι φύσει θερμότητος.* THEOPHR. caus. pl. I 21, 5 *ὥσπερ καὶ Ἐ. λέγει περὶ τῶν ζῴων· τὰ γὰρ ὑπέρπυρα τὴν φύσιν ἄγειν εἰς τὸ ὑγρόν* [cf. 22, 2].

74. AET. IV 22, 1 [D. 411] *Ἐ. τὴν πρώτην ἀναπνοὴν τοῦ πρώτου ζῴου* [sc. in cosmogonia cf. V 7, 1] *γενέσθαι τῆς* ⟨*μὲν*⟩ *ἐν τοῖς βρέφεσιν ὑγρασίας ἀποχώρησιν λαμβανούσης, πρὸς δὲ τὸ παρακενωθὲν ἐπεισόδου* [*τῆς ἔξωθεν*] *τοῦ ἐκτὸς ἀερώδους γινομένης εἰς τὰ παρανοιχθέντα τῶν ἀγγείων· τὸ δὲ μετὰ τοῦτο ἤδη τοῦ ἐμφύτου θερμοῦ τῇι πρὸς τὸ ἐκτὸς ὁρμῇι τὸ ἀερῶδες ὑπαναθλίβοντος τὴν ἐκπνοήν, τῇι δ' εἰς τὸ ἐντὸς* [*ἐκτὸς* libri: corr. Bernardakis] *ἀνθυποχωρήσει τῶι ἀερώδει τὴν ἀντεπείσοδον παρεχομένου τὴν εἰσπνοήν. τὴν δὲ νῦν κατέχουσαν φερομένου τοῦ αἵματος ὡς πρὸς τὴν ἐπιφάνειαν καὶ τὸ ἀερῶδες διὰ τῶν ῥινῶν ταῖς ἐαυτοῦ ἐπιῤῥοίαις ἀναθλίβοντος κατὰ τὴν ἐκχώρησιν αὐτοῦ γίνεσθαι τὴν ἐκπνοήν, παλινδρομοῦντος δὲ καὶ τοῦ ἀέρος ἀντεισιόντος εἰς τὰ διὰ τοῦ αἵματος ἀραιώματα τὴν εἰσπνοήν· ὑπομιμήισκει δὲ τὸ ἐπὶ τῆς κλεψύδρας* [fr. 100, 9]. idem minus recte exposuit V 15, 3 [D. 425].

75. AET. V 18, 1 [D. 427] *Ἐ. ὅτε ἐγεννᾶτο τὸ τῶν ἀνθρώπων γένος ἐκ τῆς γῆς, τοσαύτην γενέσθαι τῶι μήκει τοῦ χρόνου διὰ τὸ βραδυπορεῖν τὸν ἥλιον τὴν ἡμέραν, ὁπόση νῦν ἐστιν ἡ δεκάμηνος· προϊόντος δὲ τοῦ χρόνου, τοσαύτην γενέσθαι τὴν ἡμέραν, ὁπόση νῦν ἐστιν ἡ ἑπτάμηνος· διὰ τοῦτο καὶ τὰ δεκάμηνα καὶ τὰ ἑπτάμηνα, τῆς φύσεως τοῦ κόσμου οὕτω μεμελετηκυίας, αὔξεσθαι ἐν μιᾶι ἡμέραι ἢι τίθεται νυκτὶ* [*τίκτεται νυνὶ* Casaub.] *τὸ βρέφος* [hinc Tzetz. exeg. Il. p. 42, 17].

76. PLATO Phaedo 96 AB (Socrates loquitur) *ἐγὼ γάρ, ἔφη, ὦ Κέβης, νέος ὢν θαυμαστῶς ὡς ἐπεθύμησα ταύτης τῆς σοφίας, ἣν δὴ καλοῦσι περὶ φύσεως ἱστορίαν. ὑπερήφανος γάρ μοι ἐδόκει εἶναι εἰδέναι τὰς αἰτίας ἑκάστου διὰ τί γίγνεται ἕκαστον καὶ διὰ τί ἀπόλλυται καὶ διὰ τί ἔστιν. καὶ πολλάκις ἐμαυτὸν ἄνω κάτω μετέβαλλον σκοπῶν πρῶτον τὰ τοιάδε· ἆρ' ἐπειδὰν τὸ θερμὸν καὶ ψυχρὸν* [*ὑγρὸν* Sprengel, at cf. Dox. 564, 3] *σηπεδόνα τινὰ λάβῃι, ὥς τινες* [Empedocles, Archelaus] *ἔλεγον, τότε δὴ τὰ ζῶια συντρέφεται; καὶ πότερον τὸ αἱμά ἐστιν ὧι φρονοῦμεν* [Empedocles] *ἢ ὁ*

ἀήρ [Anaximenes, Diogenes] ἢ τὸ πῦρ; [Heraclitus] ἢ τούτων μὲν οὐδέν, ὁ δ' ἐγκέφαλός ἐστιν; [Alcmaeo] κτλ.

77. Aet. V 27, 1 [D. 440] Ἐ. τρέφεσθαι μὲν τὰ ζῶια διὰ τὴν ὑπόστασιν τοῦ ὑγροῦ [ὑγροῦ arcessivi ex 28, 1, cuius in locum οἰκείου hic traditum vicissim relegavi], αὔξεσθαι δὲ διὰ τὴν παρουσίαν τοῦ θερμοῦ, μειοῦσθαι δὲ καὶ φθίνειν διὰ τὴν ἔκλειψιν ἑκατέρων. τοὺς δὲ νῦν ἀνθρώπους τοῖς πρώτοις συμβαλλομένους βρεφῶν ἐπέχειν τάξιν. [Gal.] def. med. 99 (XIX 372) πῶς Ἱπποκράτης καὶ Ἐρασίστρατος καὶ Ἐ. καὶ Ἀσκληπιάδης τὰς πέψεις τῆς τροφῆς φασι γίνεσθαι . . . Ἐ. δὲ σήψει. cf. fr. 68. 81. (idem ex Emp. Diocles Pseudosoran. Quaest. med. 61. V. Rose Anecd. gr. II 255, 27. 30. M. Wellmann *Fragm. d. Aerzte* p. 34).

78. Aet. V 22, 1 [D. 434] Ἐ. τὰς μὲν σάρκας γεννᾶσθαι ἐκ τῶν ἴσων τῇι κράσει τεττάρων στοιχείων, τὰ δὲ νεῦρα πυρὸς καὶ γῆς ὕδατι [sic Gal. B] διπλασίονι [διπλάσιον, διπλασίονα libri: corr. Bernardakis] μιχθέντων, τοὺς δὲ ὄνυχας τοῖς ζώιοις γεννᾶσθαι τῶν νεύρων καθ' ὃ τῶι ἀέρι συνέτυχε περιψυχθέντων, ὁστᾶ δὲ δυεῖν μὲν ὕδατος καὶ γῆς, τεττάρων δὲ πυρός, ἔσω γῆς [sic transposui cf. fr. 96, 1] τούτων συγκραθέντων μερῶν. ἰσρῶτα ⟨δὲ⟩ καὶ δάκρυον γίνεσθαι τοῦ αἵματος τηκομένου καὶ παρὰ τὸ λεπτύνεσθαι διαχεομένου. Arist. de part. an. A 1. 642ᵃ 17 ἀρχὴ γὰρ ἡ φύσις μᾶλλον τῆς ὕλης, ἐνιαχοῦ δέ που αὐτῆι καὶ Ἐ. περιπίπτει, ἀγόμενος ὑπ' αὐτῆς τῆς ἀληθείας, καὶ τὴν οὐσίαν καὶ τὴν φύσιν ἀναγκάζεται φάναι τὸν λόγον εἶναι, οἷον ὀστοῦν ἀποδιδοὺς τί ἐστιν· οὔτε γὰρ ἓν τι τῶν στοιχείων λέγει αὐτὸ οὔτε δύο ἢ τρία οὔτε πάντα, ἀλλὰ λόγον τῆς μίξεως αὐτῶν. Arist. de anima A. 4. 408ᵃ 13 ὁμοίως δὲ ἄτοπον καὶ ⟨τὸ⟩ τὸν λόγον τῆς μίξεως εἶναι τὴν ψυχήν· οὐ γὰρ τὸν αὐτὸν ἔχει λόγον ἡ μίξις τῶν στοιχείων καθ' ἣν σὰρξ καὶ καθ' ἣν ὀστοῦν· συμβήσεται οὖν πολλάς τε ψυχὰς ἔχειν καὶ κατὰ πᾶν τὸ σῶμα, εἴπερ πάντα μὲν ἐκ τῶν στοιχείων μεμειγμένων, ὁ δὲ τῆς μίξεως λόγος ἁρμονία καὶ ψυχή. ἀπαιτήσειε δ' ἄν τις τοῦτό γε καὶ παρ' Ἐμπεδοκλέους· ἕκαστον γὰρ αὐτῶν λόγωι τινί φησιν εἶναι· πότερον οὖν ὁ λόγος ἐστὶν ἡ ψυχή, ἢ μᾶλλον ἕτερόν τι οὖσα ἐγγίνεται τοῖς μέλεσι [var. l. μέρεσι vel μιχθεῖσι]. ἔτι δὲ πότερον ἡ Φιλία τῆς τυχούσης αἰτία μίξεως ἢ τῆς κατὰ τὸν λόγον; καὶ αὕτη πότερον ὁ λόγος ἐστὶν ἢ παρὰ τὸν λόγον ἕτερόν τι; cf. Metaph. A 10. 993ᵃ 15. [Arist.] de spiritu 9. 485ᵇ 26 Ἐ. αἰτίαν ἁπλῶς τὴν τοῦ ὀστοῦ φύσιν. ⟨ἔτι δὲ⟩ εἴπερ ἅπαντα τὸν αὐτὸν λόγον ἔχει τῆς μίξεως, ἀδιάφορα ἐχρῆν ἵππου καὶ λέοντος καὶ ἀνθρώπου εἶναι. Plutarch. quaest. nat. 20, 2 p. 917 A ἔνιοι δέ φασιν ὥσπερ γάλακτος ὀρρὸν τοῦ αἵματος ταραχθέντος ἐκκρούεσθαι τὸ δάκρυον, ὡς Ἐ.

79. Soranus Gynaec. I 57 p. 225, 16 (Rose) de umbilico: συγκέκριται δ' ἐκ τεττάρων τὸν ἀριθμὸν ἀγγείων δύο φλεβωδῶν καὶ δύο ἀρτηριῶν, δι' ὧν εἰς θρέψιν ὕλη αἱματικὴ καὶ πνευματικὴ παρακομίζεται τοῖς ἐμβρύοις. ἐμφύεσθαι δὲ ταῦτα Ἐμπεδοκλῆς μὲν εἰς τὸ ἧπαρ οἴεται, Φαίδρος δὲ εἰς τὴν καρδίαν.

80. Idem I 21 p. 185, 18 de menstruis: ἔστι γὰρ ὅτε καὶ προπαραλαμβάνει τινὰς ἡμέρας ἢ ἐφυστερεῖ. τοῦτο δὲ ἐν ἑκάστηι κατὰ τὴν ἰδίαν ἀπαντᾶι προθεσμίαν καὶ οὐ⟨κ ἀεί⟩ κατὰ τὰς αὐτὰς ⟨περιόδους⟩ ὥσπερ ὁ Διοκλῆς [fr. 171] ⟨φησι⟩ πάσαις, καὶ πάλιν Ἐ., ἐλαττουμένου τοῦ φωτὸς τῆς σελήνης. αἱ μὲν γὰρ πρὸ εἰκάδος αἱ δὲ ἐν εἰκάδι καθαίρονται, καὶ πάλιν αἱ μὲν αὐξανομένου τοῦ φωτὸς τῆς σελήνης αἱ δὲ μειουμένου. [cf. Ar. de anim. hist. H 2. 582ᵃ 34].

81. ARIST. de gener. anim. Δ 1. 764ᵃ 1 (de sexus differentia) *οἱ δ' ἐν τῇι μήτραι καθάπερ Ἐ.· τὰ μὲν γὰρ εἰς θερμὴν ἐλθόντα τὴν ὑστέραν ἄρρενα γίνεσθαί φησι, τὰ δ' εἰς ψυχρὰν θήλεα, τῆς δὲ θερμότητος καὶ τῆς ψυχρότητος τὴν τῶν καταμηνίων αἰτίαν εἶναι φύσιν ἢ ψυχροτέραν οὖσαν ἢ θερμοτέραν καὶ ἢ παλαιοτέραν ἢ προσφατωτέραν·... τοῦτο γὰρ ὡς ἀληθῶς Ἐ. φαιθυμότερον ὑπείληφεν οἰόμενος ψυχρότητι καὶ θερμότητι διαφέρειν μόνον ἀλλήλων, ὁρῶν ὅλα τὰ μόρια μεγάλην ἔχοντα διαφορὰν τήν τε τῶν αἱδοίων καὶ τὴν τῆς ὑστέρας.* ibid. 765ᵃ 8 *ἀναγκαῖον ἁπάντᾶν καὶ πρὸς τὸν Ἐμπεδοκλέους λόγον, ὃς διορίζει τὸ θῆλυ πρὸς τὸ ἄρρεν θερμότητι καὶ ψυχρότητι τῆς ὑστέρας.* AET. V 7, 1 [D. 419] *Ἐ. ἄρρενα καὶ θήλεα γίνεσθαι παρὰ θερμότητα καὶ ψυχρότητα· ὅθεν ἱστορεῖται τοὺς μὲν πρώτους ἄρρενας πρὸς ἀνατολῆι καὶ μεσημβρίαι γεγενῆσθαι μᾶλλον ἐκ τῆς γῆς, τὰς δὲ θηλείας πρὸς ταῖς ἄρκτοις.* 11, 1 [D. 422] *Ἐ. ὁμοιότητας* [scil. *τῶν γονέων καὶ τῶν προγόνων*] *γίνεσθαι κατ' ἐπικράτειαν τῶν σπερματικῶν γόνων, ἀνομοιότητας δὲ τῆς ἐν τῶι σπέρματι θερμασίας ἐξατμισθείσης* [cf. Hipp. de genit. 8. VII 480 h.]. 8, 1 [D. 420] *Ἐ. τέρατα γίνεσθαι παρὰ πλεονασμὸν σπέρματος ἢ παρ' ἔλλειψιν ἢ παρὰ τὴν τῆς κινήσεως ταραχὴν ἢ παρὰ τὴν εἰς πλείω διαίρεσιν ἢ παρὰ τὸ ἀπονενεῦν. οὕτω προειλημμένως φαίνεται σχεδόν τι πάσας τὰς αἰτιολογίας.* 10, 1 [D. 421] *Ἐ. δίδυμα καὶ τρίδυμα γίνεσθαι κατὰ πλεονασμὸν καὶ περισχισμὸν τοῦ σπέρματος.* 11, 1 [D. 422] *πόθεν γίνονται τῶν γονέων αἱ ὁμοιώσεις καὶ τῶν προγόνων. Ἐ. ὁμοιότητας γίνεσθαι κατ' ἐπικράτειαν τῶν σπερματικῶν γόνων, ἀνομοιότητας δὲ τῆς ἐν τῶι σπέρματι θερμασίας ἐξατμισθείσης.* 12, 2 [D. 423] *πῶς ἄλλοις γίνονται ὅμοιοι οἱ γεννώμενοι καὶ οὐ τοῖς γονεῦσιν. Ἐ. τῆι κατὰ τὴν σύλληψιν φαντασίαι τῆς γυναικὸς μορφοῦσθαι τὰ βρέφη· πολλάκις γὰρ ἀνδριάντων καὶ εἰκόνων ἠράσθησαν γυναῖκες καὶ ὅμοια τούτοις ἀπέτεκον* [cf. Soran. p. 204, 18 Rose; Dionys. de imit. p. 17, 18 Usen.]. CENSORIN. 5, 4 *illud quoque ambiguum facit inter auctores opinionem, utrumne ex patris tantummodo semine partus nascatur ... an etiam ex matris, quod Anaxagorae et Alcmaeoni nec non Parmenidi Empedoclique et Epicuro visum est.* 6, 6 *ex dextris partibus profusa semine mares gigni, at e laevis feminas Anaxagoras Empedoclesque consentiunt. quorum opiniones, ut de hac specie congruae, ita de similitudine liberorum dispariles. super qua re Empedoclis, disputata ratione, talis profertur. si par calor in parentum seminibus fuit, patri similem marem procreari; si frigus, feminam matri similem. quodsi patris calidius erit et frigidius matris, puerum fore qui matris vultus repraesentet: at si calidius matris, patris autem fuerit frigidius, puellam futuram quae patris reddat similitudinem.* 6, 9. 10 *sequitur de geminis, qui ut aliquando nascantur modo seminis fieri Hippon ratus (est): id enim cum amplius est quam uni satis fuit, bifariam deduci. id ipsum ferme E. videtur sensisse: nam causas quidem cur divideretur non posuit; partiri tantum modo ait et si utrumque sedes aeque calidas occupaverit, utrumque marem nasci, si frigidas aeque utramque feminam, si vero alterum calidiorem, alterum frigidiorem, dispari sexu partum futurum.*

82. ARIST. de gen. anim. B 8. 747ᵃ 24 *τὸ δὲ τῶν ἡμιόνων γένος ὅλον ἄγονόν ἐστιν. περὶ δὲ τῆς αἰτίας, ὡς μὲν λέγουσιν Ἐ. καὶ Δημόκριτος, λέγων ὁ μὲν οὐ σαφῶς, Δημόκριτος δὲ γνωρίμως μᾶλλον, οὐ καλῶς εἰρήκασιν. λέγουσι γὰρ ἐπὶ πάντων ὁμοίως τὴν ἀπόδειξιν τῶν παρὰ τὴν συγγένειαν συνδυαζομένων ... Ἐ. δ' αἰτιᾶται κτλ.* cf. ad fr. 92. AET. V 14, 2 [D. 425] *διὰ τί*

αἱ ἡμιόνοι στεῖραι. Ἐ. [?] διὰ τὴν σμικρότητα καὶ ταπεινότητα καὶ στενότητα τῆς μήτρας κατεστραμμένως προσπεφυκυίας τῇ γαστρὶ μήτε τοῦ σπέρματος εὐθυβολοῦντος εἰς αὐτὴν μήτε, εἰ καὶ φθάσειεν, αὐτῆς ἐκδεχομένης.

83. Aet. V 21, 1 [D. 433] ἐν πόσοις χρόνοις μορφοῦται τὰ ζῶια ἐν γαστρὶ ὄντα. Ἐ. ἐπὶ μὲν τῶν ἀνθρώπων ἄρχεσθαι τῆς διαρθρώσεως ἀπὸ ἕκτης καὶ τριακοστῆς, τελειοῦσθαι δὲ τοῖς μορίοις ἀπὸ πεντηκοστῆς μιᾶς δεούσης (cf. n. 82). Oribasius ex Athenaeo III 78, 13 [Diocles fr. 175] περὶ δὲ τὰς τέσσαρας ἐννεάδας ὁρᾶται πρῶτον διακεκριμένον ὅλον τὸ σῶμα ἢ τὸ τελευταῖον μιᾶς προστεθείσης τετράδος περὶ τὴν τεσσαρακοντάδα. συμφωνεῖ δὲ τοῖς χρόνοις τῆς παντελοῦς τῶν ἐμβρύων διακρίσεως καὶ ὁ φυσικὸς Ἐ. καὶ φησίν, ὅτι θᾶσσον διαμορφοῦται τὸ ἄρρεν τοῦ θήλεος καὶ τὰ ἐν τοῖς δεξιοῖς τῶν ἐν τοῖς εὐωνύμοις. Censorin. 7, 5 *septimo mense parere mulierem posse plurimi adfirmant ut ... Empedocles, Epigenes multique praeterea.*

84. Censorin. 6, 1 *E., quem in hoc Aristoteles secutus est, ante omnia cor iudicavit increscere, quod hominis vitam maxime contineat.*

85. Aet. V 24, 2 [D. 435] Ἐ. τὸν μὲν ὕπνον καταψύξει τοῦ ἐν τῶι αἵματι θερμοῦ συμμέτρωι γίνεσθαι, τῆι δὲ παντελεῖ θάνατον. 25, 4 [D. 437] Ἐ. τὸν θάνατον γίγνεσθαι διαχωρισμῶι τοῦ πυρώδους ⟨καὶ ἀερώδους καὶ ὑδατώδους καὶ γεώδους⟩ ἐξ ὧν ἡ σύγκρισις τῶι ἀνθρώπωι συνεστάθη· ὥστε κατὰ τοῦτο κοινὸν εἶναι τὸν θάνατον σώματος καὶ ψυχῆς· ὕπνον δὲ γίνεσθαι διαχωρισμῶι τοῦ πυρώδους.

De anima.

86. Theophrast. de sensu 1 sqq. [D. 499 sqq.] *Παρμενίδης μὲν καὶ Ἐ. καὶ* 1
Πλάτων τῶι ὁμοίωι [sc. ποιοῦσι τὴν αἴσθησιν], *οἱ δὲ περὶ Ἀναξαγόραν καὶ* 2
Ἡράκλειτον τῶι ἐναντίωι . . . περὶ ἑκάστης δὲ τῶν κατὰ μέρος οἱ μὲν ἄλλοι σχεδὸν ἀπολείπουσιν, Ἐ. δὲ πειρᾶται καὶ ταύτας ἀνάγειν εἰς τὴν ὁμοιότητα.

[D. 500] *Ἐ. δὲ περὶ ἁπασῶν ὁμοίως λέγει καὶ φησι τῶι ἐναρμόττειν εἰς* 7
τοὺς πόρους τοὺς ἑκάστης αἰσθάνεσθαι· διὸ καὶ οὐ δύνασθαι, τὰ ἀλλήλων κρίνειν, ὅτι τῶν μὲν εὐρύτεροί πως, τῶν δὲ στενώτεροι τυγχάνουσιν οἱ πόροι πρὸς τὸ αἰσθητόν, ὡς τὰ μὲν οὐχ ἁπτόμενα διεντονεῖν τὰ δ' ὅλως εἰσελθεῖν οὐ δύνασθαι. πειρᾶται δὲ καὶ τὴν ὄψιν λέγειν, ποία τίς ἐστι· καὶ φησὶ τὸ μὲν ἐντὸς αὐτῆς εἶναι πῦρ [cf. fr. 84. 85], *τὸ δὲ περὶ αὐτὸ* [scil. τὸ πῦρ] ⟨*ὕδωρ καὶ*⟩ *γῆν καὶ ἀέρα δι' ὧν διέναι λεπτὸν ὂν καθάπερ τὸ ἐν τοῖς λαμπτῆρσι φῶς. τοὺς δὲ πόρους ἐναλλὰξ κεῖσθαι τοῦ τε πυρὸς καὶ τοῦ ὕδατος, ὧν τοῖς μὲν τοῦ πυρὸς τὰ λευκά, τοῖς δὲ τοῦ ὕδατος τὰ μέλανα γνωρίζειν· ἐναρμόττειν γὰρ ἑκατέροις ἑκάτερα. φέρεσθαι δὲ τὰ χρώματα πρὸς τὴν ὄψιν διὰ τὴν ἀπορροήν.*

συγκεῖσθαι δ' οὐχ ὁμοίως, ⟨ἀλλὰ τὰς μὲν ἐκ τῶν ὁμοίων⟩, τὰς δ' ἐκ 8
τῶν ἀντικειμένων, καὶ ταῖς μὲν ἐν μέσωι, ταῖς δ' ἐκτὸς εἶναι τὸ πῦρ· διὸ καὶ τῶν ζώιων τὰ μὲν ἐν ἡμέραι τὰ δὲ νύκτωρ μᾶλλον ὀξυωπεῖν· ὅσα μὲν πυρὸς ἔλαττον ἔχει, μεθ' ἡμέραν· ἐπανισοῦσθαι γὰρ αὐτοῖς τὸ ἐντὸς φῶς ὑπὸ τοῦ ἐκτός· ὅσα δὲ τοῦ ἐναντίου νύκτωρ· ἐπαναπληροῦσθαι γὰρ καὶ τούτοις τὸ ἐνδεές· ἐν δὲ τοῖς ἐναντίοις ⟨ἐναντίως⟩ ἑκάτερον. ἀμβλυωπεῖν μὲν γὰρ καὶ οἷς ὑπερέχει τὸ πῦρ· ἐπαυξηθὲν ⟨γὰρ⟩ ἔτι μεθ' ἡμέραν ἐπιπλάττειν καὶ καταλαμβάνειν τοὺς τοῦ ὕδατος πόρους· οἷς δὲ τὸ ὕδωρ, ταὐτὸ τοῦτο γίνεσθαι νύκτωρ· καταλαμβάνεσθαι γὰρ τὸ πῦρ ὑπὸ τοῦ ὕδατος. ⟨γίγνεσθαι δὲ ταῦτα⟩, ἕως ἂν

τοῖς μὲν ὑπὸ τοῦ ἔξωθεν φωτὸς ἀποκριθῆι τὸ ὕδωρ, τοῖς δ' ὑπὸ τοῦ ἀέρος [Empedoclis epico usu, ut aquosus aer significetur cf. p. 101, 4] τὸ πῦρ. ἑκατέρων γὰρ ἔασιν εἶναι τὸ ἐναντίον. ἄριστα δὲ κεκρᾶσθαι καὶ βελτίστην εἶναι τὴν ἐξ ἀμφοῖν ἴσων συγκειμένην. καὶ περὶ μὲν ὄψεως σχεδὸν ταῦτα λέγει.

τὴν δ' ἀκοὴν ἀπὸ τῶν ἔξωθεν [ἔσωθεν Schneider e p. 102, 13] γίνεσθαι ψόφων, ὅταν γὰρ [l. ὁ ἀὴρ] ὑπὸ τῆς φωνῆς κινηθὲν [l. —εἰς] ἠχῆι ἐντός. ὥσπερ γὰρ εἶναι κώδωνα τῶν ἴσων [? ἔσωθεν] ἦχων τὴν ἀκοήν, ἣν προσαγορεύει σάρκινον ὄζον· κινουμένην [κινουμένης?] δὲ παίειν τὸν ἀέρα πρὸς τὰ στερεὰ καὶ ποιεῖν ἦχον. ὅσφρησιν δὲ γίνεσθαι τῆι ἀναπνοῆι. διὸ καὶ μάλιστα ὀσφραίνεσθαι τούτους, οἷς σφοδροτάτη τοῦ ἄσθματος ἡ κίνησις· ὀσμὴν δὲ πλείστην ἀπὸ τῶν λεπτῶν καὶ τῶν κοίφων ἀπορρεῖν. περὶ δὲ γεύσεως καὶ ἁφῆς οὐ διορίζεται καθ' ἑκατέραν οὔτε πῶς οὔτε δι' ἃ γίγνονται, πλὴν τὸ κοινὸν ὅτι τῶι ἐναρμόττειν τοῖς πόροις αἴσθησίς ἐστιν· ἥδεσθαι δὲ τοῖς ὁμοίοις κατά τε ⟨τὰ⟩ μόρια καὶ τὴν κρᾶσιν [i. e. κατὰ τὴν ἐν τοῖς καθ' ἕκαστα μορίοις τοῦ σώματος κρᾶσιν τῶν στοιχείων cf. § 10], λυπεῖσθαι δὲ τοῖς ἐναντίοις. 9

ὡσαύτως δὲ λέγει καὶ περὶ φρονήσεως καὶ ἀγνοίας. τὸ μὲν γὰρ φρονεῖν εἶναι τοῖς ὁμοίοις, τὸ δ' ἀγνοεῖν τοῖς ἀνομοίοις, ὡς ἡ ταὐτὸν ἢ παραπλήσιον ὂν τῆι αἰσθήσει τὴν φρόνησιν. διαριθμησάμενος γάρ, ὡς ἕκαστον ἑκάστωι γνωρίζομεν, ἐπὶ τέλει προσέθηκεν ὡς 'ἐκ τούτων — ἀνιῶνται [fr. 107] διὸ καὶ τῶι αἵματι μάλιστα φρονεῖν· ἐν τούτωι γὰρ μάλιστα κεκρᾶσθαι [ἐστὶ] τὰ στοιχεῖα τῶν μερῶν. 10 11

ὅσοις μὲν οὖν ἴσα καὶ παραπλήσια μέμεικται καὶ μὴ διὰ πολλοῦ μηδ' αὖ μικρὰ μηδ' ὑπερβάλλοντα τῶι μεγέθει, τούτους φρονιμωτάτους εἶναι καὶ κατὰ τὰς αἰσθήσεις ἀκριβεστάτους, κατὰ λόγον δὲ καὶ τοὺς ἐγγυτάτω τούτων, ὅσοις δ' ἐναντίως, ἀφρονεστάτους. καὶ ὧν μὲν μανὰ καὶ ἀραιὰ κεῖται τὰ στοιχεῖα, νωθροὺς καὶ ἐπιπόνους· ὧν δὲ πυκνὰ καὶ κατὰ μικρὰ τεθρανσμένα, τοὺς δὲ τοιούτους ὀξεῖς φερομένους καὶ πολλοῖς ἐπιβαλλομένους ὀλίγα ἐπιτελεῖν διὰ τὴν ὀξύτητα τῆς τοῦ αἵματος φορᾶς. οἷς δὲ καθ' ἕν τι μόριον ἡ μέση κρᾶσίς ἐστι, ταύτηι σοφοὺς ἑκάστους εἶναι· διὸ τοὺς μὲν ῥήτορας ἀγαθούς, τοὺς δὲ τεχνίτας, ὡς τοῖς μὲν ἐν ταῖς χερσί, τοῖς δὲ ἐν τῆι γλώττηι τὴν κρᾶσιν οὖσαν· ὁμοίως δ' ἔχειν καὶ κατὰ τὰς ἄλλας δυνάμεις.

Ἐ. μὲν οὖν οὕτως οἴεται καὶ τὴν αἴσθησιν γίνεσθαι καὶ τὸ φρονεῖν, ἀπορήσειε δ' ἄν τις ἐξ ὧν λέγει πρῶτον μέν, τί διοίσει τὰ ἔμψυχα πρὸς τὸ αἰσθάνεσθαι τῶν ἄλλων. ἐναρμόττει γὰρ καὶ τοῖς τῶν ἀψύχων πόροις· ὅλως γὰρ ποιεῖ τὴν μίξιν τῆι συμμετρίαι τῶν πόρων· διόπερ ἔλαιον μὲν καὶ ὕδωρ οὐμείγνυσθαι, τὰ δὲ ἄλλα ὑγρὰ καὶ περὶ ὅσων δὴ καταριθμεῖται τὰς ἰδίας κράσεις. ὥστε πάντα τε αἰσθήσεται καὶ ταὐτὸν ἔσται μίξις καὶ αἴσθησις καὶ αὔξησις· πάντα γὰρ ποιεῖ τῆι συμμετρίαι τῶν πόρων, ἐὰν μὴ προσθῆι τινα διαφοράν. 12

ἔπειτα ἐν αὐτοῖς τοῖς ἐμψύχοις τί μᾶλλον αἰσθήσεται τὸ ἐν τῶι ζώιωι πῦρ ἢ τὸ ἐκτός, εἴπερ ἐναρμόττουσιν ἀλλήλοις; ὑπάρχει γὰρ καὶ ἡ συμμετρία καὶ τὸ ὅμοιον. ἔτι δὲ ἀνάγκη διαφοράν τινα ἔχειν, εἴπερ αὐτὸ μὲν μὴ δύναται συμπληροῦν τοὺς πόρους, τὸ δ' ἔξωθεν ἐπεισιόν· ὥστ' εἰ ὅμοιον ἦν πάντηι καὶ πάντως, οὐκ ἂν ἦν αἴσθησις. ἔτι δὲ πότερον οἱ πόροι κενοὶ ἢ πλήρεις; εἰ μὲν γὰρ κενοί, συμβαίνει διαφωνεῖν ἑαυτῶι. φησὶ γὰρ ὅλως οὐκ εἶναι κενόν· εἰ δὲ πλήρεις, ἀεὶ ἂν αἰσθάνοιτο τὰ ζῶια· δῆλον γὰρ ὡς ἐναρμόττει, καθάπερ φησί, τὸ ὅμοιον. 13

καίτοι κἂν αὐτὸ τοῦτό τις διαπορήσειεν, εἰ δυνατόν ἐστι τηλικαῦτα μεγέθη 14
γενέσθαι τῶν ἑτερογενῶν, ὥστ' ἐναρμόττειν, ἄλλως τε κἂν συμβαίνῃ, καθάπερ
φησί, τὰς ὄψεις ὧν ἀσύμμετρος ἡ κρᾶσις ὁτὲ μὲν ὑπὸ τοῦ πυρός, ὁτὲ δὲ ὑπὸ
τοῦ ἀέρος ἐμπλαττομένων τῶν πόρων ἀμαυροῦσθαι. εἰ δ' οὖν ἐστι καὶ τού-
των συμμετρία καὶ πλήρεις οἱ πόροι τῶν μὴ συγγενῶν, πῶς, ὅταν αἰσθάνηται,
καὶ ποῦ ταῦτα ὑπεξέρχεται; δεῖ γάρ τινα ἀποδοῦναι μεταβολήν. ὥστε πάντως
ἔχει δυσκολίαν· ἢ γὰρ κενὸν ἀνάγκη ποιεῖν, ἢ ἀεὶ τὰ ζῶια αἰσθάνεσθαι πάν-
των, ἢ τὸ μὴ συγγενὲς ἁρμόττειν οὐ ποιοῦν αἴσθησιν οὐδ' ἔχον μεταβολὴν
οἰκείαν τοῖς ἐμποιοῦσιν.

ἔτι δὲ εἰ καὶ μὴ ἐναρμόττοι τὸ ὅμοιον, ἀλλὰ μόνον ἅπτοιτο, καθ' ὁτιοῦν 15
εὔλογον αἴσθησιν γίνεσθαι· δυοῖν γὰρ τούτων ἀποδίδωσι τὴν γνῶσιν τῶι τε
ὁμοίωι καὶ τῆι ἁφῆι· διὸ καὶ τὸ 'ἁρμόττειν' εἴρηκεν. ὥστ' εἰ τὸ ἔλαττον
ἅψαιτο τῶν μειζόνων, εἴη ἂν αἴσθησις. ὅλως τε κατά γε ἐκεῖνον ἀφαιρεῖται
καὶ τὸ ὅμοιον, ἀλλὰ ἡ συμμετρία μόνον ἱκανόν. διὰ τοῦτο γὰρ οὐκ αἰσθά-
νεσθαί φησιν ἀλλήλων, ὅτι τοὺς πόρους ἀσυμμέτρους ἔχουσιν· εἰ δ' ὅμοιον ἢ
ἀνόμοιον τὸ ἀπορρέον, οὐδὲν ἔτι προσαφώρισεν. ὥστε ἢ οὐ τῶι ὁμοίωι ἡ
αἴσθησις ἢ οὐ διά τινα ἀσυμμετρίαν οὐ κρίνουσιν, ἁπάσας ⟨τ'⟩ ἀνάγκη τὰς
αἰσθήσεις καὶ πάντα τὰ αἰσθητὰ τὴν αὐτὴν ἔχειν φύσιν.

ἀλλὰ μὴν οὐδὲ τὴν ἡδονὴν καὶ λύπην ὁμολογουμένως ἀποδίδωσιν ἥδεσθαι 16
μὲν ποιῶν τοῖς ὁμοίοις, λυπεῖσθαι δὲ τοῖς ἐναντίοις· 'ἐχθρὰ' γὰρ εἶναι, διότι
'πλεῖστον — ἐκμακτοῖσιν' [fr. 22, 6. 7]. αἰσθήσεις γάρ τινας ἢ μετ' αἰ-
σθήσεως ποιοῦσι [Anaxagoram simul intellegere videtur cf. § 17] τὴν ἡδονὴν καὶ
τὴν λύπην, ὥστε οὐχ ἅπασι γίνεται τοῖς ὁμοίοις. ἔτι εἰ τὰ συγγενῆ μάλιστα
ποιεῖ τὴν ἡδονὴν ἐν τῆι ἁφῆι, καθάπερ φησί, τά σύμφυτα μάλιστ' ἂν ἥδοιτο
καί ὅλως αἰσθάνοιτο· διὰ τῶν αὐτῶν γὰρ ποιεῖ τὴν αἴσθησιν καὶ τὴν ἡδονήν.
καίτοι πολλάκις αἰσθανόμενοι λυπούμεθα κατ' αὐτὴν τὴν αἴσθησιν, ὡς ⟨δ'⟩ 17
Ἀναξαγόρας φησίν, ἀεί· πᾶσαν γὰρ αἴσθησιν εἶναι μετὰ λύπης. ἔτι δ' ἐν ταῖς
κατὰ μέρος· συμβαίνει γὰρ τῶι ὁμοίωι γίνεσθαι τὴν γνῶσιν· τὴν γὰρ ὄψιν
ὅταν ἐκ πυρὸς καὶ τοῦ ἐναντίου συστήσηι, τὸ μὲν λευκὸν καὶ τὸ μέλαν δύναιτ'
ἂν τοῖς ὁμοίοις γνωρίζειν, τὸ δὲ φαιὸν καὶ τἆλλα χρώματα τὰ μεικτὰ πῶς;
οὔτε γὰρ τοῖς τοῦ πυρὸς οὔτε τοῖς τοῦ ὕδατος πόροις οὔτ' ἄλλοις ποιεῖ κοι-
νοῖς ἐξ ἀμφοῖν· ὁρῶμεν δ' οὐδὲν ἧττον ταῦτα τῶν ἁπλῶν.

ἀτόπως δὲ καὶ ὅτι τὰ μὲν ἡμέρας, τὰ δὲ νύκτωρ μᾶλλον ὁρᾶι. τὸ γαρ 18
ἔλαττον πῦρ ὑπὸ τοῦ πλείονος φθείρεται διὸ καὶ πρὸς τὸν ἥλιον καὶ ὅλως
τὸ καθαρὸν οὐ δυνάμεθ' ἀντιβλέπειν. ὥστε ὅσοις ἐνδεέστερον τὸ φῶς, ἧττον
ἐχρῆν ὁρᾶν μεθ' ἡμέραν· ἢ εἴπερ τὸ ὅμοιον συναύξει, καθάπερ φησί, τὸ δὲ
ἐναντίον φθείρει καὶ κωλύει, τὰ μὲν λευκὰ μᾶλλον ἐχρῆν ὁρᾶν ἅπαντας μεθ'
ἡμέραν καὶ ὅσοις ἔλαττον καὶ ὅσοις πλεῖον τὸ φῶς, τὰ δὲ μέλανα νύκτωρ.
νῦν δὲ πάντες ἅπαντα μεθ' ἡμέραν μᾶλλον ὁρῶσι πλὴν ὀλίγων ζώιων. τού-
τοις δ' εὔλογον τοῦτ' ἰσχύειν τὸ οἰκεῖον πῦρ, ὥσπερ ἔνια καὶ τῆι χρόαι δια-
λάμπει μᾶλλον τῆς νυκτός.

ἔτι δ' οἷς ἡ κρᾶσις ἐξ ἴσων, ἀνάγκη συναύξεσθαι κατὰ μέρος ἑκάτερον· 19
ὥστ' εἰ πλεονάζον κωλύει θάτερον ὁρᾶν, ἁπάντων ἂν εἴη παραπλησία πως ἡ
διάθεσις. ἀλλὰ τὰ μὲν τῆς ὄψεως πάθη χαλεπώτερον ἔσται διελεῖν. τὰ δὲ
περὶ τὰς ἄλλας αἰσθήσεις πῶς κρίνωμεν τῶι ὁμοίωι; τὸ γὰρ ὅμοιον ἀόριστον.
οὔτε γὰρ ψόφωι τὸν ψοφον οὔτ' ὀσμῆι τὴν ὀσμὴν οὔτε τοῖς ἄλλοις τοῖς ὁμο-
γενέσιν, ἀλλὰ μᾶλλον ὡς εἰπεῖν τοῖς ἐναντίοις. ἀπαθῆ γὰρ δεῖ τὸν αἴσθησιν

προσάγειν· ἦχον δὲ ἐνόντος ἐν ὠσὶν ἢ χυλῶν ἐν γεύσει καὶ ὀσμῆς ἐν ὀσφρήσει κωφότεραι πᾶσαι γίνονται ⟨καὶ⟩ μᾶλλον ὅσωι ἂν πλήρεις ὦσι τῶν ὁμοίων, εἰ μή τις λεχθείη περὶ τούτων διορισμός.

Ἔτι δὲ τὸ περὶ τὴν ἀπορροήν, καίπερ οὐχ ἱκανῶς λεγόμενον περὶ μὲν τὰς ἄλλας ὅμως ἔστι πως ὑπολαβεῖν, περὶ δὲ τὴν ἁφὴν καὶ γεῦσιν οὐ ῥᾴδιον. πῶς γὰρ τῆι ἀπορροῆι κρίνωμεν ἢ πῶς ἐναρμόττον τοῖς πόροις τὸ τραχὺ καὶ τὸ λεῖον; μόνου γὰρ δοκεῖ τῶν στοιχείων τοῦ πυρὸς ἀπορρεῖν, ἀπὸ δὲ τῶν ἄλλων οὐδενός. ἔτι δ' εἰ ἡ φθίσις διὰ τὴν ἀπορροήν, ὥιπερ χρῆται κοινοτάτωι σημείωι, συμβαίνει δὲ καὶ τὰς ὀσμὰς ἀπορροῆι γίνεσθαι, τὰ πλείστην ἔχοντα ὀσμὴν τάχιστ' ἐχρῆν φθείρεσθαι. νῦν δὲ σχεδὸν ἐναντίως ἔχει· τὰ γὰρ ὀσμωδέστατα τῶν φυτῶν καὶ τῶν ἄλλων ἐστὶ χρονιώτατα. συμβαίνει δὲ καὶ ἐπὶ τῆς Φιλίας ὅλως μὴ εἶναι αἴσθησιν ἢ ἧττον διὰ τὸ συγκρίνεσθαι τότε καὶ μὴ ἀπορρεῖν. 20

ἀλλὰ περὶ μὲν τὴν ἀκοὴν ὅταν ἀποδῶι τοῖς ἔσωθεν γίνεσθαι ψόφοις, ἄτοπον τὸ οἴεσθαι δῆλον εἶναι πῶς ἀκούουσιν, ἔνδον ποιήσαντα ψόφον ὥσπερ κώδωνος. τῶν μὲν γὰρ ἔξω δι' ἐκεῖνον ἀκούομεν, ἐκείνου δὲ ψοφοῦντος διὰ τί; τοῦτο γὰρ αὐτὸ λείπεται ζητεῖν. ἀτόπως δὲ καὶ τὸ περὶ τὴν ὄσφρησιν εἴρηκεν. πρῶτον μὲν γὰρ οὐ κοινὴν αἰτίαν ἀπέδωκεν· ἔνια μὲν γὰρ ὅλως οὐδ' ἀναπνέει τῶν ὀσφραινομένων. ἔπειτα τὸ μάλιστα ὀσφραίνεσθαι τοὺς πλεῖστον ἐπισπωμένους εὐθύς· οὐδὲν γὰρ ὄφελος μὴ ὑγιαινούσης ἢ μὴ ἀνεωιγμένης πως τῆς αἰσθήσεως. πολλοῖς δὲ συμβαίνει πεπηρῶσθαι καὶ ὅλως μηδὲν αἰσθάνεσθαι. πρὸς δὲ τούτοις οἱ δύσπνοοι καὶ οἱ πονοῦντες καὶ οἱ καθεύδοντες μᾶλλον ἂν αἰσθάνοιντο τῶν ὀσμῶν· τὸν πλεῖστον γὰρ ἕλκουσιν ἀέρα. νῦν δὲ συμβαίνει τοὐναντίον. οὐ γὰρ ἴσως καθ' αὐτὸ τὸ ἀναπνεῖν αἴτιον τῆς ὀσφρήσεως, ἀλλὰ κατὰ συμβεβηκός, ὡς ἔκ τε τῶν ἄλλων ζώιων μαρτυρεῖται καὶ διὰ τῶν εἰρημένων παθῶν· ὁ δ' ὡς ταύτης οὔσης τῆς αἰτίας καὶ ἐπὶ τέλει πάλιν εἴρηκεν ὥσπερ ἐπισημαινόμενος 'ὧδε — ὀσμῶν' [fr. 102]. οὐκ ἀληθὲς ⟨δὲ⟩ οὐδὲ τὸ μάλιστα ὀσφραίνεσθαι τῶν κούφων, ἀλλὰ δεῖ καὶ ὀσμὴν ἐνυπάρχειν. ὁ γὰρ ἀὴρ καὶ τὸ πῦρ κουφότατα μέν, οὐ ποιοῦσι δὲ αἴσθησιν ὀσμῆς. 21 22

ὡσαύτως δ' ἄν τις καὶ περὶ τὴν φρόνησιν ἀπορήσειεν, εἰ γὰρ τῶν αὐτῶν ποιεῖ καὶ τὴν αἴσθησιν. καὶ γὰρ ἅπαντα μεθέξει τοῦ φρονεῖν. καὶ ἅμα πῶς ἐνδέχεται καὶ ἐν ἀλλοιώσει καὶ ὑπὸ τοῦ ὁμοίου γίνεσθαι τὸ φρονεῖν; τὸ γὰρ ὅμοιον οὐκ ἀλλοιοῦται τῶι ὁμοίωι. τὸ δὲ δὴ τῶι αἵματι φρονεῖν καὶ παντελῶς ἄτοπον· πολλὰ γὰρ τῶν ζώιων ἄναιμα. τῶν δὲ ἐναίμων τὰ περὶ τὰς αἰσθήσεις ἀναιμότατα τῶν μερῶν. ἔτι καὶ ὀστοῦν καὶ θρὶξ αἰσθάνοιτ' ἄν, ἐπεὶ οὖν ἐξ ἁπάντων ἐστὶ τῶν στοιχείων. καὶ συμβαίνει ταὐτὸν εἶναι τὸ φρονεῖν καὶ αἰσθάνεσθαι καὶ ἡδέσθαι καὶ ⟨τὸ⟩ λυπεῖσθαι καὶ [τὸ] ἀγνοεῖν· ἄμφω γὰρ ποιεῖ τοῖς ἀνομοίοις. ὥσθ' ἅμα τῶι μὲν ἀγνοεῖν ἕδει γίνεσθαι λύπην, τῶι δὲ φρονεῖν ἡδονήν. 23

ἄτοπον δὲ καὶ τὸ τὰς δυνάμεις ἑκάστοις ἐγγίνεσθαι διὰ τὴν ἐν τοῖς μορίοις τοῦ αἵματος σύγκρασιν, ὡς ἢ τὴν γλῶτταν αἰτίαν τοῦ εὖ λέγειν ⟨οὖσαν ἢ⟩ τὰς χεῖρας τοῦ δημιουργεῖν, ἀλλ' οὐκ ὀργάνου τάξιν ἔχοντα. διὸ καὶ μᾶλλον ἄν τις ἀποδοίη τῆι μορφῆι τὴν αἰτίαν ἢ τῆι κράσει τοῦ αἵματος, ἢ χωρὶς διανοίας ἐστίν· οὕτως γὰρ ἔχει καὶ ἐπὶ τῶν ἄλλων ζώιων. Ἐ. μὲν οὖν ἔοικεν ἐν πολλοῖς διαμαρτάνειν. 24

87. ARIST. de gen. et corr. A 8. 324^{b}26 τοῖς μὲν οὖν δοκεῖ πάσχειν ἕκαστον διά τινων πόρων εἰσιόντος τοῦ ποιοῦντος ἐσχάτου καὶ κυριωτάτου, καὶ τοῦτον τὸν τρόπον καὶ ὁρᾶν καὶ ἀκούειν ἡμᾶς φασι καὶ τὰς ἄλλας αἰσθήσεις αἰσθάνεσθαι πάσας, ἔτι δὲ ὁρᾶσθαι διά τε ἀέρος καὶ ὕδατος καὶ τῶν διαφανῶν, διὰ τὸ πό-

ρους ἔχειν ἀοράτους μὲν διὰ μικρότητα, πυκνοὺς δὲ καὶ κατὰ στοῖχον, καὶ μᾶλλον ἔχειν τὰ διαφανῆ μᾶλλον. οἱ μὲν οὖν ἐπί τινων οὕτω διώρισαν, ὥσπερ καὶ Ἐ., οὐ μόνον ἐπὶ τῶν ποιούντων καὶ πασχόντων, ἀλλὰ καὶ μείγνυσθαι φησιν [sic L] ὅσων οἱ πόροι σύμμετροι πρὸς ἀλλήλους εἰσίν. PHILOP. ad h. c. p. 160, 3 Vitelli ἀναγκαῖον, φησί, τῶι Ἐμπεδοκλεῖ λέγειν εἶναί τινα στερεὰ καὶ ἀδιαίρετα διὰ τὸ μὴ εἶναι πάντηι τοῦ σώματος πόρους συνεχεῖς. τοῦτο γὰρ ἀδύνατον· πόρος γὰρ ἂν εἴη τὸ πᾶν σῶμα καὶ κενόν. ὥστε εἰ τοῦτο ἄτοπον, ἀνάγκη τὰ μὲν ἁπτόμενα μόρια τοῦ σώματος στερεὰ εἶναι ἀδιαίρετα, τὰ δὲ μεταξὺ αὐτῶν κενά, οὓς Ἐ. πόρους ἐκάλεσεν. ib. 178, 2 ἴσμεν δὲ ὅτι οἱ τοὺς πόρους ὑποτιθέμενοι οὐ κενοὺς ὑπετίθεντο τούτους, ἀλλὰ πεπληρωμένους λεπτομερεστέρου τινὸς σώματος οἷον ἀέρος. ταύτηι γὰρ διέφερον τῶν τὸ κενὸν ὑποτιθεμένων.

88. AET. IV 14, 1 (D. 405) περὶ κατοπτρικῶν ἐμφάσεων. Ἐ. κατ' ἀπορροίας τὰς συνισταμένας μὲν ἐπὶ τῆς ἐπιφανείας τοῦ κατόπτρου, πιλουμένας δ' ὑπὸ τοῦ ἐκκρινομένου ἐκ τοῦ κατόπτρου πυρώδους καὶ τὸν προκείμενον ἀέρα, εἰς ὃν φέρεται τὰ ῥεύματα, συμμεταφέροντος.

89. ALEX. quaest. II 23 p. 72, 9 Bruns (probabiliter e Theophr. Phys. Op.) περὶ τῆς Ἡρακλείας λίθου διὰ τί ἕλκει τὸν σίδηρον. Ἐ. μὲν ταῖς ἀπορροίαις ταῖς ἀπ' ἀμφοτέρων καὶ τοῖς πόροις τοῖς τῆς λίθου συμμέτροις οὖσιν ταῖς ἀπὸ τοῦ σιδήρου τὸν σίδηρον φέρεσθαι λέγει πρὸς τὴν λίθον· αἱ μὲν γὰρ τούτου ἀπόρροιαι τὸν ἀέρα τὸν ἐπὶ τοῖς τοῦ σιδήρου πόροις ἀπωθοῦσί τε καὶ κινοῦσι τὸν ἐπιπωματίζοντα αὐτούς· τούτου δὲ χωρισθέντος ἀθρόαι ἀπορροίαι ῥεούσηι τὸν σίδηρον ἕπεσθαι· φερομένων δὲ τῶν ἀπ' αὐτοῦ ἀπορροιῶν ἐπὶ τοὺς τῆς λίθου πόρους, διὰ τὸ συμμέτρους τε αὐτοῖς εἶναι καὶ ἐναρμόζειν καὶ τὸν σίδηρον σὺν ταῖς ἀπορροίαις ἕπεσθαί τε καὶ φέρεσθαι [cf. ad fr. 91].

90. AET. IV 9, 6 (D. 397) Παρμενίδης, Ἐ., Ἀναξαγόρας, Δημόκριτος, Ἐπίκουρος, Ἡρακλείδης παρὰ τὰς συμμετρίας τῶν πόρων τὰς κατὰ μέρος αἰσθήσεις γίνεσθαι τοῦ οἰκείου τῶν αἰσθητῶν ἑκάστου ἑκάστηι ἐναρμόττοντος. AET. IV 13, 4 (D. 403) Ἐ. καὶ πρὸς τὸ διὰ τῶν ἀκτίνων καὶ πρὸς τὸ διὰ τῶν εἰδώλων ἐκδοχὰς παρέχεται [scil. τῶν ὁρατῶν]. πλείους δὲ πρὸς ⟨τὸ⟩ δεύτερον· τὰς γὰρ ἀπορροίας ἀποδέχεται.

91. ARIST. de sensu 2. 437ᵇ 9 (de igne ex oculo saliente) ἐκείνως δ' αὐτὸς αὑτὸν ὁρᾶι ὁ ὀφθαλμός, ὥσπερ καὶ ἐν τῆι ἀνακλάσει, ἐπεὶ εἴ γε πῦρ ἦν, καθάπερ Ἐ. φησί . . . καὶ συνέβαινε τὸ ὁρᾶν ἐξιόντος ὥσπερ ἐκ λαμπτῆρος τοῦ φωτός [fr. 84, 3], διὰ τί οὐ καὶ ἐν τῶι σκότει ἑώρα ἂν ἡ ὄψις; ID. de gen. anim. E 1. 779ᵇ 15 τὸ μὲν οὖν ὑπολαμβάνειν τὰ μὲν γλαυκὰ [sc. ὄμματα] πυρώδη, καθάπερ Ἐ. φησιν, τὰ δὲ μέλανα πλεῖον ὕδατος ἔχειν ἢ πυρός, καὶ διὰ τοῦτο τὰ μὲν ἡμέρας οὐκ ὀξὺ βλέπειν, τὰ γλαυκά, δι' ἔνδειαν ὕδατος, θάτερα δὲ νύκτωρ δι' ἔνδειαν πυρός, οὐ λέγεται καλῶς, εἰπερ μὴ πυρὸς τὴν ὄψιν θετέον, ἀλλ ὕδατος πᾶσιν.

92. PLATO Meno p. 76 C Βούλει οὖν σοι κατὰ Γοργίαν ἀποκρίνωμαι ηι ἄν σου μάλιστα ἀκολουθήσαις; — Βούλομαι· πῶς γὰρ οὔ. — Οὐκοῦν λέγετε ἀπορροάς τινας τῶν ὄντων κατὰ Ἐμπεδοκλέα; — Σφόδρα γε. — Καὶ πόρους εἰς οὓς καὶ δι' ὧν αἱ ἀπόρροιαι πορεύονται; — Πάνυ γε. — Καὶ τῶν ἀπορροῶν τὰς μὲν ἁρμόττειν ἐνίοις τῶν πόρων, τὰς δὲ ἐλάττους ἢ μείζους εἶναι; — Ἔστι ταῦτα. — Οὐκοῦν καὶ ὄψιν καλεῖς τι; — Ἔγωγε. — Ἐκ τούτων δὴ

'σύνες ὅ τοι λέγω' ἔφη Πίνδαρος, ἔστιν γὰρ χρόα ἀπορροὴ σχήματων [σωμάτων Alex., l. χρήματων cum T corr. cf. Berl. Sitz. 1884, 349] ὄψει σύμμετρος καὶ αἰσθητός. Aet. I 15, 3 [D. 313] Ἐμπεδοκλῆς χρῶμα εἶναι ἀπεφαίνετο τὸ τοῖς πόροις τῆς ὄψεως ἐναρμόττον. τέτταρα δὲ τοῖς στοιχείοις ἰσάριθμα, λευκὸν μέλαν ἐρυθρὸν ὠχρόν [an i. q. χλωρόν cf. Galen. XV 554? at cf. Heraclit. fr. 10].

93. Id. IV 16, 1 [D. 406] Ἐ. τὴν ἀκοὴν γίνεσθαι κατὰ τὴν πρόσπτωσιν πνεύματος τῶι χονδρώδει, ὅπερ φησὶν ἐξηρτῆσθαι ἐντὸς τοῦ ὠτὸς κώδωνος δίκην αἰωρούμενον καὶ τυπτόμενον [cf. fr. 99].

94. Id. IV 17, 2 [D. 407] Ἐ. ταῖς ἀναπνοαῖς ταῖς ἀπὸ τοῦ πνεύμονος συνεισκρίνεσθαι τὴν ὀσμήν· ὅταν γοῦν ἡ ἀναπνοὴ βαρεῖα γένηται, κατὰ τραχύτητα μὴ συναισθάνεσθαι, ὡς ἐπὶ τῶν ῥευματιζομένων. Arist. de sensu 4. 441ᵃ3 ἡ δὲ γεῦσις ἁφή τίς ἐστιν. ἡ μὲν οὖν τοῦ ὕδατος φύσις βούλεται ἄχυμος εἶναι. ἀνάγκη δ' ἢ ἐν αὐτῶι τὸ ὕδωρ ἔχειν τὰ γένη τῶν χυμῶν ἀναίσθητα διὰ μικρότητα, καθάπερ Ἐ. φησιν.

95. Id. IV 9, 14 [D. 398] Παρμενίδης Ἐ. ἐλλείψει τροφῆς τὴν ὄρεξιν. 15. Ἐ. τὰς ἡδονὰς γίνεσθαι τοῖς μὲν ὁμοίοις ⟨ἐκ⟩ τῶν ὁμοίων, κατὰ δὲ τὸ ἐλλεῖπον πρὸς τὴν ἀναπλήρωσιν, ὥστε τῶι ἐλλείποντι ἡ ὄρεξις τοῦ ὁμοίου. τὰς δ' ἀλγηδόνας τοῖς ἐναντίοις· ἠλλοτριῶσθαι γὰρ πρὸς ἄλληλα ὅσα διαφέρει κατά τε τὴν σύγκρισιν καὶ τὴν τῶν στοιχείων κρᾶσιν. V 28 [D. 440] Ἐ. τὰς μὲν ὀρέξεις γίνεσθαι τοῖς ζώιοις κατὰ τὰς ἐλλείψεις τῶν ἀποτελούντων ἕκαστον στοιχείων, τὰς δὲ ἡδονὰς ἐξ οἰκείου [ὑγροῦ libri cf. ad n. 84] καὶ [κατὰ?] τὰς τῶν κινδύνων [συγγενῶν?] καὶ ὁμοίων κινήσεις [κράσεις?], τὰς δὲ ὀχλήσεις καὶ τὰς ⟨ἀλγηδόνας ἐξ ἀνοικείου⟩.

96. Idem IV 5, 12 [D. 392] Παρμενίδης καὶ Ἐ. καὶ Δημόκριτος ταὐτὸν νοῦν καὶ ψυχήν, καθ' οὓς οὐδὲν ἂν εἴη ζῶιον ἄλογον κυρίως.

97. Id. IV 5, 8 [D. 391] Ἐ. ἐν τῆι τοῦ αἵματος συστάσει [sc. τὸ ἡγεμονικὸν εἶναι] cf. Theodor. V 22 Ἐ. ... τὴν καρδίαν ἀπεκλήρωσαν τούτωι. καὶ τούτων δ' αὖ πάλιν οἱ μὲν ἐν τῆι κοιλίαι τῆς καρδίας, οἱ δὲ ἐν τῶι αἵματι.

98. Caelius Aurel. morb. chron. I 5 (de furore) *Empedoclem sequentes alium dicunt ex animi purgamento fieri, alium alienatione mentis ex corporis causa sive iniquitate; de quo nunc scripturi sumus, quem Graeci, siquidem magnam faciat anxietatem, adpellant μανίαν.* (ex Sorano, cuius etymologiae vocis μανία continuantur).

99. Plato Phaedr. 248 C [imitatio Καθαρμῶν cf. fr. 115] θεσμός τε Ἀδραστείας ὅδε· ἥτις ἂν ψυχὴ θεῶι ξυνοπαδὸς γενομένη κατίδηι τι τῶν ἀληθῶν, μέχρι τε τῆς ἑτέρας περιόδου εἶναι ἀπήμονα, κἂν ἀεὶ τοῦτο δύνηται ποιεῖν, ἀεὶ ἀβλαβῆ εἶναι. ὅταν δὲ ἀδυνατήσασα ἐπισπέσθαι μὴ ἴδηι, καί τινι συντυχίαι χρησαμένη λήθης τε καὶ κακίας πλησθεῖσα βαρυνθῆι, βαρυνθεῖσα δὲ πτερορρυήσηι τε καὶ ἐπὶ τὴν γῆν πέσηι, τότε νόμος ταύτην μὴ φυτεῦσαι εἰς μηδεμίαν θήρειον φύσιν ἐν τῆι πρώτηι γενέσει, ἀλλὰ τὴν μὲν πλεῖστα ἰδοῦσαν εἰς γονὴν ἀνδρὸς γενησομένου φιλοσόφου ἢ φιλοκάλου ἢ μουσικοῦ τινος καὶ ἐρωτικοῦ, τὴν δὲ δευτέραν εἰς βασιλέως ἔννομον ἢ πολεμικοῦ καὶ ἀρχικοῦ, τρίτην εἰς πολιτικοῦ ἢ τινος οἰκονομικοῦ ἢ χρηματιστικοῦ, τετάρτην εἰς φιλοπόνου ⟨ἢ⟩ γυμναστικοῦ ἢ περὶ σώματός τινα ἐσομένου, πέμπτην μαντικὸν βίον ἢ τινα τελεστικὸν ἔξουσαν· ἕκτηι ποιητικὸς ἢ τῶν περὶ μίμησίν τις ἄλλος ἁρμόσει, ἑβδόμηι δημιουρ-

γικὸς ἢ γεωργικός, ὀγδόῃ σοφιστικὸς ἢ δημοκοπικός, ἐνάτῃ τυραννικός. ἐν δὴ τούτοις ἅπασιν, ὃς μὲν ἂν δικαίως διαγάγῃ, ἀμείνονος μοίρας μεταλαμβάνει, ὃς δ' ἂν ἀδίκως, χείρονος. εἰς μὲν γὰρ τὸ αὐτό, ὅθεν ἥκει ἡ ψυχὴ ἑκάστη οὐκ ἀφικνεῖται ἐτῶν μυρίων· οὐ γὰρ πτεροῦνται πρὸ τοσούτου χρόνου, πλὴν ἡ τοῦ φιλοσοφήσαντος ἀδόλως η παιδεραστήσαντος μετὰ φιλοσοφίας. αὗται δὲ τρίτῃ περιόδῳ τῇι χιλιετεῖ, ἐὰν ἕλωνται τρὶς ἐφεξῆς τὸν βίον τοῦτον, οὕτω πτερωθεῖσαι τρισχιλιοστῶι ἔτει ἀπέρχονται· αἱ δὲ ἄλλαι, ὅταν τὸν πρῶτον βίον τελευτήσωσιν κρίσεως ἔτυχον, κριθεῖσαι δὲ αἱ μὲν εἰς τὰ ὑπὸ γῆς δικαιωτήρια ἐλθοῦσαι δίκην ἐκτίνουσιν, αἱ δ' εἰς τοὐρανοῦ τινα τόπον ὑπὸ τῆς δίκης κουφισθεῖσαι διάγουσιν ἀξίως οὗ ἐν ἀνθρώπου εἴδει ἐβίωσαν βίον. τῶι δὲ χιλιοστῶι ἀμφότεραι ἀφικνούμεναι ἐπὶ κλήρωσίν τε καὶ αἵρεσιν τοῦ δευτέρου βίου αἱροῦνται ὃν ἂν θέλῃι ἑκάστη. ἔνθα καὶ εἰς θηρίου βίον ἀνθρωπίνη ψυχὴ ἀφικνεῖται, καὶ ἐκ θηρίου, ὅς ποτε ἄνθρωπος ἦν, πάλιν εἰς ἄνθρωπον. Synes. de provid. 1 (66, 1213 A Mign.) *κεῖται δὲ Θέμιδι νόμος ἀγορεύων ψυχαῖς ἥτις ἂν ὁμιλήσασα τῇι τῶν ὄντων ἐσχατιᾶι τηρήσηι τὴν φύσιν καὶ ἀμόλυντος διαγένηται, ταύτην δὴ τὴν αὐτὴν ὁδὸν αὖθις ἀναρρυῆναι καὶ εἰς τὴν οἰκείαν ἀναχυθῆναι πηγὴν ὥσπερ γε καὶ τὰς ἐκ τῆς ἑτέρας, μερίδος τρόπον τινὰ ἐξορμησαμένας, φύσεως ἀνάγκη ἐς τοὺς συγγενεῖς αὐλισθῆναι κευθμῶνας 'ἔνθα — ἠλάσκουσιν'* [fr. 121, 2—4].

Empedoclis carmina ed. ill. Karsten (Philos. gr. reliqu. v. III Amstelod. 1838; ed. Stein Bonn 1852; de vitae auctoribus Bidez *Biographie d' Empedocle* Gand 1894; critica scripsi: *Empedoclea, Herm. XV* 161 sqq.; *Ueber ein Fragm. d. E., Berl. Sitzungsb.* 1897; 1062; *Ueber die Ged. des Emp.* ibid. 1898, 396; *Symbola Empedoclea, Mélanges Weil.* Paris 1898, 125.

B. FRAGMENTA.

ΕΜΠΕΔΟΚΛΕΟΥΣ ΠΕΡΙ ΦΥΣΕΩΣ $\bar{A}\bar{B}$

(libros AB certo distingui per testimoniorum paucitatem non licet)

1 [54 Karsten, 1 Stein]

Laert. VIII 60 [A 1 p. 77, 9] *ἦν δ' ὁ Παυσανίας, ὥς φησιν Ἀριστιππος καὶ Σάτυρος ἐρώμενος αὐτοῦ, ὧι δὴ καὶ τὰ Περὶ φύσεως προσπεφώνηκεν οὕτως·*

Παυσανίη, σὺ δὲ κλῦθι δαΐφρονος Ἀγχίτου υἱέ.

παυσανίη P: *παυσανίης* B: *παυσανία* F *δαίφρονος* hac in sede Homericum *Ἀγχίτου* legit etiam Iamblicheae narrationis (A 15 p. 84 sq.) auctor: frustra *Ἀγχίτεω* (cf. fr. 156) tuetur Meineke (*Anal. Al.* 210)

2 [32—40 K., 2—10 St.]

1—9 Sext. Emp. adv. meth. VII 122—124 *ἄλλοι δὲ ἦσαν οἱ λέγοντες κατὰ τὸν Ἐμπεδοκλέα κριτήριον εἶναι τῆς ἀληθείας οὐ τὰς αἰσθήσεις, ἀλλὰ*

τὸν ὀρθὸν λόγον, τοῦ δὲ ὀρθοῦ λόγου τὸν μέν τινα θεῖον ὑπάρχειν τὸν δὲ ἀνθρώπινον. ὧν τὸν μὲν θεῖον ἀνέξοιστον εἶναι τὸν δὲ ἀνθρώπινον ἐξοιστόν. λέγει δὲ περὶ μὲν τοῦ μὴ ἐν ταῖς αἰσθήσεσι τὴν κρίσιν τἀληθοῦς ὑπάρχειν οὕτως· 'στεινωποὶ — περιληπτά (2—8) *περὶ δὲ τοῦ μὴ εἶναι εἰς τὸ παντελὲς ἄληπτον τὴν ἀλήθειαν, ἀλλ' ἐφ' ὅσον ἱκνεῖται ὁ ἀνθρώπινος λόγος ληπτὴν ὑπάρχειν, διασαφεῖ τοῖς προκειμένοις ἐπιφέρων 'σὺ δ' οὖν — ὄρωρεν* (8—9). cf. Cic. Ac. II 5, 14 I 12, 44 1 Epicureus Vol. Herc. VII² f. 22 col. 29 *φαίνεταί ποτε καὶ Ἐμπ. συνεμφαίνων τοῦτο διὰ τοῦ· 'στεινωποὶ — τέτανται'* Lactant. I. D. III 28, 12 (epit. 35, 3) *Empedocles angustas esse sensuum semitas* 2 Procl. in Tim. p. 175 [C p. 414 Schn.] 4 Plut. de Is. 24 p. 360 C 7. 8. 5 Laert. IX 73 *'οὕτως — περιληπτά'. καὶ ἐπάνω 'αὐτὸ — ἕκαστος'* 7. 8 Plut. aud. poet 2 p. 17 E *'οὕτως — περιληπτά'*

στεινωποὶ μὲν γὰρ παλάμαι κατὰ γυῖα κέχυνται·
πολλὰ δὲ δείλ' ἔμπαια, τά τ' ἀμβλύνουσι μερίμνας.
παῦρον δὲ ζωῆς ἰδίου μέρος ἀθρήσαντες
ὠκύμοροι καπνοῖο δίκην ἀρθέντες ἀπέπταν
αὐτὸ μόνον πεισθέντες, ὅτωι προσέκυρσεν ἕκαστος
πάντοσ' ἐλαυνόμενοι, τὸ δ' ὅλον πᾶς εὔχεται εὑρεῖν·
οὕτως οὔτ' ἐπιδερκτὰ τάδ' ἀνδράσιν οὐδ' ἐπακουστά
οὔτε νόωι περιληπτά. σὺ δ' οὖν, ἐπεὶ ὧδ' ἐλιάσθης,
πεύσεαι οὐ πλέον ἠὲ βροτείη μῆτις ὄρωρεν.

1 *κέχυνται* Sext.: *τέτανται* (ex fr. 100, 2) Epicureus (cf. *Berl. Sitz.* 1897, 1072). est clausula homerica cf. E 141 (ubi Oxyrrh. pap. 223 item *τέτανται*), *κ* 387 2 *δείλ'* Sext. Procl. F: *δεινὰ* Procl. A *ἔμπαια* Emperius: *ἔμπεα* Sext.: *ἔπεά* Procl. cf. fr. 110, 7 3 *ζωῆσι βίου* Sext.: correxi: *ζωῆς ἀβίου* Scaliger *ἀθρήσαντος* Sext.: corr. Scaliger 4 *καπνοῖο δίκην* color homericus Ψ 100 5 *πεισθέντες ὅτῳ* Sext.: *πεισθὲν τὸ τῷ* Laert. *ὅτωι π. ξ.*] cf. Heraclit. fr. 17 6 *πάντοσ' ἐλαυνόμενοι*, similiter Hom. E 508 cf. Parmen. fr. 6, 5 sqq. *πᾶς* suppl. Bergk cf. [Hipp.] de vict. I 1 *ἄλλοι δὲ ἄλλο ἐπέτυχον τὸ δὲ ὅλον οὐδείς πω τῶν πρότερον* 7 *οὕτως ἐπεὶ τάδ' ἐρκτά* Laert. 8 *ἐλιάσθης in secretum secessisti*, ut Achilles *νόσφι λιασθείς*. cf. ad fr. 111 9 *σὺ πλεῖόν γε* Sext.: corr. Karstenium secutus Stein (cf. Sexti paraphr. et fr. 4, 7 10 *πεύσεαι* principium homericum itemque *ὄρωρεν* clausula homerica

3 [deest]

Plut. quaest. conviv. VIII 8, 1 p. 728 E *ἔλεγε δὲ τῆς ἐχεμυθίας τοῦτο γέρας εἶναι τοὺς ἰχθῦς καλεῖν ⟨ἕλλοπας⟩ οἷον εἰλλομένην τὴν ὄπα καὶ καθειργομένην ἔχοντας. καὶ τὸν ὁμώνυμον ἐμοὶ* [Empedocli, Plutarchei dialogi personae] *τῶι Παυσανίαι* [correxi: *τῶι παυσαμένωι* archetypus Vind.] *Πυθαγορικῶς παραινεῖν* [Wyttenbach: *περαίνειν* codex] *τὰ δόγματα*

στεγάσαι φρενὸς ἕλλοπος εἴσω.

στέγουσαι φρενὸς ἀλλ' ὅπερ ἐλάσσω Vind.: correxi, nisi quod *ἕλλοπος* praeivit Wyttenbach. *ἀποστεγάσηι* fr. 100, 14 (42, 1?), *ἀπέστεγον* 84, 10. de secretis doctrinae cf. ad 1, 8.

4 [41—53 K., 11—23 St.]

1—13 Sext. VII 124 (post fr. 2, 9) *καὶ διὰ τῶν ἑξῆς ἐπιπλήξας τοῖς πλέον ἐπαγγελλομένοις γιγνώσκειν παρίστησιν ὅτι τὸ δι' ἑκάστης αἰσθήσεως λαμβανόμενον πιστόν ἐστι τοῦ λόγου τούτων ἐπιστατοῦντος, καίπερ πρότερον* [fr. 2] *καταδραμὼν τῆς ἀπ' αὐτῶν πίστεως. φησὶ γάρ 'ἀλλὰ — ἕκαστον.'* 6. 7 sine nomine Clem. Str. V 60 p. 682 Pott. 7 Hes. *ἀνελέσθαι: ἐξελέσθαι* (?) 8 Procl. in Tim. p. 106 [E p. 252 Schn.] *Ἐ. δὲ αὐτὴν ἐπαγγέλλεται παραδώσειν* [sic] *τὴν ἀλήθειαν 'καὶ τάδε τοι σοφ. ἐ. ἄ. θοάζει'. ταῦτα γὰρ οὐ κατὰ τὴν φιλόσοφον εὐλάβειαν.* Plut. de mult. am. 1 p. 93 B *'σοφίας — θαμίζειν'* 10—13 significat fortasse Plato Phaedon. 65 E cf. B

ἀλλὰ θεοὶ τῶν μὲν μανίην ἀποτρέψατε γλώσσης,
ἐκ δ' ὁσίων στομάτων καθαρὴν ὀχετεύσατε πηγήν.
καὶ σέ, πολυμνήστη λευκώλενε παρθένε Μοῦσα,
ἄντομαι, ὧν θέμις ἐστὶν ἐφημερίοισιν ἀκούειν,
πέμπε παρ' Εὐσεβίης ἐλάουσ' εὐήνιον ἅρμα.
μηδέ σε γ' εὐδόξοιο βιήσεται ἄνθεα τιμῆς
πρὸς θνητῶν ἀνελέσθαι, ἐφ' ὧι θ' ὁσίης πλέον εἰπεῖν
θάρσει καὶ τότε δὴ σοφίης ἐπ' ἄκροισι θοάζειν.
ἀλλ' ἄγ' ἄθρει πάσηι παλάμηι, πῆι δῆλον ἕκαστον,
μήτε τι ὄψιν ἔχων πίστει πλέον ἢ κατ' ἀκουήν
ἢ ἀκοὴν ἐρίδουπον ὑπὲρ τρανώματα γλώσσης,
μήτε τι τῶν ἄλλων, ὁπόσηι πόρος ἐστὶ νοῆσαι,
γυίων πίστιν ἔρυκε, νόει θ' ἦι δῆλον ἕκαστον.

1 *τῶν*] scil. *τῶν πλέον ἐπαγγελλομένων γιγνώσκειν*, qualis Parmenides *ἀπετρέψατε* Sextus (etiam R): corr. Stephanus *ὀχετεύσατε* Stephanus: *ὀχεύσατε* Sext. 3 *λευκώλενε* homericum *καθαρὴν* V: *καθαρὰν* RCG 4 *ἐφημερίοισιν* Stephanus: *ἐφ' ἡμείροισιν* G: *ἐφημέρησιν* C 5 *παρ'* cf. fr. 5, 2. 23, 11 *ἅρμα carmen* lyrice; hinc pendet *ὧν* (4) 6 *σέ γ'*] Musam: *μέ γ'* Stein *βιήσεαι* Bergk 7 *ἐφ' ὧι θ' ὁσίης* Clem.: *ἐφωθοείης* Sext. 8 *θάρσει* cf. Bacchyl. 17, 62 *θοάζει* (vel *θοάζη*) Sext., Procl.: *θαμίζειν* Plut. corr. G. Hermann 9 *ἀλλὰ γὰρ ἄθρει πᾶς* Sext.: corr. Bergk 10 *τι* R (opt. lib.): *τιν'* ceteri *ἔχων πίστει* cf. Hom. B 33 *σὺ σῆισιν ἔχε φρεσὶ ἢ κατ' ἀκουήν quam si auditum comparaveris* 12 *ἄλλων — γυίων* iunge *ὁπόσηι quot viis* cf. *ἦι* v. 13 et fr. 59, 2. 112, 9. 133, 2: *ὅππηι* Karsten; *ὁπόσων* Stein *θ'* Sext.: *δ'* Karsten

5 [84—86 K., 55—57 St.]

1—3 Clem. Str. V 3 18 p. 655 Pott. *'ἄλλα — λόγοιο. τοῖς μὲν γὰρ κακοῖς τοῦτο σύνηθες, φησὶν ὁ Ἐ., τὸ ἐθέλειν κρατεῖν τῶν ἀληθῶν διὰ τοῦ ἀπιστεῖν* [2. 3 e Clem. Theodoret. I 71 p. 13, 54] 3 Hesych. *ἐνὶ σπλάγχνοισιν. ἐν τοῖς ἐντέροις*

ἀλλὰ κακοῖς μὲν κάρτα πέλει κρατέουσιν ἀπιστεῖν.

1 vix sanus. conicio *χαρτά*; *mali homines gaudent diffidere eis, qui optinent*, sive philosophis sive rationibus sive deis *Φιλίαι* et *Νείκει* (cf. 17, 29 et

ὡς δὲ παρ' ἡμετέρης κέλεται πιστώματα Μούσης,
γνῶθι διατμηθέντος ἐνὶ σπλάγχνοισι λόγοιο.

quae praec.); *ἄπιστον*, ante Clementem corruptum id ratus Wilamowitz, *κάρτα* et *κρατέουσιν* assonantibus 2 *ὡς δὲ παρ'* Clem.: *ὧδε* (vel *ὦ δὲ*) *γὰρ* Theodor. 3 *διατμηθέντος* vix recte interpretantur *mente in praecordiis divisa* quasi *διάνδιχα μερμηρίξαντος*. temptabam *διασοηθέντος* (ratio mente velut cribro percolata); *διατμισθέντος* Wilamowitz

6 [55—57 K., 33—35 St.]

Memoriae duplex radix: una THEOPHRASTI (Phys. opin.), unde 1—3 AETIUS (cf. A 33 p. 89, 15 = Stob. ecl. I 1, 11ª p. 121, 10—14 W. et [Plut.] d. plac. I 3, 20 [Eus. P. E. XIV, 6]); SEXTUS X 317 [hinc Hipp. l. X 7 p. 313, 60—63]; v. 1 *τέσσαρα — ῥιζώματα* PHILOP. phys. 88, 6; CLEM. Strom. VI 17 p. 746 P. [addens fr. 17, 18. 21, 9 et Athamanta compilatorem Pythagoreum conferens] altera ALLEGORIARUM Homericarum [Dox. p. 88] a Cratete Mallota per Heracleonem ad posteros propagatarum: SELEUCUM [Et. Gud. p. 247, 37. Barocc. in Cram. A. Ox. II 445, 4] 2 *Ζεὺς — φερέσβιος*. HERACLITUM alleg. 24 (v. 2. 3); ATHENAG. 22 p. 26, 9 Schwartz (2. 3), SEXTUM X 316 [hinc IX 362 et Hippol. X 7 p. 313, 67]; LAERT. DIOG. VIII 76 [A 1 p. 81, 27. 28, priora sunt Theophrastea; e Diog. Tzetz. schol. hom. 137 p. 58 Schirach]; STOB. (e Plutarchi alleg. hom.?) I 10, 11ᵇ p. 121, 16—20 W. cf. A 33 p. 89, 21; PROBUM ad Verg. 11, 4 Keil. TZETZEM exeg. Iliad. 53, 20 Herm. *ἀκούσατε μικρὸν καὶ τοῦ πρώτου τῶν Φυσικῶν Ἐμπεδοκλέους 'τέσσαρα — ῥότειον' πάντως ἀλληγορικῶς*. v. tamen ad fr. 8. cf. ACHILL. in Arat. 3 p. 31, 14 Maass.; HIPPOL. VII 29 [A 33 p. 89, 29]; MENAND. ep. 5, 2 [A 23 p. 87].

τέσσαρα γὰρ πάντων ῥιζώματα πρῶτον ἄκουε·
Ζεὺς ἀργὴς Ἥρη τε φερέσβιος ἠδ' Ἀιδωνεύς
Νῆστίς θ', ἣ δακρύοις τέγγει κρούνωμα βρότειον.

Ἶρις δ' ἐκ πελάγους ἄνεμον φέρει ἢ μέγαν ὄμβρον.

ἐμοὶ βιβλιοθήκη γὰρ ἡ κεφαλὴ τυγχάνει·
βίβλοι δ' ἡμῖν οὐ πάρεισι δεινῶς ἀχρηματοῦσιν
ὅθεν οὐ λέγειν ἀκριβῶς τὸν ποιητὴν γινώσκω.

auctoritas, si Tzetzes non dubitaret, dubia esset, nunc dubitante eo satis certa. quid consilii fuerit philosopho prognostica exercenti v. *Berl. Sitz.* 1897, 410.

51 [202 K., 168 St.]

Herodian. schematismi Hom. cod. Darmstadini in Sturzii Et. Gud. p. 745 [ad Et. M. p. 111, 10] *ἀνόπαια· οἱ μὲν ἀφανῆ, τινὲς δὲ τὸ ἄνω φέρεσθαι. Ἐμπεδοκλῆς· 'καρπαλίμως δὲ ἀνόπεαν' ἐπὶ τοῦ πυρός. ἐξ οὗ δῆλον ὅτι καὶ οὐδετέρου γένους ἐστὶ τὸ ἀνόπαιον.* hinc Eustathius ad α 320 *ἀνόπαια* [p. 61, 29 Lips.] *δοκεῖ δέ τισι ἀντὶ τοῦ ἀνωφερὴς εἶναι ὠρμημένοις ἐκ τῶν Ἐμπεδοκλέους εἰπόντος ἐπὶ τοῦ πυρὸς τὸ 'καρπαλίμως ἀνόπαιον'.*

καρπαλίμως δ' ἀνόπαιον . . .

ignis sursum, aer deorsum ferebatur cf. fr. 52. 54 (Arist. l. c.)

52 [207 K., 162 St.]

Procl. in Tim. p. 141 [E p. 335 Schn.] *καὶ γὰρ ὑπὸ γῆς φύακές εἰσι πυρός, ὥς πού φησι καὶ Ἐ.*

πολλὰ δ' ἔνερθ(ε) οὔδεος πυρὰ καίεται.

ἔνερθεν Procl. οὔδεος bene; de synizesi cf. fr. 112, 2; Hom. T 92 (Plato). de conexu sententiarum cf. Lucr. VI 885

53 [204 K., 167 St.]

Arist. de gen. et corr. B 6. 334ª 1 *διέκρινε μὲν γὰρ τὸ Νεῖκος, ἠνέχθη δ' ἄνω ὁ αἰθὴρ οὐχ ὑπὸ τοῦ Νείκους, ἀλλ' ὅτὲ μέν φησιν ὥσπερ ἀπὸ τύχης 'οὕτω — ἄλλως', ὅτὲ δέ φησι πεφυκέναι τὸ πῦρ ἄνω φέρεσθαι, ὁ δ' 'αἰθήρ, φησί, μακρῆισι — ῥίζαις'* [fr. 54]. Idem phys. B 4. 196ª 19 *ἄτοπον οὖν εἴτε μὴ ὑπελάμβανον εἶναι εἴτε οἰόμενοι παρέλιπον, καὶ ταῦτ' ἐνίοτε χρώμενοι, ὥσπερ Ἐμπεδοκλῆς οὐκ ἀεὶ τὸν ἀέρα ἀνωτάτω ἀποκρίνεσθαί φησιν, ἀλλ' ὅπως ἂν τύχηι. λέγει γοῦν ἐν τῆι κοσμοποιίαι ὡς οὕτω συνέκυρσε . . . ἄλλως* [Simpl. phys. 327, 18. 330, 35. 358, 11. 1318, 28].

οὕτω γὰρ συνέκυρσε θέων τοτέ, πολλάκι δ' ἄλλως.

loquitur de aëris in mundi origine cursibus variis ut fr. 54

54 [203 K., 166 St.]

Arist. de gen. et corr. B 7. 334ª 5 [cf. ad fr. 53]

αἰθὴρ . . . μακρῆισι κατὰ χθόνα δύετο ῥίζαις.

ἀλλ' αἰθὴρ initio coni. Karsten. puto αἰθὴρ δ' αὖ. dum mundus oritur, aer longas radices quasi arbor deorsum in terram egit. Scaligeri ῥοΐζοις et Karstenii ῥιπαῖς pugnant cum μακρῆισι et inutilia sunt. aer est ῥίζωμα [fr. 6, 1] et similiter γῆν εἰς ἄπειρον ἐρριζῶσθαι Hesiodo praeeunte (Theog. 728) Xenophanem dixisse refert Aët. III 9, 4. 11, 2 [supra p. 33, A 47]

55 [451 K., 165 St.]

Arist. Meteorol. B 3. 357ᵃ 24 ὁμοίως δὲ γελοῖον καὶ εἴ τις εἰπὼν ἰδρῶτα τῆς γῆς εἶναι τὴν θάλατταν οἴεται τι σαφὲς εἰρηκέναι, καθάπερ Ἐμπεδοκλῆς· πρὸς ποίησιν μὲν γὰρ οὕτως εἰπὼν ἴσως εἴρηκεν ἱκανῶς (ἡ γὴρ μεταφορὰ ποιητικόν), πρὸς δὲ τὸ γνῶναι τὴν φύσιν οὐχ ἱκανῶς. Aet. III 16, 3 [A 66 p. 94, 7] cf. fr. 56. Heraclitum sententiae auctorem citat Olympiod. ad h. l. p. 151, 4 Stâve, sed cf. ib. p. 155, 5. versum vulgo fingunt:

γῆς ἰδρῶτα θάλασσαν.

56 [206 K., 164 St.]

Hephaest. Ench. 1 p. 4, 8 Westph. Ἐμπεδοκλῆς·

ἅλς ἐπάγη ῥιπῇσιν ἐωσμένος ἠελίοιο.

cf. Lucr. V 483 *inque dies quanto circum magis aetheris aestus et radii solis cogebant undique terram verberibus crebris extrema a liminis parte, in medio ut propulsa suo condensa coiret, tam magis expressus salsus de corpore sudor augebat mare manando.*

57 [232—234 K., 244—246 St.]

1—3 Simpl. de caelo 586, 29, πῶς δὲ ἂν εἴη μίξεως σημαντικὸν ἡ ἀναύχενος κόρση καὶ τἆλλα τὰ ὑπὸ τοῦ Ἐμπεδοκλέους λεγόμενα 'γυμνοὶ — μετώπων' καὶ πολλὰ ἄλλα, ἅπερ οὐκ ἔστι μίξεως παραδείγματα; 1 Arist. de caelo Γ 2. 300ᵇ 25 ἔτι δὲ τοσοῦτον ἐπανέροιτ' ἄν τις πότερον δυνατὸν ἢ οὐχ οἷόν τ' ἦν κινούμενα ἀτάκτως καὶ μεῖγνυσθαι τοιούτας μίξεις ἕνια ἐξ ὧν συνίσταται τὰ κατὰ φυσιν συνιστάμενα σώματα. λέγω δ' οἷον ὀστᾶ καὶ σάρκας, καθάπερ Ἐμπ. φησι γίνεσθαι ἐπὶ τῆς Φιλότητος· λέγει γὰρ 'πολλαὶ — ἐβλάστησαν' [hinc Simpl. ad h. l. 586, 12]. Idem de gen. anim. A 17. 722ᵇ 17 ὥσπερ καὶ μεγάλα ὄντ' ἀδύνατον διεσπασμένα σώιζεσθαι καὶ ἔμψυχα εἶναι καθάπερ Ἐ. γεννᾶι ἐπὶ τῆς Φιλότητος λέγων 'ᾗ ι — ἐβλάστησαν. Idem de anima Γ 6. 830ᵃ 27 ἐν οἷς δὲ καὶ τὸ ψεῦδος καὶ τὸ ἀληθές, σύνθεσίς τις ἤδη νοημάτων ὥσπερ ἓν ὄντων καθάπερ Ἐ. ἔφη 'ᾗ ι — ἐβλάστησαν', ἔπειτα συντίθεσθαι τῆι Φιλίαι; hinc Simpl. de anima 250, 23. Philop. de anima 545, 19 εἰ μὴ ἦν ἡ Φιλία, πολλῶν ἂν κόρσαι ἀναύχενες ἐβλάστησαν. Simpl. Categ. II ηʳ 14 (1499) τὰ γὰρ ἅπαξ διασπασθέντα δεῖται τοῦ εὐθετισμοῦ, ἵνα ἡ κεφαλὴ τὸν οἰκεῖον ἔχηι τόπον καὶ ὁ τράχηλος, ἀλλὰ μὴ πολλαὶ κόρσαι ἀναύχενοι βλαστῶσι, ὡς Ἐ. φησι. Tzetz. ad Lyc. 507 (II 556 Müller) κόρση κυρίως ἡ μῆνιγξ λέγεται, νῦν δὲ τὴν κεφαλήν φησιν, ὡς καὶ Ἐμπεδοκλῆς ἐν τῶι περὶ Νείκους ὡς 'πολλῶν — ἐβλάστησαν' [Vit. et Ciz. πολλαί], similiter ad v. 711 [II 753] et ad Alleg. Il. Δ 33 p. 101 Boiss. [= Cramer A. O. III 379, 31]. de tota generatione Aet. V 19, 5 (supra p. 95, 40, A 72).

ἦι πολλαὶ μὲν κόρσαι ἀναύχενες ἐβλάστησαν,
γυμνοὶ δ' ἐπλάζοντο βραχίονες εὔνιδες ὤμων,
ὄμματά τ' οἶ(α) ἐπλανᾶτο πενητεύοντα μετώπων.

1 *πολλαὶ* Ar. 300. 722. Simpl. d. cael., cat.: *πολλῶν* Ar. [Simpl. Phil.] de anima, Tzetzes *ἀναύχενοι* Simpl. cat. (cf. d. caelo) *παραφράζων* 2 *ἐπλάζοντο* Simpl. D [*ἐπλάξοντο* E]: *ἐμπλάζοντο* A. hoc si verum sit, praepositio referatur ad terram cf. v. 1 *ἦι* 3 *οἷα πλανᾶτο* Karsten.

58 [deest]

Simpl. de caelo 587, 18 (post fr. 35, 13) *ἐν ταύτηι οὖν τῆι καταστάσει* [scilicet Discordia nondum prorsus repulsa] '*μουνομελῆ ἔτι τὰ γυῖα ἀπὸ τῆς τοῦ Νείκους διακρίσεως ὄντα ἐπλανᾶτο τῆς πρὸς ἄλληλα μίξεως ἐφιέμενα*'; sequitur fr. 59. *μουνομελῆ* explicat ibidem Simpl. 587, 25 *τὰ ἄμικτα καὶ μονόγυια*. ceterum *γυῖα ἐπλανᾶτο* cf. 57, 3.

59 [234—237 K., 254—256 St.]

1—3 Simpl. de caelo 587, 20 (post fr. 58) *αὐτὰρ ἐπεί, φησί, κατὰ — δαίμων, ὅτε τοῦ Νείκους ἐπεκράτει λοιπὸν ἡ Φιλότης* '*ταῦτά τε — ἐξεγένοντο*'. *ἐπὶ τῆς Φιλότητος οὖν ὁ Ἐμπεδοκλῆς ἐκεῖνα εἶπεν, οὐχ ὡς ἐπικρατούσης ἤδη τῆς Φιλότητος, ἀλλ' ὡς μελλούσης ἐπικρατεῖν, ἔτι δὲ τὰ ἄμικτα καὶ μονόγυια δηλούσης.* 2 Idem phys. 327, 20. 331, 2 '*ὅπηι συνέκυρσεν ἅπαντα*'.

αὐτὰρ ἐπεὶ κατὰ μεῖζον ἐμίσγετο δαίμονι δαίμων,
ταῦτά τε συμπίπτεσκον, ὁπηι συνέκυρσεν ἕκαστα,
ἄλλα τε πρὸς τοῖς πολλὰ διηνεκῆ ἐξεγένοντο.

1 *δαίμονι δαίμων* Concordia Discordiae (Simpl.); illa in extrema recesserat, nunc longius progressa manus conserit cum aemula. vulgo elementa intellegunt 2 *ἕκαστα* Simpl. d. caelo.: *ἅπαντα* phys. utroque loco 3 *διηνεκὲς* probabiliter Peyron cf. ad 19, 35.

60 [242 K., 261 St.]

Plut. adv. Colot. 28 p. 1123 B *ταῦτα μέντοι καὶ πολλὰ τούτων ἕτερα τραγικώτερα τοῖς Ἐμπεδοκλέους ἐοικότα τεράσμασιν ὧν καταγελῶσιν*

εἰλίποδ' ἀκριτόχειρα
καὶ βουγενῆ ἀνόρόπρωιρα' (fr. 61, 2)

ἀκριτόχειρα (ut *ἀκριτόφυλλον* B 868 et *ἑκατόγχειρ*) de bobus ingenti numero manuum instructis novatum

61 [238—241 K., 257—260 St.]

1—4 Ael. nat. anim. XVI 29 *Ἐ. ὁ φυσικός φησι περὶ ζώιων ἰδιότητος λέγων καὶ ἐκεῖνος ὁπόν γίνεσθαί τινα συμφυῆ καὶ κράσει μορφῆς μὲν διάφορα, ἑνώσει δὲ σώματος συμπλακέντα· ἃ δὲ λέγει ταῦτά ἐστι* '*πολλὰ — γυῖοις*' 2 Simpl. phys. 371, 33 *ὥσπερ Ἐμπεδοκλῆς κατὰ τὴν τῆς Φιλίας ἀρχὴν φησι γενέσθαι ὡς ἔτυχε μέρη πρῶτον τῶν ζώιων οἷον κεφαλὰς καὶ χεῖρας καὶ πόδας ἔπειτα συνιέναι ταῦτα* '*βουγενῆ — ἐξανατέλλειν, ἀνόρογενῆ ὁηλονότι βούπρωιρα, τοντέστιν ἐκ βοὸς καὶ ἀνθρώπου. καὶ ὅσα μὲν οὕτω συνέστη*

ἀλλήλοις ὥστε δύνασθαι τυχεῖν σωτηρίας, ἐγένετο ζῶια καὶ ἔμεινεν διὰ τὸ ἀλλήλοις ἐκπληροῦν τὴν χρείαν, τοὺς μὲν ὀόντας τέμνοντάς τε καὶ λεαίνοντας τὴν τροφήν, τὴν δὲ γαστέρα πέττουσαν, τὸ δὲ ἦπαρ ἐξαιματοῦν. καὶ ἡ μὲν τοῦ ἀνθρώπου κεφαλὴ τῶι ἀνθρωπίνωι σώματι συνελθοῦσα σώιζεσθαι ποιεῖ τὸ ὅλον, τῶι δὲ τοῦ βοὸς οὐ συναρμόζει καὶ διόλλυται· ὅσα γὰρ μὴ κατὰ τὸν οἰκεῖον συνῆλθε λόγον, ἐφθάρη [idem 380, 20. 381, 3. 7. 13. 383, 4 commemorat βουγενῆ ἀνδρόπρωιρα, 381, 7 etiam contrarium ἀνδρογενῆ βούπρωιρα]. 2 ARIST. phys. B 7. 198^{b} 29 ὅπου μὲν οὖν ἅπαντα συνέβη ὥσπερ κἂν εἰ ἕνεκά του ἐγίνετο, ταῦτα μὲν ἐσώθη ἀπὸ τοῦ αὐτομάτου συστάντα ἐπιτηδείως· ὅσα δὲ μὴ οὕτως, ἀπώλετο καὶ ἀπόλλυται καθάπερ Ἐ. λέγει τα βουγενῆ ἀνδρόπρωιρα [hinc Theophyl. ep. 44] Philop. ad h. l. 314, 18 sqq. Ἐ. πρὶν τὸ Νεῖκος τελείως ἀπ' ἀλλήλων διακρῖναι τὰ εἴδη ἔλεγε γενέσθαι σύμμικτά τινα ζῶια, ἐν οἷς καὶ τὰ βουγενῆ ἀνδρόπρωιρα cf. 318, 24 sqq. 320, 7; Themist. Phys. 192, 9 Sp.] et 199^{b} 11 (ad fr. 62). cf. PLUT. adv. Col. 28 (fr. 60) TZETZES Schol. ad Homer. 137 p. 58 Schirach [= ep. rhet. Walz rhet. III 663] εἰ δὲ τὸ Νεῖκος συνέλθοι τοῖς στοιχείοις, γεννῶνται παράγνια καὶ ἀσυντελῆ καὶ βουγενῆ καὶ ἀνδρόπρωιρα.

πολλὰ μὲν ἀμφιπρόσωπα καὶ ἀμφίστερνα φύεσθαι,
βουγενῆ ἀνδρόπρωιρα, τὰ δ' ἔμπαλιν ἐξανατέλλειν
ἀνδροφυῆ βούκρανα, μεμειγμένα τῆι μὲν ἀπ' ἀνδρῶν
τῆι δὲ γυναικοφυῆ, σκιεροῖς ἠσκημένα γυίοις.

1 ἀμφίστερνον: δεινὴν Hes. ἀμφίστερν' ἐφύοντο Karsten 2 ἀνδρόπρωιρος: ἀνδροπρόσωπον Hes. s. v. ἀντίπρωιρα ἐξανατέλλειν Simpl.: ἐξανατείνειν Ael.; ἐξανέτελλον ex fr. 62, 4 Karsten 3 ἀνδρογενῆ βούπρωιρα Simpl. phys. 372, 2. 381, 7 est vocis ἔμπαλιν ab ipso ficta paraphrasis potius quam varia lectio μεμιγμένα (sic Ael.) androgyna cf. Lucr. V 839 ὑπ' ἀνδρῶν Ael.: corr. Karsten 4 σκιεροῖς Ael.; στείροις vel σκιροῖς sterilibus temptavi conl. Lucr. V 855 (*Mélanges Weil* 129). potuit sane hoc momentum etiam in proximis afferri, nec σκιερὰ γυῖα significare τὴν ἥβην negem (cf. Archiloch. 29, 3 Bergk), at huic loco non aptum; nam ἄγονοι ὅσοιπερ ἂν καὶ ἥβης στερηθῶσιν (Arist. H. an. Γ 12. 518 63); generaliter pudenda tamquam in umbra corporum latentia intellegit Wilamowitz γυίοις cf. fr. 62, 8.

62 [248—255 K., 262—269 St.]

1—8 SIMPL. phys. (ad Ar. loc. sub v. 3 cit.) 381, 29 εἰπόντος δὲ τοῦ Ἐμπεδοκλέους ἐν τῶι δευτέρωι τῶν Φυσικῶν πρὸ τῆς τῶν ἀνδρείων καὶ γυναικείων σωμάτων διαρθρώσεως ταυτὶ τὰ ἔπη·

νῦν δ' ἄγ', ὅπως ἀνδρῶν τε πολυκλαύτων τε γυναικῶν
ἐννυχίους ὀρπηκας ἀνήγαγε κρινόμενον πῦρ,
τῶνδε κλύ'· οὐ γὰρ μῦθος ἀπόσκοπος οὐδ' ἀδαήμων.
οὐλοφυεῖς μὲν πρῶτα τύποι χθονὸς ἐξανέτελλον,
ἀμφοτέρων ὕδατός τε καὶ ἴδεος αἶσαν ἔχοντες·
τοὺς μὲν πῦρ ἀνέπεμπε θέλον πρὸς ὁμοῖον ἱκέσθαι,
οὔτε τί πω μελέων ἐρατὸν δέμας ἐμφαίνοντας
οὔτ' ἐνοπὴν οἷόν τ' ἐπιχώριον ἀνδράσι γυῖον.

ταῦτα οὖν εἰπόντος τοῦ Ἐμπεδοκλέους ἐφίστησιν (Arist.), ὅτι καὶ αὐτὸς (Emp.) ὡς ἔοικε σπέρμα πρὸ τῶν ζώιων γεγονέναι φησί. καὶ τὸ ‘οὐλοφυὲς μὲν πρῶτα’ παρ’ αὐτοῦ εἰρημένον σπέρμα ἦν οὔπω μελέων ἐρατὸν δέμας ἐμφαῖνον ... εἰ δὲ τὸ σπέρμα ἦν θαυμαστῶς μοι δοκεῖ τὸ ‘οὐλοφυὲς’ αὐτῶι ἐπιπρέπειν. οὐλοφυὲς γὰρ ἐκεῖνο κυρίως ἐστίν, ὃ καθ’ ὅλον ἑαυτὸ πᾶν ἐστιν ὅπερ ἄν ἐστι [ἂν ἦν conieci] μήπω γενομένης ἐν αὐτῶι διακρίσεως (cf. Philop. ad Ar. l. 319, 29) 3 Arist. Phys. B 8. 199^{b} 7 ἔτι ἀνάγκη σπέρμα γενέσθαι πρῶτον, ἀλλὰ μὴ εὐθὺς τὰ ζῶια καὶ τὸ ‘οὐλοφυὲς μὲν πρῶτα’ σπέρμα ἦν. ἔτι καὶ ἐν τοῖς φυτοῖς ἔνεστι τὸ ἕνεκά του, ἧττον δὲ διήρθρωται. πότερον οὖν καὶ ἐν τοῖς φυτοῖς ἐγένετο ὥσπερ τὰ βουγενῆ ἀνδρόπρωιρα [fr. 61, 2] οὕτω καὶ ‘ἀμπελογενῆ ἐλαιόπρωιρα’ ἢ οὔ; ἄτοπον γάρ. ἀλλὰ μὴν ἔδει γε, εἴπερ καὶ ἐν τοῖς ζώιοις.

1 ἄγε πῶς F πολυκλαύτων non mulieres propter partus, sed ἀπὸ κοινοῦ utrumque genus significat 2 ἐννυχίους Simpl.: ἐμμυχίους malebat Panzerbieter; ignis terra inclusus (fr. 52) dum secernitur et sursum tendit (v. 6), e tenebris humana germina tollit 4 οὐλοφυὲς Arist. accommodans; οὐλοφυεῖς sunt homines sexus nondum divisi quales fingit Aristophanes Platonicus; hic est tertius status generationis. iunge τύποι χθονός (cf. fr. 61, 2), quibus accedunt aqua et aeris calor (ἴδεος) cf. A 72 p. 95, 40 sqq. 5 ἀμφότερον Meineke ad Call. 223 ἴδεος scripsi (*Sitz. Berl. A.* 1884, 366; cf. ad 21, 4): εἴδεος Simpl. (cf. 332, 7): οὔδεος falso Sturz 8 οἷόν τ’ scripsi *Herm.* XV 169: οἷα τ’ E: οὔτ’ F

63 [257 K., 270 St.]

Arist. de gen. anim. A 18. 722^{b} 10 φησὶ γὰρ (Emp.) ἐν τῶι ἄρρενι καὶ τῶι θήλει οἷον σύμβολον ἐνεῖναι, ὅλον δ’ ἀπ’ οὐδετέρου ἀπιέναι, ‘ἀλλὰ — ἀνδρός’. [Philop. i. e. Michael p. 16^{r}36 εἰπὼν δὲ ‘ἡ μὲν ἐν ἀνδρός’ οὐκ ἀπέδωκε τὸ ‘ἡ δὲ ἐν γυναικός’. Idem p. 81^{v} 20 Ἐ. δέ (δεῖ γὰρ τὴν ἅπασαν αὐτοῦ δόξαν ἐκθέσθαι) ἔλεγεν ὅτι ‘διέσπασται ἀνδρός, ἡ δ’ ἐν γυναικός’.] Arist. de gen. anim. Δ 1, 764^{b} 3 λέγοντί τε τὰ μόρια διεσπάσθαι τοῦ γινομένου (τὰ μὲν γὰρ ἐν τῶι ἄρρενί φησιν εἶναι τὰ δ’ ἐν τῶι θήλει· διὸ καὶ τῆς ἀλλήλων ὁμιλίας ἐπιθυμεῖν) ἀναγκαῖον καὶ τῶν τοιούτων διηρῆσθαι τὸ μέγεθος καὶ γίνεσθαι σύνοδον, ἀλλ’ οὐ διὰ ψύξιν ἢ θερμασίαν ... οὔτε γὰρ διεσπασμένον ἐνδέχεται τὸ σῶμα τοῦ σπέρματος εἶναι, τὸ μὲν ἐν τῶι θήλει τὸ δ’ ἐν τῶι ἄρρενι, καθάπερ Ἐ. φησιν εἰπὼν ‘ἀλλὰ — ἀνδρός· Galen. de semine 3 (IV 616 K.) ὁ μὲν οὖν Ἐ. διεσπάσθαι φησὶ τὰ τοῦ γεννηθησομένου μόρια καὶ τὰ μὲν ἐν τῶι τοῦ ἄρρενος σπέρματι, τὰ δ’ ἐν τῶι τῆς θηλείας περιέχεσθαι, καὶ αὐτῆς γε τῆς ἀφροδισίου συμπλοκῆς ἐντεῦθεν γίνεσθαι τοῖς ζώιοις τὴν ἐπιθυμίαν ὀρεγομένων ἀλλήλοις ἑνωθῆναι τῶν διεσπασμένων μορίων. tum Empedoclea refellit.

ἀλλὰ διέσπασται μελέων φύσις· ἡ μὲν ἐν ἀνδρός ...

versum non plene citatum esse vidit Michael; quod ipse addit alterius initium ἡ δ’ ἐν γυναικὸς sensum recte reddit (cf. Gal.), non verba, quae sic temptem: ἡ δ’ ἐνὶ θηλείῃ οὐχ’ ἑκάστη σπέρματι κεύθει.

64 [256 K., 272 St.]

Plut. quaest. nat. 21. 917 C ἢ καὶ τὸ συντρέφεσθαι καὶ συναγελάζεσθαι τὰ θήλεα τοῖς ἄρρεσιν ἀνάμνησιν ποιεῖ τῶν ἀφροδισίων καὶ συνεκκαλεῖται τὴν

ὄρεξιν· ὡς ἐπ' ἀνθρώπων Ἐ. ἐποίησε· 'τῶι — μίσγων. AETIUS V 19, 5 [A 72 p. 95, 44] τοῖς μὲν πυκνωθείσης τῆς τροφῆς [hoc sequitur Plut. l. c. 917 BC], τοῖς δὲ καὶ τῆς εὐμορφίας τῶν γυναικῶν ἐπερεθισμὸν τοῦ σπερματικοῦ κινήματος ἐμποιησάσης

τῶι δ' ἐπὶ καὶ Πόθος εἶσι δι' ὄψιος ἄμματα μίσγων

τῶι δέ τι καὶ πόθος εἶτε Plut.: corr. Karsten δι' ὄψιος Wyttenbach: διὰ πέψεως Plut. ἄμματα μίσγων explevi: ἀμμίσγων Plut.; ἄμματα (scil. δεσμὰ γάμου) μίσγων cf. Pind. Pyth. 4, 223

65 [259. 260 K., 273. 274 St.]

ARIST. de gen. anim. A. 17. 723ᵃ 23 εἰ τὸ θῆλυ καὶ τὸ ἄρρεν ἐν τῆι κυήσει διαφέρει καθάπερ Ἐ. λέγει 'ἐν — ἀντιάσαντα' [PHILOP. (MICHAEL) ad h. l. f. 17ʳ (sec. cod. Paris. 1921) ὅτι μὲν οὖν τὰ αἵματα ἐξ ὧν γίνεται τὰ ἄρρενα διαφέρει ἐν τῆι κινήσει τῶν αἱμάτων ἐξ ὧν γίνεται τὰ θήλεα, τεθεώρηται ἱκανῶς. καθαρώτερα γὰρ καὶ θερμότερα, ἀφ' ὧν τὰ ἄρρενα γίνεται, ψυχρότερα δὲ τὰ ἀφ ὧν τὰ θήλεα. λέγει δὲ καὶ τοῦτο Ἐ., ἀσαφῶς δὲ τέθεικε τὰ τοῦ Ἐμπεδοκλέους διὰ τὸ μὴ ὁλόκληρα ἀπαγγεῖλαι τὰ ἔπη [scil. fr. 63 et 65], ἀλλὰ μόνας αὐτῶν τὰς ἀρχὰς καὶ ταύτας οὐκ ἀπὸ τῶν ἐφεξῆς ἀλλήλοις ὄντων στίχων, ἀλλὰ πόρρω ἀπ' ἀλλήλων ὄντων. καὶ τὸ μὲν ὀηλούμενον διὰ τοῦ 'ἐν δ' ἐχύθη καθαροῖσι' τοιοῦτον ἂν εἴη· 'τὸ δὲ ἄρρεν χέεται ἤτοι συνίσταται ἀπὸ καθαρωτέρων καὶ θερμοτέρων αἱμάτων, τὰ δὲ τῶν αἱμάτων τελέθουσι καὶ γίνονται γυναῖκες ψυχθέντα'] ARIST. de gen. an. Δ 1. 764ᵃ 1 τὰ μὲν γὰρ εἰς θερμὴν ἐλθόντα τὴν ὑστέραν ἄρρενα γίνεσθαί φησι, τὰ δ' εἰς ψυχρὰν θήλεα, τῆς δὲ θερμότητος καὶ τῆς ψυχρότητος τὴν τῶν καταμηνίων αἰτίαν εἶναι φύσιν ἥ ψυχροτέραν οὖσαν ἢ θερμοτέραν καὶ ἢ παλαιοτέραν ἢ προσφατωτέραν·

ἐν δ' ἐχύθη καθαροῖσι· τὰ μὲν τελέθουσι γυναῖκες,
ψύχεος ἀντιάσαντα . . .

1 καθαροῖσι Ar. Michael; Scaliger ταλάροισι, Sturz θερμοῖσι, Weil καμάραισι (potuit καμάροισι Erotian. 85, 10). fuit cum δὲ χυθέντ' ἄρθροισι conicerem. nunc intellegere mihi videor (Michaele scilicet ut qui sine exemplari nugetur neglecto) καθαροῖσι pertinere ad καθάρσεως momentum, de quo Ar. 764 (l. c. supra) et Soran. p. 185, 22. sensus: τὰ τοῦ ἀνδρὸς καὶ τῆς γυναικὸς σπέρματα χεῖται εἰς τὰ κεκαθαρμένα τῆι τῶν καταμηνίων φύσει τῆς ὑστέρας κἀκεῖ τὰ μὲν γίγνονται γυναῖκες 'ψύχεος ἀντιάσαντα, τὰ δ' ἔμπαλιν ἄρρενα θερμοῦ', ut v. 2 suppleverim

66 [261 K., 275 St.]

SCHOL. ad Eur. Phoen. 18 'μὴ σπεῖρε τέκνων ἄλοκα': Ἐ. ὁ φυσικὸς ἀλληγορῶν φησι 'σχιστοὺς λειμῶνας Ἀφροδίτης', ἐν οἷς ἡ τῶν παιδων γένεσίς ἐστιν. Εὐριπίδης δὲ ταὐτὸν τούτωι φάσκων τήν τε ἔννοιαν τὴν αἰσχρὰν ἀπέφυγε καὶ τοῖς ὀνόμασιν οἰκείοις ἐχρήσατο καὶ τεχνικοῖς ταῖς μεταφοραῖς, σπόρον καὶ ἄλοκα λέγων.

λειμῶνας AT: λιμῶνας M: λιμένας B; cf. Eur. Cycl. 171, Pollux II 174. versus poterat formari talis: εἰς σχιστοὺς λειμῶνας ⏑ – ⏑⏑ – Ἀφροδίτης

67 [262—264 K., 276—278 St.]

1—3 GALEN. ad Hippocr. Ep. VI 48 [XVII A p. 1002 K.] τὸ μέντοι ἄρρεν ἐν τῶι δεξιῶι μέρει τῆς μήτρας κυΐσκεσθαι καὶ ἄλλοι τῶν παλαιοτάτων ἀνδρῶν

εἰρήκασιν· ὁ μὲν γὰρ Παρμενίδης οὕτως ἔφη 'δεξιτεροῖσι — κούρας' [fr. 17]. ὁ δ' Ἐ. οὕτως· 'ἐν — μᾶλλον' HIPPOCR. Epid. VI 2, 25 [V 290 L.] ὅτι ἐν θερμοτέρωι, στερεωτέρωι, ἐν τοῖσι δεξιοῖσι καὶ μέλανες διὰ τοῦτο καὶ ἔξω αἱ φλέβες μᾶλλον. hanc notam explicat Gal. l. c. p. 1001: ἔμβρυα τὰ μὲν ἄρρενα ἐν τοῖσι δεξιοῖσι μέρεσι τῆς μήτρας μᾶλλον εὑρίσκεται συνιστάμενα, τὰ δὲ θήλεα κατὰ τὸν ἕτερον κόλπον αὐτῆς τὸν ἀριστερόν. εἰκὸς γάρ ἐστιν ἐν τῶι θερμοτέρωι μέρει τῆς μήτρας τὸ θερμότερον συνίστασθαι. θερμότερον δέ ἐστι τὸ ἄρρεν, ὡς δηλοῖ καὶ τὸ τῶν φλεβῶν μέγεθος [legitne μέζονες pro ἔξω?] ἐν αὐτῶι καὶ ἡ χρόα. μελάντεροι γὰρ τοὐπίπαν οἱ ἄνδρες τῶν γυναικῶν.

ἐν γὰρ θερμοτέρωι τοκὰς ἄρρενος ἔπλετο γαστήρ·
καὶ μέλανες διὰ τοῦτο καὶ ἀνδρωδέστεροι ἄνδρες
καὶ λαχνήεντες μᾶλλον.

1 θερμοτέρωι; cave δεξιτερῶι scribas. Empedoclis v. pertinet ad prima verba Hippocratis τοκὰς ἄρρενος ἔπλετο γαστήρ rescripsi (*Herm.* XV 170): τὸ κατ' ἄρρενα ἔπλετο γαίης Gal. edd. Hippocratea verba ἐν θερμοτέρωι et καὶ μέλανες διὰ τοῦτο verisimile ex Empedocle ab auctore quisquis fuit in confusaneas suas notas relata esse 2 ἀνδρωδέστεροι; noli annominationem Empedocli demere

68 [266 K., 280 St.]

ARIST. de gen. anim. Δ 8. 777ᵃ 7 τὸ γὰρ γάλα πεπεμμένον αἷμά ἐστιν, ἀλλ' οὐ διεφθαρμένον. Ἐ. δ' ἢ οὐκ ὀρθῶς ὑπελάμβανεν ἢ οὐκ εὖ μετήνεγκε ποιήσας ὡς τὸ γάλα

μηνὸς ἐν ὀγδοάτου δεκάτηι πύον ἔπλετο λευκόν.

σαπρότης γὰρ καὶ πέψις ἐναντίον, τὸ δὲ πύον σαπρότης τίς ἐστιν, τὸ δὲ γάλα τῶν πεπεμμένων. Philop. (Michael) ad h. l. f. 101ʳ: ἡ δὲ τοῦ Ἐμπεδοκλείου, inquit, στίχου διάνοια τοῦ 'μηνὸς — λευκόν' αὕτη ἐστίν· ἐν τῆι δεκάτηι ἡμέραι τοῦ ὀγδόου μηνὸς γέγονε τὸ γάλα πύον λευκόν· τὸ γὰρ ὀγδοάτου ἀντὶ τοῦ ὀγδόου εἴληπται

69 [deest]

δίγονοι

PROCL. in R. P. II 34, 25 Kroll. ὅτι καὶ Ἐ. οἶδεν τὸν διπλοῦν τῶν γεννήσεων χρόνον [scil. VII et IX mensium]. διὸ καὶ τὰς γυναῖκας καλεῖ δίγονους (δισγόνους, σ in ras., tum expunct. codex) καὶ τὴν ὑπεροχὴν τοῦ πλήθους τῶν ἡμερῶν αὐτὸς εἶπεν καὶ ὅτι τὰ ὀκτάμηνα ἄγονα. cf. AET. V 18, 1 [A 75 p. 96, 32]

70 [p. 474 K.]

ἀμνίον

RUFUS Ephes. 229 p. 166, 12 Daremberg. τὸ δὲ βρέφος περιέχεται χιτῶσι, τῶι μὲν λεπτῶι καὶ μαλακῶι· ἀμνίον αὐτὸν Ἐ. καλεῖ. ἐντεῦθέν μοι δοκεῖ καὶ ἡ Εἰλείθυια Ἀμνιὰς ἐπωνομάσθαι μᾶλλόν περ ἢ ἀπὸ τοῦ ἐν Κρήτηι λιμένος. ex eodem fonte POLLUX II 223 δύο δὲ δὴ περὶ τῶι ἐμβρύωι χιτῶνές εἰσιν, ὧν τὸν μὲν ἔνδοθεν λεπτότερον καὶ μαλακώτερον ἀμνίον Ἐ. καλεῖ, τὸ δὲ ἔξωθεν ἐπ' αὐτῶι τὸ πρὸς τῆι ὑστέραι χόριον ὀνομάζεται, οὗ καὶ ὁ ὀμφαλὸς ἐκπέφυκεν

71 [150—153 K., 210—213 St.]

SIMPL. de caelo 529, 28 *ὅτι δὲ περὶ τούτων λέγει τῶν ἐν τούτωι τῶι κόσμωι, ἄκουε τοίτων τῶν ἐπῶν·*

εἰ δέ τί σοι περὶ τῶνδε λιπόξυλος ἔπλετο πίστις,
πῶς ὕδατος γαίης τε καὶ αἰθέρος ἠελίου τε
κιρναμένων εἴδη τε γενοίατο χροιά τε θνητῶν
τοῖ(α), ὅσα νῦν γεγάασι συναρμοσθέντ' Ἀφροδίτηι . . .

sequuntur *μετ' ὀλίγα* fr. 73. 75

δ' ἔτι Cobet *τί τοι* scribendum 3 *χροιαί τ' εἴδη τε γενοίατο* Ritschl metro non minus laborante quam si *εἴδη τε χρόαι τε γενοίατο* cum Karstenio transposueris. relinquitur ut iuxta *χροιά, χρόα, χρώς* (*χροΐ, χρῶι*) neutrum *χροῖα* pluraliter accipiatur (nam vox ipsa aptissima), velut cognovimus *φλοιά, φλοιός, φλόος, τὰ φλοῖα* (Hes. s. v. *πίτυρα*) 4 aut *τόσσ' ὅσα* (Karsten) aut *τοῖ' οἷα* (Wilamowitz) legendum *γεγώασι* A cf. Hom. *ω* 84 *τοῖς οἳ νῦν γεγάασι*

72 [234 K. 214 St.]

ATHEN. VIII 334 B *οὐ λανθάνει δέ με καὶ ὅτι κοινῶς πάντες οἱ ἰχθύες καμασῆνες ὑπὸ Ἐμπεδοκλέους ἐλέχθησαν τοῦ φυσικοῦ οὕτως· 'πῶς — καμασῆνες.'* HES. *καμασῆνες: ἰχθύες* (Herodian dict. sol. 17, 6 *καμασὴν ἰχθύς τις λέγεται* alio spectat).

πῶς καὶ δένδρεα μακρὰ καὶ εἰνάλιοι καμασῆνες

73 [209. 210 K. 215. 216 St.]

SIMPL. de caelo 530, 5 (post fr. 71) *καὶ μετ' ὀλίγα·*

ὡς δὲ τότε χθόνα Κύπρις, ἐπεὶ τ' ἐδίηνεν ἐν ὄμβρωι,
ἴδεα ποιπνύουσα θοῶι πυρὶ δῶκε κρατῦναι . . .

1 *ἐδίηνεν* F: *ἐδείκνυεν* A *ἐν* om. F 2 *εἴδεα ποιπνύουσα* F: *εἰ δὲ ἀποπνοιοῦσα* A: intellego *calores adspirans* (i. q. *πνέουσα*) ad siccandos umores; *ἐπιπνείουσα* vulgo ex Panzerbieteri coni.; *ἰδέα* (de voce cf. ad fr. 21, 4) pertinet ad aëris regionem (cf. Hesych. *εἶδος: καῦμα*); et tertii elementi utique necessaria mentio *θεῶ* F

74 [205 K., 163 St.]

PLUT. Quaest. conviv. V 685 F *αὐτῶν δὲ τῶν ζώιων οὐδὲν ἂν χερσαῖον ἢ πτηνὸν εἰπεῖν ἔχοις οὕτω γόνιμον ὡς πάντα τὰ θαλάττια· πρὸς ὃ καὶ πεποίηκεν ὁ Ἐ.*

φῦλον ἄμουσον ἄγουσα πολυσπερέων καμασήνων.

ἄγουσα, puto *Ἀφροδίτη* *πολυσπερέων* Homericum cf. B 804 *καμασήνων* cf. ad fr. 72

75 [230. 231 K., 317. 218 St.]

SIMPL. de caelo 530, 8 (post 73, 2): *καὶ πάλιν 'τῶν — τυχόντα'. ταῦτ' ἐξ ὀλίγων τῶν προσπεσόντων ἐπῶν ἀναλεξάμενος παρεθέμην.* 2 ID. phys. 331, 8

τῶν δ' ὅσ' ἔσω μὲν πυκνά, τὰ δ' ἔκτοθι μανὰ πέπηγε,
Κύπριδος ἐν παλάμηισι πλάδης τοιῆσδε τυχόντα . . .

1 *ὅσσ'* Simpl. 2 cf. fr. 95 *πλάδης τοιῆσδε* d. cael.: *πλάσης τοίηστι* phys.

76 [220—222 K., 233—235 St.]

1—3 PLUT. Quaest. Conv. I 2, 5 p. 618 B *καὶ τὸν θεὸν ὁρᾷς, ὃν 'ἀριστοτέχναν' ἡμῶν ὁ Πίνδαρος προσεῖπεν, οὐ πανταχοῦ τὸ πῦρ ἄνω τάττοντα καὶ κάτω τὴν γῆν ἀλλ' ὡς ἂν αἱ χρεῖαι τῶν σωμάτων ἀπαιτῶσι· 'τοῦτο — χελύων τε',' φησὶν Ἐ., 'ἔνθ' — ναιετάουσαν'.* 2. 3 IDEM de fac. i. orb. l. 14 p. 927 F *οὐδὲ τοῦ πυρὸς τὸ μὲν ἄνω περὶ τὰ ὄμματα ἀποστίλβον κατὰ φύσιν ἐστί, τὸ δ' ἐν κοιλίαι καὶ καρδίαι παρὰ φύσιν, ἀλλ' ἕκαστον οἰκείως καὶ χρησίμως τέτακται. 'ναὶ — χελύων τε' καὶ παντὸς ὀστρέου φύσιν, ὡς φησιν ὁ Ἐμπεδοκλῆς καταμανθάνων 'ἔνθ' — ναιετάουσαν'.*

τοῦτο μὲν ἐν κόγχαισι θαλασσονόμοις βαρυνώτοις,
ναὶ μὴν κηρύκων τε λιθορρίνων χελύων τε·
ἔνθ' ὄψει χθόνα χρωτὸς ὑπέρτατα ναιετάουσαν.

1 *κόγχησι* Merzdorf fortasse *θαλασσονόμων* verbum supplendum cf. fr. 20, 1 2 *ναὶ μὴν* sic Plut. utroque loco; *καὶ μὴν* Xylander *χελύων τε* Plut. 618: *χελωνῶν τε* 927 BE: *τε χελωνῶν* frustra Karsten sensus: terra ut in macrocosmo ita in microcosmo interiorem locum servat, velut ossa in animalibus (cf. fr. 75). est tamen ubi contra fiat: hoc in conchyliis, in primis in muricibus ac testudinibus, ubi crusta terrena extra, mollia intus sunt. cf. Ar. de part. anim. B 8. 654[3] 2. de gen. anim. Γ 11 p. 762[a] 27

77 [366 K., 423 St.]

ἐμπεδόφυλλος.

PLUT. Quaest. conv. III 2, 2 p. 698 C *τὸ δ' ἀειθαλὲς τοῦτο καὶ ὥς φησιν Ἐ. ἐμπεδόφυλλον οὐκ ἔστι θερμότητος· οὐδὲ γὰρ ψυχρότητος τὸ φυλλοροεῖν. . . . ἔνιοι μὲν οὖν ὁμαλότητι κράσεως οἴονται παραμένειν τὸ φύλλον. Ἐ. δὲ πρὸς τούτῳ καὶ πόρων τινὰ συμμετρίαν αἰτιᾶται τεταγμένως καὶ ὁμαλῶς τὴν τροφὴν διιέντων ὥστε ἀρκούντως ἐπιρρεῖν*

verisimiliter, sed non certo pertinet ad versum qui olim fr. 78 praecedebat.

78 [367 K., 424 St.]

THEOPHR. caus. plant. I 13, 2 *εἰ δὲ καὶ συνεχῶς ὁ ἀὴρ ἀκολουθοίη τούτοις* [sc. *τοῖς δένδροις*], *ἴσως οὐδὲ τὰ παρὰ τῶν ποιητῶν λεγόμενα δόξειεν ἂν ἀλόγως ἔχειν* [*οὐδ'*] *ὡς Ἐ. ἀειφυλλα καὶ ἐμπεδόκαρπά φησι θάλλειν*

καρπῶν ἀφθονίῃσι κατ' ἠέρα πάντ' ἐνιαυτόν,

ὑποτιθέμενός τινα τοῦ ἀέρος κρᾶσιν, τὴν ἠρινήν, κοινήν.

κατ' ἠέρα propter Theophrasti conexum necessarium cf. 38, 3; mutarant *κατήρεα* Scaliger, *κατήορα* Beck. addunt antea versum *δένδρεα δ' ἀειφυλλα καὶ ἐμπεδόκαρπα τεθήλει* (G. Hermann) vel melius adscito fr. 77 *δ. δ' ἐμπεδόφυλλα κτλ.* (Karsten). hoc veri similiter. at immerito hos continuavit Stein fr. 130 contra Plut. (fr. 77) sensum. cf. Aët. V 26, 4 [A 70 p. 95, 7]

79 [245 K., 219 St.]

ARIST. de gen. anim. A 23. 731[a] 1 *ἐν δὲ τοῖς φυτοῖς μεμειγμέναι αὗταί εἰσι καὶ οὐ κεχώρισται τὸ θῆλυ τοῦ ἄρρενος. διὸ καὶ γεννᾶι αὐτα ἐξ αὐτῶν καὶ προΐεται οὐ γονήν, ἀλλὰ κύημα τὰ καλούμενα σπέρματα. καὶ*

τοῦτο καλῶς λέγει Ἐ. ποιήσας ‘οὕτω — ἐλαίας’. τό τε γὰρ ὠιὸν κύημά ἐστι καὶ ἔκ τινος αὐτοῦ γίγνεται τὸ ζῶιον τὸ δὲ λοιπὸν τροφή, καὶ ἐκ τοῦ σπέρματος καὶ ἐκ μέρους γίγνεται τὸ φυόμενον, τὸ δὲ λοιπὸν τροφὴ γίγνεται τῶι βλαστῶι καὶ τῆι ῥίζηι τῆι πρώτηι. [Philop. ad h. l. f. 31 λέγει δὲ μικρὰ δένδρεα [καὶ] ἐλαίας τὰς πυρήνας ὧν τὸ περικάρπιον ἐσθίομεν. ἀντὶ γοῦν τοῦ εἰπεῖν ‘οὕτω τὰ δένδρα αἱ ἐλαῖαι γεννῶσιν ἐλαίας, ὧν αἱ πυρῆναι ἐν τῆι γῆι σπαρεῖσαι πρῶτον μὲν γίνονται ἐξ αὐτῶν μικρὰ δένδρα, εἶθ’ οὕτως ἐλαῖαι’ εἶπεν ‘οὕτω δ’ ὠιοτοκεῖ’ ... δένδρα δὲ μικρὰ ἐκάλεσεν αὐτάς, ὅτι δυνάμει δένδρα ἐστίν.] Theophr. caus. plant. A 7, 1 τὰ δὲ σπέρματα πάντων ἔχει τινὰ τροφὴν ἐν αὐτοῖς, ἣ συναποτίκτεται τῆι ἀρχῆι καθάπερ ἐν τοῖς ὠιοῖς· ἦι καὶ οὐ κακῶς Ἐμπεδοκλῆς εἴρηκε φάσκων ὠιοτοκεῖν μακρὰ δένδρεα· παραπλήσια γὰρ τῶν σπερμάτων ἡ φύσις τοῖς ὠιοῖς. Ex Ar. ut vid. Nicolaus de plantis c. 6 p. 11, 13 Meyer *dixitque bene Abrucalis quod arbores altae pullos generant* [quod foede pessumdedit graecus q. d. Arist. de plantis p. 817ª 36] cf. A 70 p. 95, 20 sqq.

οὕτω δ’ ὠιοτοκεῖ μακρὰ δένδρεα πρῶτον ἐλαίας.

1 μακρὰ Theophr. Ar. Z Nicol.: μικρὰ Ar. PSY Philop.; intellege: *e semine parvo magnae arbores enascuntur* ἐλαίης Scaliger

80 [246 K., 220 St.]

Plut. Quaest. conv. V 8, 2 p. 683D ταῦτα μὲν οὖν ἔφαμεν ἡμεῖς μετρίως λέγεσθαι· τοῦ δ’ Ἐμπεδοκλέους εἰρηκότος

οὕνεκεν ὀψίγονοί τε σίδαι καὶ ὑπέρφλοια μῆλα

τὸ μὲν τῶν σιδῶν ἐπίθετον νοεῖν, ὅτι τοῦ φθινοπώρου λήγοντος ἤδη καὶ τῶν κανμάτων μαραινομένων ἐκπέττουσι τὸν καρπόν· ἀσθενῆ γὰρ αὐτῶν τὴν ὑγρότητα καὶ γλίσχραν οὖσαν οὐκ ἐᾶι λαβεῖν σύστασιν ὁ ἥλιος ... τὰ δὲ μῆλα καθ’ ἥντινα διάνοιαν ὁ σοφὸς ὑπέρφλοια προσειρήκοι, διαπορεῖν ... (sequuntur fr. 148—150). 3. εἰπόντος οὖν ἐμοῦ ταῦτα, γραμματικοί τινες ἔφασαν ὑπέρφλοια λελέχθαι τὰ μῆλα διὰ τὴν ἀκμήν· τὸ γὰρ ἄγαν ἀκμάζειν καὶ τεθηλέναι φλοίειν ὑπὸ τῶν ποιητῶν λέγεσθαι (citantur Antimachus et Aratus, *Διόνυσος Φλοῖος*). ἐπεὶ τοίνυν μάλιστα τῶν καρπῶν ἡ χλωρότης καὶ τὸ τεθηλέναι τῶι μήλωι παραμένει ὑπέρφλοιον αὐτὸ τὸν φιλόσοφον προσαγορεῦσαι. Λαμπρίας δ’ ὁ πάππος ἡμῶν ... ‘ὅρα τοίνυν’ ἔφη ‘μὴ πρὸς τοῦτο μᾶλλον ὁ Ἐμπ. πεποίηκε τὸ ἐπίθετον ὅτι τῶν ἄλλων καρπῶν τὸ ἔξωθεν ὑπὸ τοῦ φλοιοῦ περιεχομένων ... ὁ τοῦ μήλου φλοιὸς ἐντός ἐστι, κολλώδης χιτὼν καὶ λιπαρός, ὦι προσίσχεται τὸ σπέρμα. τὸ δ’ ἐδώδιμον ἔξωθεν αὐτῶι περικείμενον εἰκότως ὑπέρφλοιον ὠνόμασται’.

utut de Plutarchi quaestione iudicatur (prior explicatio vocis ὑπέρφλοα, ut pronuntiandum nec tamen scribendum est, sola rationem habet; at cf. Lobeck Rhem. p. 31), distinguenda sunt *σίδαι* (punica mala) et *μῆλα* (mala vulgaria), quae vulgo confundunt interpretes. de *σίδαι* cf. Meineke ad Call. p. 247.

81 [247 K., 221 St.]

Plut. Quaest. nat. 2 p. 912C τῶν δ’ ὀμβρίων τὸ εὔτρεπτον αἱ σήψεις κατηγοροῦσιν, εὐσηπτοτέρα γάρ ἐστι τῶν ποταμίων καὶ φρεατιαίων· ἡ δὲ πέψις ἔοικεν εἶναι σῆψις ὡς Ἐμπεδοκλῆς μαρτυρεῖ λέγων ‘οἶνος — ὕδωρ’. ibid. 31 p. 919C ἢ φύ⟨σει σηπτικὸν⟩ τὸ οἰνῶδές ἐστιν ὥς φησιν Ἐ. οἶνον

ἀπὸ φλοιοῦ πέλεσθαι σαπὲν ἐν ξύλωι ὕδωρ. ARIST. Top. Δ 5. 127ª 17 *ὁμοίως δ' οὐδ' ὁ οἶνός ἐστιν ὕδωρ σεσηπός, καθάπερ Ἐμπ. φησὶ 'σαπὲν ἐν ξ. ὕ.' ἁπλῶς γὰρ οὐκ ἔστιν ὕδωρ* [iterat Alex. ad h. l. p. 357, 11 Wallies].

οἶνος ἀπὸ φλοιοῦ πέλεται σαπὲν ἐν ξύλωι ὕδωρ.

1 *ἀπὸ φλοιοῦ* Plut. utrobique; frustra *ὑπὸ φλοιῶι* Xylander. sensus videtur esse: *aqua ex aere, ergo a corticis parte* (non a radice) *ingressa in vitem et intus putrefacta vertitur in vinum.* cf. Plut. quaest. conv. VI 2, 6 p. 688 A *τηρεῖται δὲ τοῖς μὲν φυτοῖς ἀναισθήτως ἐκ τοῦ περιέχοντος, ὥς φησιν Ἐ., ὑόρενομένοις τὸ πρόσφορον.* noli cogitare de vino in dolio condito.

82 [223. 224 K., 236. 237 St.]

1. 2 ARIST. Meteor. Δ 9. 387ᵇ 1 *λέγω δὲ καὶ ὀστᾶ καὶ τρίχας καὶ πᾶν τὸ τοιοῦτον ἐν ταὐτῶι· οὐ γὰρ κεῖται ὄνομα κοινόν, ἀλλὰ κατ' ἀναλογίαν ὅμως ἐν ταὐτῶι πάντ' ἐστίν, ὥσπερ καὶ Ἐμπεδοκλῆς φησι· ταὐτὰ — μέλεσσιν.* [Olympiodorus ad h. l. p. 335, 21 Stüve *ὅθεν καὶ Ἐμπ. μετὰ τῶν ξύλων ⟨τίθησι⟩ τὰ τοιαῦτα λέγων 'ταῦτα δέ ἐστι τρίχες — μελέεσσιν'*]

ταὐτὰ τρίχες καὶ φύλλα καὶ οἰωνῶν πτερὰ πυκνά
καὶ λεπίδες γίγνονται ἐπὶ στιβαρσῖοι μέλεσσιν.

2 *λεπίδες* Arist. FHN: *λοπίδες* Arist. E: *φολιδονίδες* Olymp. (omnes codd.; *φολίδες* corr. Ideler), unde Karsten Hesychiano *φλονίδες*: *λεπίδες* usus coni. *φλονίδες*

83 [225. 226 K., 238. 239 St.]

PLUT. de fort. 3 p. 98 D *τὰ μὲν γὰρ ὥπλισται κέρασι καὶ ὀδοῦσι καὶ κέντροις,*

αὐτὰρ ἐχίνοις
ὀξυβελεῖς χαῖται νώτοις ἐπιπεφρίκασιν.

1 *ἐχῖνος* Plut.: corr. Stephanus 2 *χαῖται* Vulcobius: *δέ τε* (ex ΧΕΤΕ) codd.: *ἄκανθαι δέ τε* Paris. 1956. *χαῖται* figurate Empedocles, imitatur Opp. Hal. 2, 372 *οὐτάζει* (echinus) *βελέεσσι χαίτης ὀξυτόμοισιν* cf. fr. 82; *ἀκανθοβόλος χαίτη* bis apud Nicandrum

84 [302—311 K., 316—324 St.]

1—11 ARIST. de sens. 2 p. 437ᵇ 23 *Ἐ. δ' ἔοικε νομίζοντι ὁτὲ μὲν ἐξιόντος τοῦ φωτός, ὥσπερ εἴρηται πρότερον, βλέπειν. λέγει γοῦν οὕτως· 'ὡς — ἦεν', ὁτὲ μὲν οὕτως ὁρᾶν φησιν, ὁτὲ δὲ ταῖς ἀπορροίαις ταῖς ἀπὸ τῶν ὁρωμένων* ALEX. ad h. l. p. 23, 8 Wendland. *καὶ πρῶτόν γε παρατίθεται αὐτοῦ τὰ ἔπη, δι' ὧν ἡγεῖται καὶ αὐτὸς πῦρ εἶναι τὸ φῶς καὶ τοῦτο ἐκ τῶν ὀφθαλμῶν προχεῖσθαί τε καὶ ἐκπέμπεσθαι καὶ τούτωι τὸ ὁρᾶν γίνεσθαι. ἀπεικάζει γὰρ διὰ τῶν ἐπῶν τὸ ἐκπεμπόμενον ἀπὸ τῆς ὄψεως φῶς τῶι διὰ τῶν λυχνούχων φωτί. ὡς γὰρ ὁδοιπορεῖν τις νυκτὸς μέλλων λύχνον παρασκευασάμενος ἐντίθησιν εἰς λαμπτῆρα (ὁ γὰρ λαμπτὴρ τὰ μὲν ἔξωθεν πνεύματα ἀπείργει τε καὶ κωλύει, τοῦ δὲ πυρὸς τὸ λεπτότατον εἰς τὸ ἔξω διίησιν, ὅπερ ἐστὶ φῶς), οὕτω, φησίν, καὶ ἐν ταῖς μήνιγξι καθειργόμενον τὸ πῦρ ὑπὸ λεπτῶν ὑμένων περιέχεται, οἳ τὰ μὲν ἔξωθεν προσπίπτοντα λυμαντικὰ τοῦ πυρὸς ἀπείργουσι καὶ οὐκ ἐῶσιν ἐνοχλεῖν τῆι κόρηι, τὸ δὲ λεπτότατον τοῦ πυρὸς εἰς τὸ*

ἔξω διᾶσιν. ἀμουργοὺς δὲ τοὺς λαμπτῆρας λέγοι ἂν τοὺς ἀπειρκτικοὺς ἀπὸ τοῦ ἀπερύκειν τὰ πνεύματα καὶ σκέπειν τὸ περιεχόμενον ὑπ' αὐτῶν πῦρ· ἢ ἀμουργοὺς τοὺς πυκνοὺς καὶ διὰ πυκνότητα ἀπερύκοντας τὰ πνεύματα. ταναὸν δὲ τὸ πῦρ τὸ διὰ λεπτότητα τεινόμενόν τε καὶ διεκπίπτειν διὰ τῶν πυκνῶν δυνάμενον. κατὰ βηλὸν δὲ κατὰ τὸν οὐρανόν· Ὅμηρος 'ῥίπτασκεν τεταγὼν ἀπὸ βηλοῦ, ὄφρ' ἂν ἵκηται γῆν ὀλιγηπελέων'. λεπτῆισι δὲ ὀθόνηισιν ἐχεύατο κύκλοπα κούρην εἶπεν ἀντὶ τοῦ 'λεπτοῖς ὑμέσι περιέλαβε τὴν κυκλοτερῆ κόρην', πρὸς τὸ ὄνομα τῆς κόρης χρησάμενος ποιητικῶς ταῖς ὀθόναις ἀντὶ τῶν ὑμένων. δείξας δὲ αὐτὸν διὰ τούτων τῶν ἐπῶν ταῦτα λέγοντα, προστίθησι τὸ 'ὁτὲ μὲν οὕτως ὁρᾶν φησιν, ὁτὲ δὲ ταῖς ἀπορροίαις ταῖς ἀπὸ τῶν ὁρωμένων' ἀπορρεῖν τινα, ἃ προσπίπτοντα τῇι ὄψει, ὅταν ἐναρμόσηι τοῖς ἐν αὐτῇι πόροις τῶι εἶναι σύμμετρα, εἶσω τε χωρεῖν καὶ οὕτως τὸ ὁρᾶν γίνεσθαι. ταύτης τῆς δόξης καὶ Πλάτων μνημονεύει ὡς οὔσης Ἐμπεδοκλέους ἐν *Μένωνι* [A 92 p. 103, 43]. καὶ ὁρίζεται κατὰ τὴν δόξαν τὴν ἐκείνου τὸ χρῶμα ἀπορροὴν σωμάτων ὄψει σύμμετρον καὶ αἰσθητήν. cf. Theophr. d. sens. 7 A 86 p. 99, 32 3 Arist. d. sens. l. c. (cf. A 91 p. 103, 34) 8 Eustath. ν 21 p. 1881, 27 Ἐ. *κύκλωπα κούρην* ἔφη cf. ad α 69 p. 1392, 38.

ὡς δ' ὅτε τις πρόοδον νοέων ὡπλίσσατο λύχνον
χειμερίην διὰ νύκτα, πυρὸς σέλας αἰθομένοιο
ἄψας, παντοίων ἀνέμων λαμπτῆρας ἀμοργούς,
οἵ τ' ἀνέμων μὲν πνεῦμα διασκιδνᾶσιν ἀέντων,
φῶς δ' ἔξω διαθρῴσκον, ὅσον ταναώτερον ἦεν,
λάμπεσκεν κατὰ βηλὸν ἀτειρέσιν ἀκτίνεσσιν·
ὡς δὲ τότ' ἐν μήνιγξιν ἐργμένον ὠγύγιον πῦρ
λεπτῆισίν ⟨τ'⟩ ὀθόνηισι λοχάζετο κύκλοπα κούρην,
⟨αἱ⟩ χοάνηισι δίαντα τετρήατο θεσπεσίηισιν·
αἱ δ' ὕδατος μὲν βένθος ἀπέστεγον ἀμφιναέντος,
πῦρ δ' ἔξω διίεσκον, ὅσον ταναώτερον ἦεν.

3 *ἀμοργούς* Arist. (*ἀμοργοὺς* E²): *ἀμουργοὺς* Al.; illud explicavi *Herm.* XV 170 *detergentes ventos* 4 *οἵ τ'* Arist. vulg.: *αἵ τ'* E alii codd. (*ἀμοργίδας* sine dubio intellegentes) 5 *φῶς* Arist. vulgo, Alex.: *πῦρ* (ex commentis) E alii codd.; de anacoluthia cf. 17, 31. 21, 6 7 *τότ'* cum oculus formabatur; *τό τ'* Sturz *ἐελμένον* Ar. E 8 *λεπτῆισιν' τ'* scripsi: *λεπτῆσιν* Ar. Al.: *λεπτῆσ' εἰν* Panzerbieter *ὀθόνησι(ν)* Ar. vulg., Al.: *χθονίησι* E alii, *χοανῆσι* P (cf. v. 9). vocem poetice propter *κούρην* lectam esse scite monet Alexander *λοχάζετο* Ar. E MYil: *ἐχεύατο* Ar. (ceteri) Al.; illud est *in latebris ponere* (contra intr. Euen. Anth. IX 251, 8 *λοχάζηι insidiaris*) 9 restituit Blass ex delatis post *φῶς δ' ἔξω* (5) verbis codicis P *διάνταται τρείατο θεσπεσίησεν ὀθόνησιν διαθρῶισκον*. pro *ὀθόνησι* v. 8 idem P habet *χοανῆσι*. dubium num Alex. versum propter homoearcton (10) omissum habuerit *χοάνησι poris, θεσπεσίησι divinitus institutis* (fr. 96, 4) *δίαντα* (formatum ut *ἔσαντα, ἔναντα, ἄναντα, κάταντα, πάραντα*) alibi non traditum, at derivatum hinc *διανταῖος* 10 *ἀμφιναέντος* Ar.: *ἀμφινάοντος* editores. illud servavi; nam *να(ι)ήσονται* (111, 8) formatum ab *ἐνάην* ut *ῥυήσομαι* ab *ἐρρύην, δαήσομαι* ab *ἐδάην* 11 *διίεσκον* Ar. P: *διαθρῶισκον* (ex v. 5) ceteri codd. nam hoc tantum fr. plenum citari consentaneum

85 [193 K., 152 St.]

SIMPL. Phys. 331, 3 *καὶ τὰ μόρια τῶν ζώιων ἀπὸ τύχης γενέσθαι τὰ πλεῖστά φησιν ὡς ὅταν λέγηι 'ἡ δὲ χθὼν — μάλιστα'* [fr. 98, 1]. *καὶ πάλιν*

ἡ δὲ φλὸξ ἱλάειρα μινυνθαδίης τύχε γαίης

καὶ ἐν ἄλλοις 'Κύπριδος — τυχόντα' [fr. 75, 2]. *καὶ πολλὰ ἄν τις εὕροι ἐκ τῶν Ἐμπεδοκλέους Φυσικῶν τοιαῦτα παραθέσθαι* cf. Theophr. d. sens. 7 (supra p. 99, 33).

ἡ δὲ F: *ἡ δὴ* D: *ἤδη* E *φλόξ ignis in oculis latens* (Blass) *τύχε* E: *ψύχε* DF

86 [227 K., 240 St.]

SIMPLIC. de caelo p. 529, 21 (post fr. 35, 1—15) *ἀλλὰ καὶ περὶ γενέσεως τῶν ὀφθαλμῶν τῶν σωματικῶν τούτων λέγων ἐπήγαγεν·*

ἐξ ὧν ὄμματ' ἔπηξεν ἀτειρέα δῖ' Ἀφροδίτη.

87 [228 K., 241 St.]

SIMPL. de caelo p. 529, 24 (post fr. 86) *καὶ μετ' ὀλίγον·*

γόμφοις ἀσκήσασα καταστόργοις Ἀφροδίτη.

88 [311 K., 326 St.]

ARIST. poet. 21. 1458ª 4 *ἀφηιρημένον δὲ οἷον τὸ κρῖ καὶ τὸ δῶ καὶ 'μία — ὄψ'.* STRABO VIII p. 364 ex Apollodoro inter similia apocopes exempla: *παρ' Ἐμπεδοκλεῖ δὲ 'μία — ὄψ' ἡ ὄψις. καὶ παρ' Ἀντιμάχωι 'Δήμητρός τοι Ἐλευσινίης ἱερὴ ὄψ'.* HES. *ὄψ: ὄψις, ὀφθαλμός.*

μία γίγνεται ἀμφοτέρων ὄψ.

ante *μία* suppl. *ὀφθαλμῶν* Karsten *ὄψ* Strab.: *ὀῆς* Ar. codex

89 [267 K., 281 St.]

PLUT. quaest. nat. 19 p. 916 D *σκόπει δὴ κατ' Ἐμπεδοκλέα*

γνούς, ὅτι πάντων εἰσὶν ἀπορροαί, ὅσσ' ἐγένοντο.

οὐ γὰρ ζώιων μόνον οὐδὲ φυτῶν οὐδὲ γῆς καὶ θαλάττης, ἀλλὰ καὶ λίθων ἄπεισιν ἐνδελεχῶς πολλὰ ῥεύματα καὶ χαλκοῦ καὶ σιδήρου· καὶ γαρ φθείρεται πάντα καὶ ὄλωλε τῶι ῥεῖν ἀεί τι καὶ φέρεσθαι συνεχῶς.

γνοὺς Plutarchi esse potest, *γνῶθι* Wakefield

90 [268. 269 K., 282. 283 St.]

1. 2 PLUT. quaest. conviv. IV 1, 3 p. 663 A *εἴτε γὰρ ἐξ ὁμοίων ἀναλαμβάνει τὸ οἰκεῖον ἡ φύσις εἰς τὸν ὄγκον αὐτόθεν ἡ ποικίλη τροφὴ πολλὰς μεθιεῖσα ποιότητας ἐξ ἑαυτῆς ἑκάστωι μέρει τὸ πρόσφορον ἀναδίδωσιν· ὥστε γίγνεσθαι τὸ τοῦ Ἐμπεδοκλέους 'ὡς γλυκὺ — ἁλερόν'. λαβέτωσ* (sic Vindob.) *δὲ ἄλλου . . .* (3 litt.) *ἐπὶ πρόσφορον μένοντος τῆι θερμότητι ἐν τῶι πνεύματι τοῦ μίγματος σκεδασθέντος κτλ.* hinc MACROB. Sat. VII 5, 17 *scimus autem similibus similia nutriri . . . singula ad se similitudinem sui rapere testis Empedocles qui ait 'ὡς — θερμῶι.*

ὡς γλυκὺ μὲν γλυκὺ μάρπτε, πικρὸν δ' ἐπὶ πικρὸν ὄρουσεν,
ὀξὺ δ' ἐπ' ὀξὺ ἔβη, θερμὸν δ' ἐποχεύετο θερμῶι.

1 *μὲν* Macr.: *μὲν ἐπὶ* Plut. 2 exhibeo Macrob.; at in lacunosis et corruptis Plut. *ὀξὺ δ' ἐπ' ὀξὺ ἁλερὸν ἁλεροῦ* (sic) fortasse glossa Empedoclea latet *ἁερὸν δ' ἐποχεῖτο ἀηρῶι*; cf. Hes. *ἁερόν*: *μέλαν καὶ τὸ καιόμενον. ἀηρόν· θερμόν. καυματηρόν.* Et. M. 244, 42 (e Diogeniano) *ἀηρόν*: *λαμπρόν, ξηρόν, καυματηρόν.* — *ἐπεχεῖτο* serie troporum relicta Lobeck. H. Weil tres versus fuisse credidit, velut 2. 3 *ὀξὺ δ' ἐπ' ὀξὺ ἔβη, πλαδαρὸν πλαδαροῦ* [*χαλερὸν χαλεροῦ* Meineke, possis *ἀλεὸν δ' ἀλεοῦ* cf. Hesych] *λάβετ' ὦ⟨κα, ψυχρὸν δὲ ψυχρῶι⟩, θερμὸν δ' ἐποχεύετο θερμῶι.* Paton denique temptat sec. Plutarchi memoriam *ὀξὺ δ' ἐπ' ὀξὺ σπεῦδ', ἁλερὸν* [idem esse quod *ἁλυκόν*] *δ' ἁλεροῦ λάβετ' ὦκα*, tum Macrobii continuandum esse *ψυχρὸν ψυχρὸν ἔβη, θερμὸν δ' ἐποχεύετο θερμῶι.* at duos versus fuisse docet recensio.

91 [272. 273 K., 284. 285 St.]

Alex. Quaest. II 23 p. 72, 9 Bruns [cf. A 89 p. 103, 17] *περὶ τῆς Ἡρακλείας λίθου διὰ τί ἕλκει τὸν σίδηρον; . . . διὰ τί γὰρ μόναι αἱ ἀπὸ τῆς λίθου ἀπόρροιαι κινεῖν δύνανται τὸν ἐπιπωματίζοντα τοὺς τοῦ σιδήρου πόρους ἀέρα καὶ ἐπέχοντα τὰς ἀπορροίας; ἔτι διὰ τί ἄλλο οὐδὲν πρὸς ἄλλο τι οὕτω φέρεται, καίτοι πολλὰ λέγεται ὑπ' αὐτοῦ συμμέτρους τοὺς πόρους πρὸς ἀλλήλας ταῖς ἀπορροίαις ἔχειν; λέγει γοῦν* [scil. Empedocles]· *ὕδωρ*

οἴνωι μᾶλλον ἐνάρθμιον, αὐτὰρ ἔλαιωι
οὐκ ἐθέλει.

hinc Philop. (immo Michael) de gen. anim. fr. 59^{r} 10 *καὶ ὧν μέν εἰσι τὰ ναστὰ καὶ οἱ πόροι (τουτέστι τὰ κοῖλα καὶ πυκνὰ σύμμετρα ὥστε δύνασθαι δι' ἀλλήλων χωρεῖν, τούτων ἔφασκεν μίξιν καὶ κρᾶσιν οἷον ὕδατος καὶ οἴνου, ὧν δὲ ἀσύμμετρα, ἄμικτα ταῦτα ἔφασκεν εἶναι ὥσπερ ἔλαιον καὶ ὕδωρ. φησὶ γὰρ 'ὕδωρ — ἐθέλει' ταῦτα λέγων κατὰ παντὸς σώματος τὴν αἰτίαν τῆς τῶν ἡμιόνων ἀτεκνίας ἀπεδίδου λέγων, ὅτι τὰ κοῖλα καὶ πυκνὰ τοῦ ἱππείου σπέρματος, ὁμοίως δὲ καὶ τοῦ καταμηνίου τῆς ὄνου (ἔνεισι γὰρ κατ' ἐκεῖνον καὶ ἐν τῶι καταμηνίωι πυκνὰ καὶ κοῖλα ὥσπερ καὶ ἐν τῆι τοῦ ἵππου γονῆι) τὰ δὴ κοῖλα καὶ πυκνὰ ἀμφοτέρων τῶν σπερμάτων, τοῦ τε ὄνου καὶ τοῦ ἵππου, ὑγρὰ καὶ μαλακὰ ὄντα δύνανται διὰ τὴν μαλακότητα μίγνυσθαι κτλ.* cf. Arist. 747^{a}34 (cit. ad fr. 92) et 723^{a}18

1 *οἴνωι ὕδωρ μᾶλλον μὲν* Stein; potius initium Alexandri videtur sententiam declarantis. fortasse *ὕδωρ· οἴνωι μὲν γὰρ μᾶλλον ἐναρίθμιον* Alex., Philop.: corr. Karsten 2 *ἐθέλει* sc. *ἐναρμόττειν*

92 [450 K.]

Arist. de gen. anim. B 8. 747^{a}34 (de quaestione *διὰ τί τὸ τῶν ἡμιόνων γένος ἄγονον* cf. A 82 p. 98) *Ἐ. δ' αἰτιᾶται τὸ μεῖγμα τὸ τῶν σπερμάτων γίνεσθαι πυκνὸν ἐκ μαλακῆς τῆς γονῆς οὔσης ἑκατέρας· συναρμόττειν γὰρ τὰ κοῖλα τοῖς πυκνοῖς ἀλλήλων, ἐκ δὲ τῶν τοιούτων γίνεσθαι ἐκ μαλακῶν σκληρόν ὥσπερ τῶι καττιτέρωι μιχθέντα τὸν χαλκόν, λέγων οὔτ' ἐπὶ τοῦ χαλκοῦ καὶ τοῦ καττιτέρου τὴν αἰτίαν ὀρθῶς . . . οὔθ' ὅλως ἐκ γνωρίμων ποιούμενος τὰς ἀρχάς. τὰ γὰρ κοῖλα καὶ τὰ στερεὰ ἁρμόττοντα ἀλλήλοις*

πῶς ποιεῖ τὴν μίξιν οἷον οἴνου καὶ ὕδατος; [cf. fr. 91]. cf. Philop. i. e. Michael ad h. l. 59^{r}3 *Ἐ. ἐν ἅπασι τοῖς σώμασι τοῖς ὑπὸ σελήνην οἷον ὕδασιν, ἐλαίοις καὶ τοῖς ἄλλοις εἶναι ἔλεγεν (ὡς καὶ ἐν τῇ Περὶ γενέσεως καὶ φθορᾶς εἴρηκεν* [cf. Arist. p. 325^{b}5, unde etiam proxima]) *ἀναμεμιγμένους πόρους καὶ ναστά, καὶ τοὺς μὲν πόρους ἐκάλεσε κοῖλα, τα δὲ ναστὰ πυκνά, καὶ ὧν μέν εἰσι τὰ ναστὰ καὶ οἱ πόροι (τοντέστι τὰ κοῖλα καὶ πυκνά) σύμμετρα, ὥστε δύνασθαι δι' ἀλλήλων χωρεῖν, τούτων ἔφασκεν εἶναι μίξιν καὶ κρᾶσιν οἷον ὕδατος καὶ οἴνου· ὧν δὲ ἀσύμμετρα, ἄμικτα ταῦτα ἔφασκεν εἶναι ὥσπερ ἔλαιον καὶ ὕδωρ κτλ.* cf. ad fr. 91

hoc et antecedens fr. ad illustrandam magnetis vim adhibitam fuisse fidem facit etiam Lucr. VI 1073. 1079.

93 [274 K., 286 St.]

Plut. de def. or. 41 p. 433B [p. 113, 15 Paton] *ἄλλα γαρ ἄλλοις οἰκεῖα καὶ πρόσφορα καθάπερ τῆς μὲν πορφύρας ὁ κύαμος τῆς δὲ κόκκου τὸ νίτρον δοκεῖ τὴν βαφὴν ἄγειν* [*αὔξειν* Wyttenbach; *αἴρειν*?] *μεμιγμένον,*

βύσσωι δὲ γλαυκῆς κόκκος καταμίσγεται ἀκτῆς

ὡς Ἐ. εἴρηκε.

κόκκος scripsi: *κρόκου* libri *ἀκτίς* Barber. et dett.: om. cet.: corr. Wilamowitz. *βύσσος* antiqui et recentes cum ignorent quod genus vestium sit, lineum an bombycinum an sericum, sequi praestat etymologos colorem explicantes Hes. *χρῶμα ἀντὶ τῆς ὕσγης παραλαμβανόμενον.* Et. M. 217, 20 *βύσσος· εἶδος βοτάνης ἐξ οὗ καὶ τὰ ἀπ' αὐτῆς βαπτόμενα ἱμάτια βύσσινα λέγονται.* ergo Plutarchus Empedoclis versum non ut alterius mixturae exemplum sed ut tertium genus addidit: byssinum colorem sambuci bacis adulteratum. fortasse Plin. h. n. IX 140 huc facit, si legas *quin et terrena miscere* [i. e. nitrum] *cocco, ⟨sambuco⟩que tinctum Tyrio tinguere ut fieret hysginum.*

94 [p. 50 St.]

Plut. Quaest. nat. 39 *cur aqua in summa parte alba, in fundo vero nigra spectatur? an quod profunditas nigredinis mater est, ut quae solis radios prius quam ad eam descendant, obtundat et labefactet? superficies autem quoniam continuo a sole afficitur, candorem luminis recipiat oportet. quod ipsum et Empedocles approbat:*

et niger in fundo fluvii color exstat ab umbra,
atque cavernosis itidem spectatur in antris.

graece libet sic vertere: *καὶ πέλει ἐν βένθει ποταμοῦ μέλαν ἐκ σκιόεντος καὶ σπηλαιώδεσσιν ὁμῶς ἐνορᾶται ἐν ἄντροις.* usus fragmenti intellegitur fortasse ex Aristot. de gen. anim. E 1. 779^{b}28 *τὰ μὲν οὖν ἔχοντα τῶν ὀμμάτων πολὺ τὸ ὑγρὸν μελανόμματά ἐστι διὰ τὸ μὴ εὐδίοπτ' εἶναι τὰ πολλά, γλαυκὰ δὲ τὰ ὀλίγον, καθάπερ φαίνεται καὶ ἐπὶ τῆς θαλάττης. τὸ μὲν γὰρ εὐδίοπτον αὐτῆς φαίνεται, τὸ δ' ἧττον ὑδατῶδες, τὸ δὲ μὴ διωρισμένον διὰ βάθος μέλαν καὶ κυανοειδές.*

95 [229 K., 242 St.]

SIMPL. de caelo 529, 26 (post fr. 87) *καὶ τὴν αἰτίαν λέγων τοῦ τοὺς μὲν ἐν ἡμέραι τοὺς δὲ ἐν νυκτὶ κάλλιον ὁρᾶν* [cf. A 86 p. 99, 38]·

Κύπριδος, φησίν, ἐν παλάμηισιν ὅτε ξὺμ πρῶτ' ἐφύοντο.

96 [211—214 K., 199—202 St.

1—4 SIMPL. phys. 300, 19 *καὶ γὰρ λόγωι τινὶ ποιεῖ σάρκας καὶ ὀστοῦν καὶ τῶν ἄλλων ἕκαστον. λέγει γοῦν ἐν τῶι πρώτωι τῶν Φυσικῶν· 'ἡ — θεσπεσίηθεν' τουτέστιν ἀπὸ τῶν θείων αἰτίων καὶ μάλιστα τῆς Φιλίας ἤτοι 'Ἁρμονίας· ταῖς γὰρ ταύτης κόλλαις ἁρμόζεται* 1—3 ARIST. de anima A 5. 410ᵃ1 *οὐ γὰρ ὁπωσοῦν ἔχοντα τὰ στοιχεῖα τούτων ἕκαστον ἀλλὰ λόγωι τινὶ καὶ συνθέσει, καθάπερ φησὶ καὶ Ἐ. τὸ ὀστοῦν· 'ἡ — γένοντο'.* [inde paraphrasin dat Simpl. ad h. l. 68, 5 Hayd. *'ἐπίηρος' δὲ τουτέστιν ἐναρμόνιος, εἴρηται ἡ γῆ ὡς κύβος κατὰ τὴν Πυθαγόρειον αἵρεσιν· τὸν γὰρ κύβον διὰ τὸ δώδεκα μὲν ἔχειν πλευρὰς ὀκτὼ δὲ γωνίας ἐξ δὲ ἐπίπεδα τὴν ἁρμονικὴν ποιοῦντα ἀναλογίαν ἁρμονίαν ἐκάλουν. 'χόανα' δὲ καὶ παρὰ τῶι ποιητῆι, ἐν οἷς ἡ τῶν μιγνυμένων γίνεται κρᾶσις, ἀγγεῖα 'φῦσαι δ' ἐν χοάνοισιν ἐείκοσι πᾶσαι ἐφύσων'* [Σ 470], *ἃ καὶ 'εὐστερνα' ὡς πλατέα διὰ τὸ χωρητικὸν καλεῖ. μίγνυσι δὲ πρὸς τὴν τῶν ὀστῶν γένεσιν τέσσαρα μὲν πυρὸς μέρη, διὰ τὸ ξηρὸν καὶ λευκὸν χρῶμα ἴσως πλείστου λέγων αὐτὰ μετέχειν πυρός, δύο δὲ γῆς καὶ ἓν μὲν ἀέρος ἓν δὲ ὕδατος, ἃ δὴ ἄμφω 'νῆστιν αἴγλην' προσαγορεύει, νῆστιν μὲν διὰ τὸ ὑγρὸν ἀπὸ τοῦ νάειν καὶ ῥεῖν, αἴγλην δὲ ὡς διαφανῆ.* indidem 1—3 Alex. ad Metaph. A 10. p. 135, 11 Hayd. (ex Alexandro Ascl. 112, 1 Hayd.), Them. p. 60, 11 Philop. p. 176, 30—178, 17 Hayd., Sophon. p. 32, 14 Hayd.]. cf. A 78 p. 97 2. 3 SYRIAN. Metaph. p. 938ᵇ20 Usen.

ἡ δὲ χθὼν ἐπίηρος ἐν εὐστέρνοις χοάνοισι
τὼ δύο τῶν ὀκτὼ μερέων λάχε Νήστιδος αἴγλης,
τέσσαρα δ' Ἡφαίστοιο· τὰ δ' ὀστέα λευκὰ γένοντο
Ἁρμονίης κόλλησιν ἀρηρότα θεσπεσίηθεν.

1 *εὐστέρνοις* Arist., Simpl. de anim. (cf. supra) Them. Alex. (LF, Ascl.), Philop., Simpl. phys. D: *εὐτύκτοις* Simpl. phys. EF, Alex. (A) 2 *τὼ* Steinhart: *τῶν* Arist. ESTUX Them. Phil. 176, 25, Ascl. Soph.: *τὰς* Simpl. phys. DE, Arist. W, Al. Syr.: *τὰ* Arist. V Simpl. F *μερέων* Ar. ESTX, Alex. AS, Syr., Ascl., Them., Soph. Simpl. phys. F: *μοιράων* Arist. UVW, Simpl. phys. DE, Philop. 176, 26: *μοιρῶν* Alex. LF, Philop. 178, 1 R 3 *λεύκ' ἐγένοντο* Arist. SUX, Al. (Ascl.) Them. Soph. Philop. R

97 [p. 452 K.]

ῥάχις

ARIST. de partt. anim. A 1 p. 640ᵃ18 *ἡ γὰρ γένεσις ἕνεκα τῆς οὐσίας ἐστίν, ἀλλ' οὐχ ἡ οὐσία ἕνεκα τῆς γενέσεως. διόπερ Ἐμπεδοκλῆς οὐκ ὀρθῶς εἴρηκε λέγων ὑπάρχειν πολλὰ τοῖς ζώιοις διὰ τὸ συμβῆναι οὕτως ἐν τῆι γενέσει οἷον καὶ τὴν ῥάχιν τοιαύτην. ἔχειν ὅτι στραφέντος καταχθῆναι συνέβη.*

98 [215—219 K., 203—207 St.]

1—5 Simpl. phys. 32, 3 *καλεῖ δὲ τὸ μὲν πῦρ καὶ Ἥφαιστον* (96, 3) *καὶ ἥλιον* (21, 3 al.), *καὶ φλόγα* (85), *τὸ δὲ ὕδωρ ὄμβρον* (73, 1 al.), *τὸν δὲ ἀέρα αἰθέρα* (fr. 100, 7 al.). *λέγει οὖν πολλαχοῦ μὲν ταῦτα καὶ ἐν τούτοις δὲ τοῖς ἔπεσιν 'ἡ δὲ — σαρκός'* cf. Aet. V 22 [A 78 p. 97, 11]. 1 ibidem 33, 3 *καὶ τὰ μόρια τῶν ζώιων ἀπὸ τύχης γενέσθαι τὰ πλεῖστά φησιν ὡς ὅταν λέγηι 'ἡ δὲ — μάλιστα'.*

ἡ δὲ Χθὼν τούτοισιν ἴσηι συνέκυρσε μάλιστα,
Ἥφαίστωι τ' ὄμβρωι τε καὶ αἰθέρι παμφανόωντι,
Κύπριδος ὁρμισθεῖσα τελείοις ἐν λιμένεσσιν
εἴτ' ὀλίγον μείζων εἴτε πλεόνεσσιν ἐλάσσων·
ἐκ τῶν αἵμά τε γέντο καὶ ἄλλης εἴδεα σαρκός.

1 *μάλιστα* cf. v. 4 et fr. 22, 6 2 clausula homerica Θ 320 3 *ὁρμισθεῖσα* F: *ὁρμησθεῖσα* DF *λιμένεσιν* DE 4 *μεῖζον* F *εἴτε πλεόνεσσιν* Panzerbieter: *εἴτε πλέον ἐστίν* Simpl.; *Tellus ad sanguinem efficiendum fere pares partes ignis, aquae, aeris arcessit, sed fieri potest ut paulo plus terrae aut minus, ut quae pluribus elementis una occurrat, admisceatur. πλεόνεσσιν* pendet a *συνέκυρσε* 5 *αἷματ' ἐγένοντο* F

99 [p. 483 K., 315 St.]

κώδων. σάρκινος ὄζος

Theophr. d. sens. 9 [A 86 p. 100, 6] *ὥσπερ γὰρ εἶναι κώδωνα τῶν ἴσων* [fort. *ἔσωθεν*] *ἦχων τὴν ἀκοήν, ἣν προσαγορεύει σάρκινον ὄζον.*

κώδων tintinnabulum, non *tuba* cf. Philop. de anima p. 355, 17 Hayd. *καὶ ἐν τοῖς κυρτοῖς δὲ ἑαυτοῦ μέρεσι πληττόμενος ὁ κώδων ἐπὶ πλείονα χρόνον ἠχεῖ, ὅταν ἀπό τινος λεπτοῦ ἰμάντος ἀπηρτημένος ἦι. ἡ δὲ αἰτία ἡ αὐτή· πληττόμενος κινεῖται, κινούμενος δὲ κινεῖ τὸν ἐν τοῖς κοιλώμασιν ἐναπειλημμένον ἀέρα, ὃς πάλιν ἐπὶ πολὺ εἱλούμενος καὶ τῶι χαλκῶι προσκρούων παρατείνει τὸν ψόφον ... τοῦτο δὲ διότι μὴ κινούμενον τὸ ἠχεῖον οὐ κινήσει τὸν ἐντὸς ἀέρα.* nunc defendo *σάρκινον ὄζον*, interiorem auris apparatum (*χόνδρον* Aetii IV 16, 1 cf. A 93 p. 104, 7) quasi *carneum pistillum* tintinnabuli intellegens.

100 [275—299 K., 287—311 St.]

1—25 Arist. de respir. 7 p. 472ª15 *λέγει δὲ περὶ ἀναπνοῆς καὶ Ἐμπ., οὐ μέντοι τίνος γ' ἕνεκα οὐδὲ περὶ πάντων τῶν ζώιων οὐδὲν ποιεῖ δῆλον εἴτε ἀναπνέουσιν εἴτε μή. καὶ περὶ τῆς διὰ τῶν μυκτήρων ἀναπνοῆς λέγων* (v. 4), *οἴεται καὶ περὶ τῆς κυρίας λέγειν ἀναπνοῆς ...* 473ᵇ1 *γίνεσθαι δέ φησι τὴν ἀναπνοὴν καὶ ἐκπνοὴν διὰ τὸ φλέβας εἶναί τινας, ἐν αἷς ἔνεστι μὲν αἷμα, οὐ μέντοι πλήρεις εἰσὶν αἵματος* (v. 1), *ἔχουσι δὲ πόρους εἰς τὸν ἔξω ἀέρα, τῶν μὲν τοῦ σώματος μορίων ἐλάττους, τῶν δὲ τοῦ ἀέρος μείζους. διὸ τοῦ αἵματος πεφυκότος κινεῖσθαι ἄνω καὶ κάτω, κάτω μὲν φερομένου εἰσρεῖν τὸν ἀέρα καὶ γίνεσθαι ἀναπνοήν, ἄνω δ' ἰόντος ἐκπίπτειν θύραζε καὶ γίνεσθαι τὴν ἐκπνοὴν παρεικάζων τὸ συμβαῖνον ταῖς κλεψύδραις. 'ὧδε — ὀπίσσω'* [Michael. ad h. l. (ad Aldinam Simpl. de anima) f. 167ᵛ sqq.] 9 significat Aet. IV 22, 1 [A 74 p. 96].

ὧδε δ' ἀναπνεῖ πάντα καὶ ἐκπνεῖ· πᾶσι λίφαιμοι
σαρκῶν σύριγγες πύματον κατὰ σῶμα τέτανται,
καί σφιν ἐπὶ στομίοις πυκναῖς τέτρηνται ἄλοξιν
ῥινῶν ἔσχατα τέρθρα διαμπερές, ὥστε φόνον μέν
κεύθειν, αἰθέρι δ' εὐπορίην διόδοισι τετμῆσθαι.
ἔνθεν ἔπειθ' ὁπόταν μὲν ἀπαΐξῃι τέρεν αἷμα,
αἰθὴρ παφλάζων καταΐσσεται οἴδματι μάργωι,
εὖτε δ' ἀναθρώισκηι, πάλιν ἐκπνέει, ὥσπερ ὅταν παῖς
κλεψύδρηι παίζῃσι διειπετέος χαλκοῖο·
εὖτε μὲν αὐλοῦ πορθμὸν ἐπ' εὐειδεῖ χερὶ θεῖσα
εἰς ὕδατος βάπτῃσι τέρεν δέμας ἀργυφέοιο,
οὐδ' ἔτ' ἐς ἄγγοσθ' ὅμβρος ἐσέρχεται, ἀλλά μιν εἴργει
ἀέρος ὄγκος ἔσωθε πεσὼν ἐπὶ τρήματα πυκνά,
εἰσόκ' ἀποστεγάσῃι πυκνινὸν ῥόον· αὐτὰρ ἔπειτα
πνεύματος ἐλλείποντος ἐσέρχεται αἴσιμον ὕδωρ.
ὡς δ' αὕτως ὅθ' ὕδωρ μὲν ἔχῃι κάτα βένθεα χαλκοῦ
πορθμοῦ χωσθέντος βροτέωι χροΐ ἠδὲ πόροιο,
αἰθὴρ δ' ἐκτὸς ἔσω λελιημένος ὄμβρον ἐρύκει
ἀμφὶ πύλας ἰσθμοῖο δυσηχέος, ἄκρα κρατύνων,
εἰσόκε χειρὶ μεθῆι· τότε δ' αὖ πάλιν, ἔμπαλιν ἢ πρίν,
πνεύματος ἐμπίπτοντος ὑπεκθέει αἴσιμον ὕδωρ.
ὡς δ' αὕτως τέρεν αἷμα κλαδασσόμενον διὰ γυίων

1 *λίφαιμοι* cf. paraphr. Arist.: *δίαιμοι* codd. ilM 3 *πυκναῖς* vel *πυκνοῖς* plerique codd.: *πυκιναῖς* $G^a H^a$LQ; cf. v. 13 *δόναξι* ilM 4 *ῥινῶν* falso de *ῥισίν* (debuit de *ῥινοῖς*) intellexit Aristoteles *τέρθρα* $G^a H^a$Lmo: ceteri et Mich. *τέθρα* *φόνον* ilM: *φανὸν* ceteri 5 *κεύθειν*] *γ' ἐνθεῖν* M 6 *ὅταν* G^aLXf *ἀπαΐξῃ* $G^a H^a$LXmo: ceteri *ἐπαΐξῃ* sim. 7 *κατΐσσεται* $G^a H^a$LQf 8 *ἀναθρώσκει* codd.: corr. Karsten *ἐκπνεῖ* codd.: correxi ut 25 cf. v. 21 9 *κλεψύδρηι* scripsi: *κλεψύδρην* plerique codd. *κλεψύδραις* pauci (cf. Simpl. d. cael. 524, 19) *παίζῃσι* il: *παίζουσι* ZM: ceteri *παίζουσα* 9 *διειπετέος* Zenodoteo more scripsi (*splendidi*): *δι' εὐπετέος* plerique: *διπετέος* ZMil 12 *οὐδετ'* plerique: *οὐδ' ὅτι* ZMil: *οὐδ' ὅ γ'* Bekker; *οὐ τότ'* Stein; *οὐ μὲν* Wilamowitz 12 et 15 *εἰσέρχεται* codd. 13 *αἰθέρος* (ut 7) Stein 14 *ἀναστεγάσῃι* et *πυκνὸν* pauci 15 *ἐκλείποντος* MZil *αἴσιμον* Michael et pauci codd. (cf. v. 21): *αὔξιμον* plerique; cf. Simpl. phys. 647, 29 *πρὶν τὸν ἐπιπωματίζοντα τὴν ὀπὴν δάκτυλον ἀφελών τις τῶι ἐξιόντι ὕδατι ἀνὰ λόγον εἰσελθεῖν ἀέρα συγχωρήσῃ* 16 *ἔχει* codd. 17 *χωσθέντος* $G^a H^a$LQf: ceteri *χρωσθέντος* 19 *ἰσθμοῖο* optimi et plerique (Hes. *εἰσθμός· εἴσοδος ὕδατος στενή*): *ἠθμοῖο* pauci. collum angustum (quod vix effluvio sonitum dat) premitur superiacente aere qui extrema obtinet, dum puella ea manu laxet 20 *μεθῆι* NV 21 *ἐκπίπτοντος* G^aMZiln *ὑπεκθέει* MZil: ceteri *ὑπεκθεῖ* *αἴσιμον* hic omnes 22 *κλαδασσομένων* pauci *δι' ἀγνιῶν* pars codd., Mich.

ὁππότε μὲν παλίνορσον ἀπαΐξειε μυχόνδε,
αἰθέρος εὐθὺς ῥεῦμα κατέρχεται οἴδματι θῦον,
εὖτε δ' ἀναθρώισκηι, πάλιν ἐκπνέει ἶσον ὀπίσσω.

23 *μιν* pauci *ἐπαίξειε* (sim.) codd.: corr. Stein 24 *αἰθέρος* MZil: *ἕτερον* ceteri: *θάτερον* Michael *οἴδματι θῦον* Homericum: *οἶδμα τιταῖνον* MZil 26 *ἀναθρώσκη* MSZ: ceteri *ἀναθρώσκοι* vel *ἀναθρώσκει* *ἐκπνεῖ* codd.

101 [300 K., 312 (313 St.]

1. 2 Plut. de curios. 11 p. 520E *καὶ καθάπερ οἱ κυνηγοὶ τοὺς σκύλακας οὐκ ἐῶσιν ἐκτρέπεσθαι καὶ διώκειν πᾶσαν ὁδμήν, ἀλλὰ τοῖς ῥυτῆρσιν ἔλκουσι καὶ ἀνακρούουσι καθαρὸν αὐτῶν φυλάττοντες καὶ ἄκρατον τὸ αἰσθητήριον ἐπὶ τὸ οἰκεῖον ἔργον, ἵν' εὐτονώτερον ἐμφύηται τοῖς ἴχνεσι 'τέρματα — ἐρευνῶν', οὕτω κτλ.* Idem quaest. nat. 23 p. 917E *πότερον αἱ κύνες, ὥς φησιν ὁ Ἐ. 'κέμματα — ἐρευνῶσαι' τὰς ἀπορροὰς ἀναλαμβάνουσιν, ἃς ἐναπολείπει τὰ θηρία τῇι ὕληι, ταύτας δὲ τοῦ ἔαρος ἐξαμαυροῦσι καὶ συγχέουσιν αἱ πλεῖσται τῶν φυτῶν καὶ τῶν ὑλημάτων ὀσμαί* κτλ. 2 Alex. q. f. problem. III 102 (p. 22, 7 Usen.) quaerens *διὰ τί αἱ κύνες οὐκ ὀσφραίνουσι τῶν ἰχνῶν, ὅταν ἀποθάνηι ὁ σύπους: ζῶντος μὲν οὖν διὰ τὸ συνεχῆ εἶναι τὴν ὀσμὴν ἀπὸ τοῦ θηρίου αἰσθάνονται, τεθνεῶτος δὲ πέπανται ῥέουσα· οὐ γὰρ καταλείπει, ὥσπερ Ἐμπεδοκλῆς, ὡς 'ἀπέλειπε — περιπολᾶ' οὐχ οἷόν τε γὰρ διασπᾶσθαι τὴν ὀσμὴν οὐδὲ τὴν χρόαν, ἀλλ' ὅταν ἀποθάνηι κἀκεῖνα* [scil. particulae] *καὶ αὐτὴ* [scil. *ὀσμὴ*] *ἔφθαρται.*

κέρματα θηρείων μελέων μυκτῆρσιν ἐρευνῶν
. . . ὅσσ' ἀπέλειπε ποδῶν ἀπαλῆι περὶ ποίαι . . .

1 *κέρματα* Buttmann: *τέρματα* Plut. 620: *κέμματα* Plut. 917; *minutae particulae* (sic Buttmann) sunt *ἀπορροαὶ τῶν μελέων.* 2 *ὅσσ'* Nauck: *ὡς* vel *ὅς* Al. *ἀπαλῆ περιπολία* Al.: poetae redde *ποίηι*; fort. *πνεύματά θ' ὅσσ' — ποίηι ἢ κεμὰς ἠὲ λαγωός* (cf. K 361), ut v. 1 cubilia, v. 2 vestigia ferarum significentur. at dubium, num continui fuerint versus

102 [301 K., 314 St.]

Theophr. de sens. 22 [D. 505] cf. A 86 p. 102, 26

ὧδε μὲν οὖν πνοιῆς τε λελόγχασι πάντα καὶ ὀσμῶν.

πνοῆς libri

103 [312 K., 195 St.]

Simpl. Phys. 331, 10 ubi de Empedoclis *τύχηι* loquitur: *καὶ πολλὰ ἄν τις εὕροι ἐκ τῶν Ἐμπεδοκλέους Φυσικῶν τοιαῦτα παραθέσθαι ὥσπερ καὶ τοῦτο·*

τῇιδε μὲν οὖν ἰότητι Τύχης πεφρόνηκεν ἅπαντα.

οὖν DE: om F

104 [314 K., 196 St.]

Simpl. Phys. 331, 13 [post fr. 103] *καὶ μετ' ὀλίγον* [*ὀλίγα* E]·

καὶ καθ' ὅσον μὲν ἀραιότατα ξυνέκυρσε πεσόντα.

105 [315—317 K., 327—329 St.]

1—3 Porphyr. de Styge ap. Stob. ecl. I 49, 53 p. 424, 14 W. *Ἐμπεδοκλῆς τε οὕτω φαίνεται ὡς ὀργάνου πρὸς σύνεσιν τοῦ αἵματος ὄντος λέγειν ‘αἵματος — νόημα’* 1 Censorin. 6, 1 [A 84 p. 99, 14] 3 Soran. etym. fr. 6 Scheele (ex Etymologiis M. 34, 11. Gud. 17, 50 Orion. 16, 7. Melet. d. nat. hom. in Cram. A. O. III 37, 9 restitutum) *αἷμα: παρὰ τὸ αἴθω τὸ καίω· θερμὸν γάρ. ἢ παρὰ τὸ ἄμμα τι εἶναι τοῦ σώματος καὶ δεσμὸν πάντων δυναστεύοντα· ὡς Ἐμπεδοκλῆς ὁ φιλόσοφός φησιν· ‘αἷμα — νόημα’* (ex Sorano etiam Tertull. de anima c. 16, ubi de sede animae disputat: *ut et ille versus Orphei vel Empedoclis ‘namque homini sanguis circumcordialis et sensus’*) Chalcid. in Tim. p. 305 M. [e Posidonii commentario cf. ad fr. 109] *Empedocles quidem principalem animae vim constituit in corde sic dicens ‘sanguine cordis enim noster viget intellectus’* significant eum versum multi ut Cic. Tusc. I 9, 19; Poll. II 226. Prob. ad Verg. G. II 483 p. 53, 15 K. Aetius IV 5, 8 [A 97] *περικάρδιον αἷμα* saepe ap. Arist. commentatores ut Simpl. Phys. 392, 24. 27 de anim. 21, 31. Philop. de an. cf. Ind. Hayduckii p. 647, phys. 329, 25

αἵματος ἐν πελάγεσσι τεθραμμένη ἀντιθορόντος,
τῇ τε νόημα μάλιστα κικλήσκεται ἀνθρώποισιν·
αἷμα γὰρ ἀνθρώποις περικάρδιόν ἐστι νόημα.

1 *τεθραμμένη* Grotius (scil. *καρδία* cf. Censor.): *τετραμμένα* FP *ἀντιθρῶντος* FP¹: *ἀντιθορῶντος* P²: corr. Scaliger 2 *κυκλήσκεται* ex Vatic. futtili libro futtile verbum Heeren; immo verte: *ubi quidem id est quod νόημα audit hominibus* (cf. Wyttenbach ad Phaedonem p. 277, Maass *Aratea* 129. 276⁵²) 3 leves errores etymologorum (velut *ἀνθρώποισι* et *ἐστι* om.) recensito Sorano evanuere

106 [318 K., 330 St.]

Arist. de anima Γ 4. 427ᵃ 21 *οἵ γε ἀρχαῖοι τὸ φρονεῖν καὶ τὸ αἰσθάνεσθαι ταὐτὸν εἶναί φασιν, ὥσπερ καὶ Ἐ. εἴρηκε ‘πρὸς — ἀνθρώποισιν’ καὶ ἐν ἄλλοις ‘ὅθεν — παρίσταται’* (fr. 106) [inde Them. ad. h. l. 161, 7. Philop. ad h. l. 485, 23. Sophon. 115, 26. expl. Simpl. ad h. l. p. 202, 28 Hayd. *ἡ γὰρ μῆτις οὐ τοῖς αἰσθητοῖς ἀλλὰ τοῖς νοητοῖς αὐτῆι παροῦσιν ἀεὶ εἰς τὴν ἑαυτῆς ἐπιδίδωσι τελειότητα.*] Idem Metaph. Γ 5. 1009ᵇ 27 *Ἐ. μεταβάλλοντας τὴν ἕξιν μεταβάλλειν φησὶ τὴν φρόνησιν ‘πρὸς — ἀνθρώποισιν’. καὶ ἐν ἑτέροις δὲ λέγει ὅτι ‘ὅσσον — παρίστατο’* [inde Alex. ad h. l. 306, 18; Asclep. 277, 9]

πρὸς παρεὸν γὰρ μῆτις ἀέξεται ἀνθρώποισιν.

1 *ἀέξεται* Ar. de anima fere omnes, metaph. SBᵇCᵇ Them. Philop. Ascl. Sophon.: *ἐναύξεται* Ar. de anim. E, metaph. E [sed m. sec. erasis litt. *έναυ*] et ceteri Alex. Metaph.

107 [324. 325 K., 336. 337 St.]

Theophr. de sensu 10 [A 86 p. 100, 19] cf. Simpl. de anima 27, 34 sqq.

ἐκ τούτων ⟨γὰρ⟩ πάντα πεπήγασιν ἁρμοσθέντα
καὶ τούτοις φρονέουσι καὶ ἡδοντ᾽ ἠδ᾽ ἀνιῶνται.

1 *γὰρ* Karsten: lac. sign. XIV litt. P: om. (in mrg. *ζήτει*) F 2 *ἥδονται καὶ* PF

108 [319. 320 K., 331. 332 St.]

ARIST. Metaph. Γ 5. 1009ᵇ 18 [cf. ad fr. 106] *καὶ ἐν ἑτέροις δὲ λέγει ὅτι ‘ὅσσον — παρίσταται’* [Alex. ad h. l. 306, 24. Asclep. 277, 15 lacunose] IDEM de anima Γ 3. 427ᵃ 24 [cf. ad fr. 106] *καὶ ἐν ἄλλοις ‘ὅθεν σφίσιν — παρίστανται’*. PHILOP. ad h. l. 486, 13 *ὁ γὰρ Ἐ. τὰς διαφορὰς τῶν ὀνειράτων λέγων φησὶν ὅτι ἐκ τῶν καθ’ ἡμέραν ἐνεργημάτων αἱ νυκτερινα γίνονται φαντασίαι· ταύτην δὲ τὴν φαντασίαν φρόνησιν καλεῖ ἐν οἷς φησιν ‘ὅθεν — παρίστανται’* cf. 487, 1; SIMPL. ad h. l. 202, 30 *καὶ τὸ φρονεῖν ἐν τοῖς ὀνείροις ἀλλοῖα παρίστανται κτλ.*; [Sophon. ad h. l. 115, 32]

ὅσσον ἀλλοῖοι μετέφυν, τόσον ἄρ σφισιν αἰεί
καὶ τὸ φρονεῖν ἀλλοῖα παρίσταται . . .

de somniis agi testantur Simpl. Philop.: *quantum mutati sunt homines interdiu varia passi, tantum noctu cogitata variant.*

1 *ὅσσον γ’* Sturz: *ὅσσον τ’* Stein; quidni *ὅσσον δ’* ? *μετέφην* Arist. AᵇST *τόσον* (*τόσσον* E) *ἄρ* Ar. Metaph.: *ὅθεν* memoriter Ar. de anim. 2 *τὸ φρονεῖν*] *φρονέειν* Karsten *παρίσταται* Ar. de an.: *παρίστατο* Ar. metaph.; cf. Parm. 16, 2

109 [321—323 K., 333—335 St.]

1—3 ARIST. de anima A 2. 404ᵇ 8 *ὅσοι δ’ ἐπὶ τὸ γινώσκειν καὶ τὸ αἰσθάνεσθαι τῶν ὄντων* [scil. *ἀπέβλεψαν*], *οὗτοι δὲ λέγουσι τὴν ψυχὴν τὰς ἀρχάς, οἱ μὲν πλείους ποιοῦντες οἱ δὲ μίαν ταύτην, ὥσπερ Ἐμπεδοκλῆς μὲν ἐκ τῶν στοιχείων πάντων, εἶναι δὲ καὶ ἕκαστον ψυχὴν τούτων λέγων οὕτω· ‘γαῖη — λυγρῷ’* [hinc Themist. 10, 20. 14, 18 Heinze. (1) Sophon. 12, 32 (1—3), 26, 16 (1) Asclep. 198, 11 (1. 2), Philop. ad h. l. 498, 27 (cf. 570, 24) v. 1] IDEM Metaph. B 4. 1000ᵇ 5 *ἡ δὲ γνῶσις τοῦ ὁμοίου τῷ ὁμοίῳ ‘γαίῃ μὲν γάρ, φησί, γαῖαν — λυγρῷ’* [init. Syr. 860ᵃ 22 (1—3). Philop. de gen. et corr. 278, 18] POSIDONIUS in comm. in Timaeum (p. 45 puto) Pythagoreos Platonis causa cum Empedocle iungens vv. 1—3 citaverat [unde derivantur Sext. adv. math. I 303 VII 92. 121. Chalcid. in Tim. p. 131 M. 120, 1 Wrob. *terram terreno comprendimus, aethera flammis, umorem liquido, nostro spirabile flatu, pacem tranquillo, litem quoque litigioso* (1. 2 etiam 254, 14 varians *sentimus et* pro *comprendimus*, deinde *umecto* pro *liquido*) 1. 2 GALEN. de plac. Hipp. et Plat. p. 625, 17. 629, 10 (cum Platonis loco)] PROCL. in Tim. 232 [C p. 561 Schn.] *γαίῃ — λυγρῷ* (non ex Posidonio ut videtur) HIPPOL. ref. VI 11 p. 165 *οὕτως ὡς φησιν Ἐ. ‘γαίῃ — λυγρῷ’* (lacunose) *πάντα γάρ, φησίν, ἐνόμιζε τὰ μέρη τοῦ πυρὸς τὰ ὁρατὰ καὶ τὰ ἀόρατα φρόνησιν ἔχειν καὶ νώματος εἶσαν* (cf. fr. 110, 10) 1. 2 STOB. ecl. 51, 7 p. 483, 1 Wachsm. (nescio unde) *‘γαῖαι — ἀΐδηλον’*

γαίῃ μὲν γὰρ γαῖαν ὀπώπαμεν, ὕδατι δ’ ὕδωρ,
αἰθέρι δ’ αἰθέρα δῖον, ἀτὰρ πυρὶ πῦρ ἀΐδηλον,
στοργὴν δὲ στοργῇ, νεῖκος δέ τε νείκεϊ λυγρῷ.

2 *ἠέρι δ’ ἠέρα* Sext. I 303 *δῖον* Sext. Ar. metaph.; d. an. [TUVW: *δῖαν* ceteri ut Stob.; Gal. *δία* ut Ar. d. an. S]: om. Hipp. 3 *στοργὴν δὲ στοργῇ* Sext. Ar. Metaph. meliores codd.: *στοργῇ δὲ στοργήν* Ar. de an. Philop.: *στοργῇ τε στοργὴν* Metaph. BCᵇST Philop. de gen. et corr.: *στοργῇ δέ τε στοργήν* Soph.: *καὶ στοργὴν* [om. *στοργῇ*] Hipp.: *καὶ στοργῇ* (add. *δὲ* AP) *στοργὴν* Procl. *δέ τε*] *δέ γε* (vel *δὲ*) Procl.: *ἐπὶ* Hipp.

110 [222—231 St.]

1—10 Hippol. ref. VII 29 p. 251 *τοιαύτη τις ἡ κατὰ τὸν Ἐμπεδοκλέα ἡμῖν ἡ τοῦ κόσμου γένεσις καὶ φθορὰ καὶ σύστασις ἐξ ἀγαθοῦ καὶ κακοῦ συνεστῶσα φιλοσοφεῖται. εἶναι δέ φησι καὶ νοητὴν τρίτην τινὰ δύναμιν ἣν καὶ ἐκ τούτων ἐπινοεῖσθαι δύνασθαι, λέγων ὧδέ πως 'εἰ γὰρ — ἄλσαν'* ... 30 p. 253 (contra Marcionem) *τοὺς Ἐμπεδοκλέους λανθάνεις διδάσκων καθαρμούς ... λύεις τοὺς ὑπὸ τοῦ θεοῦ συνηρμοσμένους γάμους τοῖς Ἐμπεδοκλέους ἀκολουθῶν δόγμασιν, ἵνα σοι φυλαχθῇ τὸ τῆς φιλίας ἔργον ἓν ἀδιαίρετον. διαιρεῖ γὰρ ὁ γάμος κατὰ Ἐμπεδοκλέα τὸ ἓν καὶ ποιεῖ πολλά, καθὼς ἀπεδείξαμεν* 10 ibid. VI 12 p. 165 (post fr. 109) *πάντα γάρ, φησίν* (Simon), *ἐνόμιζε* (Empedocles) *τὰ μέρη τοῦ πυρὸς τὰ ὁρατὰ καὶ τὰ ἀόρατα φρόνησιν ἔχειν καὶ νώματος ἄλσαν.* Sext. adv. math. VIII 286 *Ἐμπ. ἔτι παραδοξότερον πάντα ἠξίου λογικὰ τυγχάνειν καὶ οὐ ζῶια μόνον ἀλλὰ καὶ φυτὰ ῥητῶς γράφων 'πάντα — ἄλσαν'*

εἰ γάρ κέν σφ' ἀδινῆισιν ὑπὸ πραπίδεσσιν ἐρείσας
εὐμενέως καθαρῆισιν ἐποπτεύσηις μελέτηισιν,
ταῦτά τέ σοι μάλα πάντα διʼ αἰῶνος παρέσονται,
ἄλλα τε πόλλʼ ἀπὸ τῶνδʼ ἐκτήσεαι· αὐτὰ γὰρ αὔξει
ταῦτʼ εἰς ἦθος ἕκαστον, ὅπηι φύσις ἐστὶν ἑκάστωι.
εἰ δὲ σύ γʼ ἀλλοίων ἐπορέξεαι οἷα κατʼ ἄνδρας
μυρία δειλὰ πέλονται ἃ τʼ ἀμβλύνουσι μερίμνας,
ἦ σʼ ἄφαρ ἐκλείψουσι περιπλομένοιο χρόνοιο
σφῶν αὐτῶν ποθέοντα φίλην ἐπὶ γένναν ἱκέσθαι·
πάντα γὰρ ἴσθι φρόνησιν ἔχειν καὶ νώματος αἶσαν.

Physicis, non Lustralibus hoc fr. tribuendum esse, quamvis Hipp. VII 30 haec commemorare videatur [v. supra], patet cum ex singulari *ἐποπτεύσηις* cet., tum ex physica ratione v. 8 sqq.

1 *γὰρ καὶ ἐν σφαδίνηισιν* Hipp.: corr. ut pleraque Schneidewin 2 *ἐποπτεύεις* Hipp. 3 *τέ*] *δέ* Hipp.; lege *δέ τοι* ut *β* 306 *ταῦτα δέ τοι μάλα πάντα κτλ.* 4 *τῶνδεκτ(ή·η)ται* sic (exesis partim litteris *η*) codex Hipp.: correxi (nam *ἐκτήσεται* passive non suadeam); *τῶν κεκτήσεαι* Ritschl 5 *ἔθος* Hipp.: corr. Miller 6 *σὺ τάλλʼ οἰῶν ἐπιρέξεις* Hipp. 7 ∾ 2, 2 *δῆλα* Hipp.: corr. Schneidewin; *πέλονται* variandi causa, ubi *ἔμπαια* fr. 2, 2 *ἃ τʼ* scripsi: *τά τʼ* Hippol. 8 *ἦ σʼ* Bergk: *σῆς* Hipp.; intellege: *animi corporisque virtutes si vanas et vulgares aucuperis, ne tibi mox diffluent in sua quaeque elementa redire cupientes* *περιπλομένοις* Hipp.; clausula iteratur fr. 17, 29. cf. 26, 1 9 *γέναν* Hipp. 10 *νώματος αἶσαν* Hipp. 165 Sextus: *γνωματοσισον* Hipp. 251. quod Hipp. 165 et Sext. hunc versum de igne vel plantis dictum proferunt aut ad iteratos versus pertinet aut commenticium est

111 [424—428 K., 24—32 St.]

1—9 Laert. Diog. VIII 59 [A 1 p. 76, 29; inde Suidas s. v. *ἄπνους*. Tzetz. Chil. 906] 2 Hesych. *κρανέω : ἐπιτελέσω* 3—5 Clem. Strom. VI 30 p. 754 Pott. *Ἔ. τε ὁ Ἀκραγαντῖνος κωλυσανέμας ἐπεκλήθη ... διὸ καὶ αὐτὸς ἐν τοῖς ἔπεσι γράφει 'παύσεις — ἐπάξεις'*

φάρμακα δ' ὅσσα γεγᾶσι κακῶν καὶ γήραος ἄλκαρ
πεύσηι, ἐπεὶ μούνωι σοὶ ἐγὼ κρανέω τάδε πάντα.
παύσεις δ' ἀκαμάτων ἀνέμων μένος οἵ τ' ἐπὶ γαῖαν
ὀρνύμενοι πνοιαῖσι καταφθινύθουσιν ἀρούρας·
καὶ πάλιν, ἢν ἐθέλησθα, παλίντιτα πνεύματ(α) ἐπάξεις·
θήσεις δ' ἐξ ὄμβροιο κελαινοῦ καίριον αὐχμόν
ἀνθρώποις, θήσεις δὲ καὶ ἐξ αὐχμοῖο θερείου
ῥεύματα δενδρεόθρεπτα, τά τ' αἰθέρι ναιήσονται,
ἄξεις δ' ἐξ Ἅιδαο καταφθιμένου μένος ἀνδρός.

Pausaniae soli (v. 2) occultam magiae artem se traditurum promittit cf. fr. 2, 8 et 3; v. *Berl. Sitz.* 1898, 407

1 δ' om. Tzetz. initium imit. Orph. Lit. 588 3 *μένος*] om. Suid. 4 *πνοιῆισι* Merzdorf *ἀρούρας* Clem., Tzetz.: *ἄρουραν* Laert. BP Suid. 5 *ἤν κ'* Laert. Suid. Tzetz.: *εὖτ'* Clem., cui praefero homericam formulam Δ 353 al.; *κ'* ex v. l. *αἴ κ'* ortum ut in Homero *παλίντιτα* (i. e. *damna compensatura* cf. α 379) Clem. Laert. (Tzetz.): *παλίντονα* Suid. *ἐπάξεις* Laert. (Tzetz. Suid.): *θήσεις* (praeceptum ex v. 6 omisso) Clem. 6 *θήσεις* (Clem.) Laert. F: *τῆσεις* B: *στήσεις* P Suid. Tzetz. post *κελαινοῦ* add. *ῥόον* Suid. 7 *θήσεις* Laert. (BF): *στήσεις* Suid. Tzetz. (Laert. Q) *θερείου* Tzetz.: *θερείοις* Laert.: om. Suid. 8 *αἰθέρι ναιήσονται* Laert. P^1 (ex Q conclusa): *αἰθεριναίης ὄντα* B: *αἰθέρια θήσονται* Tzetz.: *ἐν θέρει ἔσονται* Suid. (ex interp. Laert. cf. FP^2); *ναιήσονται α να(ι)ομαι fluere* (ut *κλαιήσω*); cf. ad fr. 84, 10

ΚΑΘΑΡΜΟΙ.

112 [389—400 K., 552—363 St.]

1. 2. 4—11 Laert. VIII 62 (A 1) [inde 1. 2. 4—6 Anth. Pal. IX 569] 1. 2 Id. ibid. 54 [A 1 p. 75, 14] *ὅτι δ' ἦν Ἀκραγαντῖνος ἐκ Σικελίας αὐτὸς ἐναρχόμενος τῶν Καθαρμῶν φησιν 'ὦ φίλοι — πόλεως'.* 3 Diodor. XIII 83 [e Timaeo] de Agrigentinorum hospitalitate: *διόπερ καὶ Ἐ. λέγει περὶ αὐτῶν 'ξείνων — ἄπειροι'* 4. 5 Laert. VIII 66 [A 1 p. 78, 23, e Timaeo] *ἀλαζόνα καὶ φίλαυτον ἐν τῆι ποιήσει ἴδοι τις ἄν· φησὶ γοῦν 'χαίρετ' — πωλεῦμαι'*, idemque Sext. adv. math. I 302 (e Posidonii comm. in Tim. Empedoclis superbiam contra Timaeum defendentis) *'χαίρετ' — τετιμένος'* 4 Luc. laps. inter sal. 2 abeuntis esse *χαῖρε* dicens; Philostr. V. Ap. I 1 quasi Pythagoreum laudat [inde Suid. s. v. *Ἐμπεδ.*, inde Cedren. I 276 Bekk.]; Plotin. IV 7, 10 *'χαίρετ' — ἄμβροτος'*; Tzetz. exeg. in Il. p. 29, 21 Herm. 10. 12 Clem. Strom. VI 30 p. 754 P. (post fr. 111, 5) *παρακολουθεῖν τε αὐτῶι ἔλεγεν τοὺς μὲν μαντοσυνῶν κεχρημένους τοὺς δ' ἐπὶ νοῦσον σιδηρὸν* (ex *σιδηρᾶν* pr. m. corr. L) *δὴ χαλεποῖσι πεπαρμένους* (sic L)

ὦ φίλοι, οἱ μέγα ἄστυ κατὰ ξανθοῦ Ἀκράγαντος
ναίετ' ἀν' ἄκρα πόλεος, ἀγαθῶν μελεδήμονες ἔργων,
ξείνων αἰδοῖοι λιμένες κακότητος ἄπειροι,

χαίρετ᾽· ἐγὼ δ᾽ ὑμῖν θεὸς ἄμβροτος, οὐκέτι θνητός
πωλεῦμαι μετὰ πᾶσι τετιμένος, ὥσπερ ἔοικα,
ταινίαις τε περίστεπτος στέφεσίν τε θαλείοις·
τοῖσιν ἁμ᾽ ⟨εὖτ᾽⟩ ἂν ἵκωμαι ἐς ἄστεα τηλεθάοντα,
ἀνδράσιν ἠδὲ γυναιξί, σεβίζομαι· οἱ δ᾽ ἅμ᾽ ἕπονται
μυρίοι ἐξερέοντες, ὅπηι πρὸς κέρδος ἀταρπός,
οἱ μὲν μαντοσυνέων κεχρημένοι, οἱ δ᾽ ἐπὶ νούσων
παντοίων ἐπύθοντο κλύειν εὐηκέα βάξιν
δηρὸν δὴ χαλεποῖσι πεπαρμένοι ⟨ἀμφὶ μόγοισιν⟩.

2 *πόλεος* Merzdorf: *πόληος* Laert. [Anth. P: *πόλεως* Plan.] 3 *αἰθοίων* Bergk 4 *ὑμῖν* Laert. (Anth. Tzetz.) Sext. Plotin.: *ὔμμιν* Luc. Philostr. (Suid.) versus factus ex hymn. in Cerer. 120 et Hom. Ω 460; Emp. imitatur carm. aur. 71 5 *τετιμένος* Sext. Laert. [P Anth.]: *τετιμημένος* Laert. B *ἔοικα* Laert.: *ἔοικεν* Anth. 6 *περίστρεπτος* Anth. P. (ut Laert. F) *θαλείοις* Anth.: *θαλλοῖς* Laert. 7 *τοῖσιν ἅμ᾽* expl. *sertis praelatis* T. Mommsen *Praeposit.* 182; immo ad praecursores referendum qui illum taeniarum et coronarum honoribus (cf. Thuc. IV 121, 1) excipere et in urbes prosequi solebant. ergo et excipit *πᾶσι* v. 5 et explicatur dativis v. 8 *εὖτ᾽* om. Laert. BP¹: add. interpolati *τηλεθάοντα* Laert. BP¹: *τηλεθόοντα* interpol. 10 *δ᾽ ἐπὶ* Clem.: *δέ τι* Laert.: *δέ τε* Bergk, qui primus v. 12 ex Clem. inseruit et post 10 collocabat. *νούσων* Laert.: *νοῦσον* (*σι* ante *δηρὸν* ex exitu v. 12 in lacuna relictum videtur) 11 *εὐηκέα medicantem* loquelam, quod etiam vatis est cf. *δυσηκῆ*: *δυσακῆ*, *δυσλατον* Hesych.; eiusdem *εὐήκης*· *ἀκμάζουσα* huc non pertinet 12 *χαλεποῖσι* sic Clem. lacunam supplevi, *ἀμφ᾽ ὀδύνησι* (mutato *χαλεπῆισι*) Bergk cf. Orph. Lith. 490

113 [401. 402 K., 364. 365 St.]

Sext. adv. math. I 302 (post fr. 112, 5) *καὶ πάλιν*·

ἀλλὰ τί τοῖσδ᾽ ἐπίκειμ᾽ ὠσεὶ μέγα χρῆμά τι πράσσων,
εἰ θνητῶν περίειμι πολυφθερέων ἀνθρώπων;

utrum multum an nihil interciderit inter hoc et antecedens fr. nescio

1 puto *πρήσσων* 2 *πολυφθορέων* vitiose Sexti plerique codd.

114 [407—409 K., 366—368 St.]

Clem. Strom. V 9 p. 648 Pott. *καί μοι σφόδρα ἐπαινεῖν ἔπεισι τὸν Ἀκραγαντῖνον ποιητὴν ἐξυμνοῦντα τὴν πίστιν ὧδέ πως*·

ὦ φίλοι, οἷδα μὲν οὔνεχ᾽ ἁληθείη πάρα μύθοις,
οὓς ἐγὼ ἐξερέω· μάλα δ᾽ ἀργαλέη ⟨ἡ⟩ γε τέτυκται
ἀνδράσι καὶ δύσζηλος ἐπὶ φρένα πίστιος ὁρμή.

1 *οὕνεκ᾽* Bergk: *οὖν ἐκτ᾽* L; *οὖν ὅτ᾽* quod vulgatur elisionis et metri causa cadit 2 *ἐγώ γ᾽* L inserto *ἡ* tria vitia (notata *Herm.* XV 172) sustuli cf. *οἵ γ᾽* 128, 4; *ἀργαλέῃι* quartus pes Hes. Opp. 640 cf. Anacr. 43, 5

115 [1—7. 13. 14. 19—11 K., 369—382 St.]

13. 14. 4—12. 1. 2 Hippol. Ref. VII 29 p. 249 *καὶ τοῦτό ἐστιν ὃ λέγει περὶ τῆς ἑαυτοῦ γεννήσεως ὁ Ἐ. ‘τῶν — ἀλήτης’* (13), *τουτέστι θεὸν καλῶν*

το ἓν καὶ τὴν ἐκείνου ἑνότητα ἐν ᾧι ἦν πρὶν ὑπὸ τοῦ Νείκους ἀποσπασθῆναι καὶ γενέσθαι ἐν τοῖς πολλοῖς τούτοις τοῖς κατὰ τὴν τοῦ Νείκους διακόσμησιν· 'Νείκεϊ, γάρ φησι, ⟨μαινομένωι πίσυνος'⟩, μαινόμενον καὶ τεταραγμένον καὶ ἄστατον τὸν δημιουργὸν τοῦδε τοῦ κόσμου ὁ Ἐ. ἀποκαλῶν. αὕτη γάρ ἐστιν ἡ καταδίκη καὶ ἀνάγκη τῶν ψυχῶν, ὧν ἀποσπᾶι τὸ Νεῖκος ἀπὸ τοῦ ἑνὸς καὶ δημιουργεῖ καὶ ἐργάζεται λέγων τοιοῦτόν τινα τρόπον· 'ὃς καὶ ἐπίορκον — βίοιο' (4.5), *δαίμονας τὰς ψυχὰς λέγων μακραίωνας, ὅτι εἰσὶν ἀθάνατοι καὶ μακροὺς ζῶσιν αἰῶνας· 'τρὶς — ἀλάλησθαι'* (6), *μάκαρας καλῶν τοὺς συνηγμένους ὑπὸ τῆς Φιλίας ἀπὸ τῶν πολλῶν εἰς τὴν ἑνότητα τοῦ κόσμου τοῦ νοητοῦ. τούτους οὖν φησιν ἀλάλησθαι καὶ 'φυομένους — κελεύθους'* (7. 8), *ἀργαλέας — κελεύθους. ἀργαλέας κελεύθους φησὶν εἶναι τῶν ψυχῶν τὰς εἰς τὰ σώματα μεταβολὰς καὶ μετακοσμήσεις. τοῦτ' ἔστιν ὃ λέγει 'ἀργαλέας — κελεύθους* (8). *μεταλλάσσουσι γὰρ αἱ ψυχαὶ σῶμα ἐκ σώματος, ὑπὸ τοῦ Νείκους μεταβαλλόμεναι καὶ κολαζόμεναι, καὶ οὐκ ἐώμεναι μένειν εἰς τὸ ἕν. ἀλλὰ κολάζεσθαι ἐν πάσαις κολάσεσιν ὑπὸ τοῦ Νείκους τὰς ψυχὰς μεταβαλλομένας σῶμα ἐκ σώματος· αἰθέριόν γε, φησί, μένος — πάντες* (9—12). *αὕτη ἐστὶν ἡ κόλασις ἣν κολάζει ὁ δημιουργός καθάπερ χαλκεύς τις μετακοσμῶν σίδηρον καὶ ἐκ πυρὸς εἰς ὕδωρ μεταβάπτων· πῦρ γάρ ἐστιν ὁ αἰθήρ ὅθεν εἰς πόντον μεταβάλλει τὰς ψυχὰς ὁ δημιουργός, χθὼν δὲ ἡ γῆ, ὅθεν φησὶν 'ἐξ ὕδατος εἰς γῆν, ἐκ γῆς δὲ εἰς τὸν ἀέρα, τουτέστιν ὃ λέγει 'γαῖα δ' ἐς αὐγὰς ἠελίου — πάντες'* (10—12). *μισουμένας οὖν τὰς ψυχὰς .. συνάγει ἡ Φιλία ἀγαθή τις οὖσα καὶ κατοικτείρουσα τὸν στεναγμὸν αὐτῶν καὶ τὴν ἄτακτον καὶ πονηρὰν τοῦ Νείκους τοῦ μαινομένου κατασκευήν ... διὰ τὴν τοιαύτην οὖν τοῦ ὀλεθρίου Νείκους διακόσμησιν τοῦδε τοῦ μεμερισμένου κόσμου πάντων ἐμψύχων ὁ Ἐμπεδοκλῆς τοὺς ἑαυτοῦ μαθητὰς ἀπέχεσθαι παρακαλεῖ· εἶναι γάρ φησι τὰ σώματα τῶν ζώιων τὰ ἐσθιόμενα ψυχῶν κεκολασμένων οἰκητήρια. καὶ ἐγκρατεῖς εἶναι τοὺς τῶν τοιούτων λόγων ἀκροωμένους τῆς πρὸς γυναῖκα ὁμιλίας διδάσκει, ἵνα μὴ συνεργάζωνται καὶ συνεπιλαμβάνωνται τῶν ἔργων, ὧν δημιουργεῖ τὸ Νεῖκος τὸ τῆς Φιλίας ἔργον λῦον ἀεὶ καὶ διασπῶν· τοῦτον εἶναί φησιν ὁ Ἐμπεδοκλῆς νόμον μέγιστον τῆς τοῦ παντὸς διοικήσεως λέγων ὧδέ πως· 'ἔστιν — ὅρκοις'* (1. 2), *ἀνάγκην καλῶν τὴν ἐξ ἑνὸς εἰς πολλὰ κατὰ τὸ Νεῖκος καὶ ἐκ πολλῶν εἰς ἓν κατὰ τὴν Φιλίαν μεταβολήν. θεοὺς δέ, ὡς ἔφην, τέσσαρας μὲν θνητούς, πῦρ ὕδωρ γῆν ἀέρα, δύο δὲ ἀθανάτους, ἀγεννήτους, πολεμίους ἑαυτοῖς διὰ παντός, τὸ Νεῖκος καὶ τὴν Φιλίαν.* imitatio Platonis A 99 p. 104, 34 1. 3. 5. 6. 13 Plut. de exil. 17 p. 607 C *ὁ δ' Ἐ. ἐν ἀρχῆι τῆς φιλοσοφίας προαναφωνήσας 'ἔστιν — ἀλήτης' οὐχ ⟨ὅπως⟩ ἑαυτόν, ἀλλ' ἀφ' ἑαυτοῦ πάντας ἀποδείκνυσι μετανάστας ἐνταῦθα καὶ ξένους καὶ φυγάδας ἡμᾶς ὄντας ... φεύγει* [sc. ἡ ψυχή] *καὶ πλανᾶται θείοις ἐλαυνομένη δόγμασι καὶ νόμοις.* 1. 2 Simpl. phys. 1184, 5 *τί δὲ διαφέρει τοῦ ὅτι πέφυκεν οὕτως τὸ ἐξ ἀνάγκης λέγειν, αἰτίαν μὴ προστιθέντα; ταῦτα δὲ Ἐ. ἔοικε λέγειν ἐν τῶι 'ἐν δὲ μέρει — χρόνοιο* (fr. 26, 1) *καὶ ὅτ' ἀνάγκην τῶν γινομένων αἰτιᾶται 'ἔστιν — ὅρκοις'· διὰ γὰρ τὴν Ἀνάγκην καὶ τοὺς ὅρκους τούτους ἑκάτερον παρὰ μέρος ἐπικρατεῖν φησι.* Porphyr. *περὶ τοῦ ἐφ' ἡμῖν* Stob. ecl. II 42 (169, 3 Wachsm.) *ἀρέσκει καὶ τὸ τοιαύτην εἶναι τὴν εἱμαρμένην, ἐοικυῖαν ταῖς τῶν νόμων διαγορεύσεσι νόμον οὖσαν καὶ αὐτὴν καὶ 'θεῶν — ὅρκοις', φησὶν Ἐ.* 1 signif. Plut. de soll. an. 7 p. 964 E *Ἐ. καὶ Ἡράκλειτος ... ὀδυρόμενοι* (Emp.) *καὶ λοιδοροῦντες* (Her.) *τὴν φύσιν ὡς ἀνάγκην* (Emp.) *καὶ πόλεμον* (Her.) *οὖσαν* 3 sqq. significat Plut. de def. orac. 16

p. 418 E *τὸ δὲ τοῖς δαίμοσι τούτοις μονονουχὶ δράσθην λαμβάνοντας ἐκ τῶν ἐπῶν τῶν Ἐμπεδοκλέους ἁμαρτίας καὶ ἄτας καὶ πλάνας θηλάτους ἐπιφέρειν κτλ.* cf. de esu anim. I 7, 4 p. 996 B 3 HESYCH. *εὖτε τις: ὁπότε τις.* 5 PLUT. de def. orac. 20 p. 420 D *ὃ μέντοι μόνον ἀκήκοα τῶν Ἐπικουρείων λεγόντων πρὸς τοὺς εἰσαγομένους ὑπ' Ἐμπεδοκλέους δαίμονας, ὡς οὐ δυνατὸν εἶναι φαύλους καὶ ἁμαρτητικοὺς ὄντας μακαρίους καὶ μακραίωνας εἶναι ... εὔηθές ἐστι* cf. CHALCID. in Tim. c. 136 p. 198, 5 Wr. HESYCH. *λελάχασι: τετεύχασι* [h. e. *τετυχήκασι* Graeculorum more] 6. 7 CELSUS apud Origen. c. Cels. VIII 53 *ἐπειδὴ δὲ σώματι συνδεθέντες ἄνθρωποι γεγόνασιν εἴτ' οἰκονομίας τῶν ὅλων ἕνεκεν εἴτε ποινὰς ἁμαρτίας ἀποτίνοντες εἰθ' ὑπὸ παθημάτων τινῶν τῆς ψυχῆς βαρυνθείσης, μέχρις ἂν ταῖς τεταγμέναις περιόδοις ἐκκαθαρθῇ· δεῖ γὰρ κατὰ τὸν Ἐμπεδοκλέα 'τρὶς — ἀλάλησθαι' γινομένην παντοίαν διὰ χρόνου ἰδέαν θνητῶν.* 9—12 PLUT. de Is. 26 p. 361 C *Ἐ. δὲ καὶ δίκας φησὶ διδόναι τοὺς δαίμονας ὧν ἂν ἐξαμάρτωσι καὶ πλημμελήσωσιν 'αἰθέριον — πάντες', ἄχρις οὗ κολασθέντες οὕτω καὶ καθαρθέντες αὖθις τὴν κατὰ φύσιν χώραν καὶ τάξιν ἀπολάβωσι.* [hinc Euseb. P. E. V 5, 2]. 9—11 IDEM de vit. aere al. 7 p. 830 F *πλάζονται καθάπερ οἱ θηλάτοι καὶ οὐρανοπετεῖς ἐκεῖνοι τοῦ Ἐμπεδοκλέους δαίμονες 'αἰθέριον — δίναις'* 13. 14 PLOTIN. Enn. IV 8, 1 [quem exc. Aeneas Gaz. Theophr. p. 5 et 7 ed. Paris 1836] *Ἐ. τε εἰπὼν ἁμαρτανούσαις νόμον εἶναι ταῖς ψυχαῖς πεσεῖν ἐνταῦθα καὶ αὐτὸς 'φυγὰς θεόθεν' γενόμενος ἥκειν πίσυνος μαινομένωι Νείκει τοσοῦτον παρεγύμνου ὅσον καὶ Πυθαγόρας οἶμαι καὶ οἱ ἀπ' ἐκείνου ἠνίττοντο περί τε τούτου περί τε πολλῶν ἄλλων.* cf. IV 18, 5 PHILOP. de anima 73, 31 *'ὡς — πίσυνος'* itemque de gen. et corr. 266, 4. phys. 24, 18 *ὅθεν καὶ τὸ πολυθρύλητον περὶ ψυχῆς ἔφη 'ὡς — πίσυνος' τουτέστι πεπεισμένος τῇ ἑτεροποιῶι τῆς ψυχῆς δυνάμει.* ASCLEP. in Metaph. 197, 17 *πάντα ταῦτα συμβολικῶς ἔλεγεν ὁ Ἐμπεδ. οὔτε γὰρ τὸν σφαῖρον ὑπετίθετο φθείρεσθαι, ὥς φησιν, οὔτε δὲ τὸν αἰσθητὸν κόσμον, ἀλλὰ διὰ τούτων ἐδήλου τὴν ἄνοδον καὶ τὴν κάθοδον τῆς ψυχῆς. διὸ ἔλεγεν 'ὡς — πίσυνος'* HIEROCL. in carm. aur. 54 *κάτεισι γὰρ καὶ ἀποπίπτει τῆς εὐδαίμονος χώρας ὁ ἄνθρωπος, ὡς Ἐ. φησιν ὁ Πυθαγόρειος 'φυγὰς — πίσυνος'* cf. PROCL. in Parm. 723, 30 (Paris. 1864); HERMIAS in Plat. Phaedrum p. 148 Ast; SYNES. de provid. 1 et hymn. 3, 717 (cf. Nauck Mél. gr. r. IV 196)

ἔστιν Ἀνάγκης χρῆμα, θεῶν ψήφισμα παλαιόν,
ἀίδιον, πλατέεσσι κατεσφρηγισμένον ὅρκοις·
εὖτέ τις ἀμπλακίηισι φόνωι φίλα γυῖα μιήνηι
** * ὃς κ(ε) ἐπίορκον ἁμαρτήσας ἑπομόσσηι,*
δαίμονες οἵτε μακραίωνος λελάχασι βίοιο,

1 *ἔστιν*] *ἔστι τι* Plut. Hipp. *ἀνάγκη* Hipp. Simpl. *χρῆμα* Plut. Hipp. Simpl. i. e. *effatum, vaticinium, τὸ κεχρημένον*; *ῥῆμα* Bernays, *κρῖμα* Weil. cf. Plato Phaedr. 248 C; mire conflatum Gorg. Hel. 6 *θεῶν βουλεύμασιν καὶ ἀνάγκης ψηφίσμασιν* *ψήφισμα* Plut. Hipp. Porph.: *σφρήγισμα* Simpl. (ex v. 2) 2 *πλατέεσι κατεσφραγισμένον* Hipp. Porph. cf. fr. 30, 3 3 *μιήνηι*] *ʻμιν codd. mei'* Bernard. 4 supplevi *Νείκεϊ θ'* *Mél. Weil* 125 *ὃς καὶ* Hipp. *ἁμαρτήσας* i. e. *ὁμαρτήσας* *ἑπομόσσηι* Hesiodi exemplar Theog. 793: *ἑπομώσει* Hipp. 5 *δαίμονες οἵ τε* Plut. et paraphr. Hipp.: *δαιμόνιοί τε* Hipp. codex *μακραίωνες* Plut. *λέλαχασι* Hipp. cf. Hesych.: *λελόγχασι* Plut.; *λελάχωσι* Meineke, at verte: *inter eos qui ut daemones longaevitatem sortiti sunt* *βίοις* Hipp.

τρὶς μὶν μυρίας ὥρας ἀπὸ μάκαρων ἀλάλησθαι,
φυομένους παντοῖα διὰ χρόνου εἴδεα θνητῶν
ἀργαλέας βιότοιο μεταλλάσσοντα κελεύθους.
αἰθέριον μὲν γάρ σφε μένος πόντονδε διώκει,
πόντος δ' ἐς χθονὸς οὔδας ἀπέπτυσε, γαῖα δ' ἐς αὐγὰς
ἠελίου φαέθοντος, ὁ δ' αἰθέρος ἔμβαλε δίναις·
ἄλλος δ' ἐξ ἄλλου δέχεται, στυγέουσι δὲ πάντες.
τῶν καὶ ἐγὼ νῦν εἰμι, φυγὰς θεόθεν καὶ ἀλήτης,
Νείκεῖ μαινομένωι πίσυνος.

6 *τρὶς — μυρίας ὥρας* cf. Herodot. II 123. Plato Phaedr. p. 248 (Dieterich *Nekyia* 119) *μὶν* Plut. (i. e. *αὐτούς* cf. *Mél. Weil* 127): *μὲν* Celsus Hipp. 7 *γινομένην* (accommodans) Cels. *παντοίαν* Cels. *χρόνον* Cels. Hipp.: corr. Bergk *ἴδεα* Hipp.: *ἰδέαν* Cels. 9 *μὲν γὰρ* Plut. 361: *γε* Hipp.: *γὰρ* Plut. 830. locus ex sacris formulis petitus cf. Aesch. Prom. 580 sqq., Soph. Oed. R. 1418; Eur. Herc. 1295 Verg. Aen. VI 724 10 *δεε////χθονὸς* Hipp. (idemque *πόντονδέ-ἐχθονος* pro *πόντονδε* (9)): *δὲ χθονὸς* Plut. 830 et (ex Plut. 361) Eus. *ἀνέπτυσε* Plut. 830 *γέα δ' εἰς* Hipp. *αὐγάς*] *αὖθις* Plut. 361 11 *φαέθοντος* Hipp.: *ἀκάμαντος* Plut. 12 *ἄλλος — δέχεται* ex Hesiod. theog. 800 13 *τῶν* Hipp.: *τὴν* Plut. 607: *ὡς* (nisi citantis est) Philop. *νῦν* Plut.: *δεῦρ'* Philop. Asclep.: om. Hipp. 14 *αἰθομένωι* Asclep.

116 [69 K., 232 St.]

Plut. Quaest. conv. IX 5 p. 745 C *ὁ δὲ Πλάτων ἄτοπος, ταῖς μὲν ἀιδίοις καὶ θείοις περιφοραῖς ἀντὶ τῶν Μουσῶν τὰς Σειρῆνας ἐνιδρύων οὐ πάνυ φιλανθρώπους οὐδὲ χρηστοὺς δαίμονας, τὰς δὲ Μούσας ἢ παραλείπων παντάπασιν ἢ τοῖς τῶν Μοιρῶν ὀνόμασι προσαγορεύων καὶ καλῶν θυγατέρας Ἀνάγκης. ἄμουσον γὰρ Ἀνάγκη, μουσικὸν δὲ ἡ Πειθώ, καὶ Μοῦσα ἡ φιλόδημος οὖσα* [*μούσαις φιλοδαμοῦσα* codex: correxi] *πολὺ μᾶλλον τῆς Ἐμπεδοκλέους Χάριτος*

στυγέει δύστλητον Ἀνάγκην.

φιλόδημος οὖσα vix ad Empedoclea pertinent

117 [380. 381 K., 383. 384 St.]

1. 2 Clem. Strom. VI 24 p. 750 P. *ἤδη — ἰχθύς*; Athen. VIII 365 E. Laert. VIII 77 *καὶ τὴν ψυχὴν παντοῖα εἴδη ζώιων καὶ φυτῶν ἐνδύεσθαι. φησὶ γοῦν 'ἤδη — ἰχθύς'* [hinc Anth. IX 569 Pal. et Plan.]; Hippol. Ref. I 3, 2 [supra p. 89, 5] *'ἤτοι — ἰχθύς'* [inde et ex Suida Cedren. Chronic. I p. 276 Bekk. *ἤτοι μὲν πρῶτα κοῦρος ἐγενόμην κόρη τε καὶ θὴρ καὶ θάμνος καὶ ἐξ ἁλὸς ἔμπνοος ἰχθὺς καὶ ἐν Ὀλυμπίαι βοῦς*] Themist. de anima p. 35, 13 Heinze (sine lemmate) *'ἤδη — οἰωνός τε'* [hinc Aen. Gaz. Theophr. p. 5 post Plotini IV 8, 1 exc.]; Chalcid. in Tim. 197 p. 239, 15 Wr. (ex Posidonii in Tim. comm.) *'namque ego iam dudum vixi puer et solida arbos, Ales et ex undis animal, tam lactea virgo*; cf. Basilius in hexaem. VIII p. 85 B Paris. Cyrill. in Jul. VII p. 872 C [ex Porphyrii hist. phil.?]. Philopon. de anima 140, 7 [inde Sophon. 24, 38] Olympiod. in Phaedonem p. 46, 22 Finckh. Eustath. ad Od. *σ* 9 [II 169, 9 Lips.] 1 Philostr. V. Apoll. I 1 [inde Suid. s. v. *Ἐμπεδ.* et *Πυθαγ.*,

Cedren.] 2 PROCL. in r. p. II 333, 6 Kroll. *καὶ ἔοικεν τῆς εἰς φυτὰ μόνα πτώσεως αὐτὰς ἐξαιρεῖν καὶ ταύτῃ τοῦ Ἐμπεδοκλέους διαφέρειν, ὅς φησιν καὶ θάμνος γενέσθαι ποτὲ καθάπερ οἰωνὸς καὶ ἐξ ἁλὸς ἔμπορος ἰχθύς.* TERTULL. de anima 32 E *qui se deum delirarat ... thamnus et piscis fui inquit.* HERM. irris. 4 [DOX. 652, 12] *ἔτι δὲ ὁ Ἐ. καὶ θάμνον με ποιεῖ* imitantur ORPHICA Procl. in R. P. II 339, 4 Kr.

ἤδη γάρ ποτ' ἐγὼ γενόμην κοῦρός τε κόρη τε
θάμνος τ' οἰωνός τε καὶ ἔξαλος ἔλλοπος ἰχθύς.

1 *ἤτοι μὲν γὰρ ἐγὼ* Hipp. *κοῦρός τε κόρη τε* Clem. Laert. Hipp. Olymp.: *κοῦρός τε κούρη τε* Philop.: *κούρη (κόρη) τε κόρος τε* Athen. Philostr. Themist. Cyrill. Eust.; cf. Cedr. l. supra cit. 2 *θάμνος* omnis antiquitas: *ἀμνὸς* Schneidewin; sed pecudis in proximis fortasse uberior fuit mentio, ut quam potissimum spectaret *ἔξαλος* (vel *ἐξ ἁλός*) Athen. Laert. Chalc. Hipp. Procl. Philop. cf. *ἔξαλος* var. l. *λ* 134 (v. Herodian. ad h. l.); intellegit e *mari exiliens*, quod imitatur Opp. Hal. 2, 593: *εἰν ἁλί* Clem. Cyrill. Olymp. *ἔλλοπος* Clem. (cf. fr. 3): *ἔμπορος* Athen. Hipp. Them. Procl. Philop. Eust. Olymp. (codd. BC varia l.): *ἔμπυρος* Laert.: *φαίδιμος* Cyrill.: *ἔμπνοος* Eus. Cedr.: *νήχυτος* Olymp., *ἄμφορος* idem codd. BC var. l.

118 [13 K., 385 St.]

CLEM. Strom. III 14 p. 516 P. *ὁῆλος δὲ αὐτῶι* (Heraclito) *συμφερόμενος καὶ Ἐμπεδοκλῆς λέγων 'κλαῦσά τε — χῶρον'* cf. SEXT. adv. math. XI 96 *ἀλλ' εἰώθασί τινες τῶν ἀπὸ τῆς Ἐπικούρου αἱρέσεως* [? Hermarchus] ... *λέγειν ὅτι φυσικῶς καὶ ἀδιδάκτως τὸ ζῶιον φεύγει μὲν τὴν ἀλγηδόνα, διώκει δὲ τὴν ἡδονήν· γεννηθὲν γοῦν καὶ μηδέπω τοῖς κατὰ δόξαν δουλεῦον ἅμα τῶι ῥαπισθῆναι ἀσυνήθει ἀέρος ψύξει ἔκλαυσέ τε καὶ ἐκώκυσεν.* v. LUCR. V 226 (cf. Rusch de Posidonio Lucreti auct. Gryph. 1882 p. 1)

κλαῦσά τε καὶ κώκυσα ἰδὼν ἀσυνήθεα χῶρον.

119 [11. 12 K., 390. 391 St.]

CLEM. Strom. IV 12 p. 569 Pott. *παιδεύων δὲ οἶμαι καὶ ἐλέγχων 'ἐξ οἵης — ὄλβου', ὥς φησιν Ἐ. ὧδε λοιπὸν μετὰ θνητῶν ἀναστρέφεται* PLUT. de exil. 17 p. 607 D (post fr. 115, 1 sqq.) *εἶθ' ὥσπερ ἐν νήσοι σάλον ἐχούσηι πολύν, καθάπερ φησὶν ὁ Πλάτων 'ὀστρέου τρόπον' ἐνδεδεμένη τῶι σώματι διὰ τὸ μὴ ἀναφέρειν μηδὲ μνημονεύειν 'ἐξ οἵης — ὄλβου' μεθέστηκεν ... οὐρανοῦ καὶ σελήνης γῆν ἀμειψαμένη* [scil. *ἡ ψυχή*] *καὶ τὸν ἐπὶ γῆς βίον, ἐὰν μικρὸν ἐνταῦθα τόπον ἐκ τόπου παραλλάξηι, ὀυσανασχετεῖ καὶ ξενοπαθεῖ* [inde Stob. flor. 40, 5 p. 737, 11 Hense] HIPPOL. Ref. V 7 p. 103 *καὶ ὅτι οὗτος, τουτέστιν ὁ τοιοῦτος Ἑρμῆς ψυχαγωγός ... τῶν ἐξυπνισμένων καὶ ἀνεμνησμένων 'ἐξ οἵης — ὄλβου' ... κατενεχθεισῶν ὧδε εἰς πλάσμα τὸ πήλινον.* cf. A 31 p. 88, 40

ἐξ οἵης τιμῆς τε καὶ ὄσσου μήκεος ὄλβου ...

τε om. Hipp. *ὅσσου* Gesner: *ὅσου* Plut. Stob.: *οἷου* Clem.: om. Hipp. cetera ex pedestri paraphrasi Clementis sic instaurat Karsten: *ὠδε πεσὼν* (cf. Plotin IV 8, 1) *κατὰ γαῖαν ἀναστρέφομαι κατὰ θνητῶν* [*μετὰ θνητοῖς* Stein]

120 [31 K., 392 St.]

PORPHYR. de antro nymph. 8 p. 61, 19 Nauck. *παρά τε γὰρ Ἐμπεδοκλεῖ αἱ ψυχοπομποὶ δυνάμεις* (sic recte) *λέγουσιν*

ἠλύθομεν τόδ' ὑπ' ἄντρον ὑπόστεγον . . .

παρά τε Πλάτωνι ἐν τῶι ἑβδόμωι τῆς Πολιτείας [p. 514 A] *λέγεται 'ἰδὲ γὰρ ἀνθρώπους οἷον ἐν καταγείωι [ἄντρωι καὶ] οἰκήματι σπηλαιώδει' κτλ. . . . . ὅτι μὲν οὖν σύμβολον κόσμου τὰ ἄντρα καὶ τῶν ἐγκοσμίων δυνάμεων ἐτίθεντο οἱ θεολόγοι, διὰ τούτου δεδήλωται.* PLOTIN. Enn. IV 8, 1 Plato *ἐν φρουρᾶι τὴν ψυχὴν φησιν εἶναι καὶ τὸ σπήλαιον αὐτῶι ὥσπερ Ἐμπεδοκλεῖ τὸ ἄντρον τόδε τὸ πᾶν δοκεῖ μοι λέγειν, ὅπου γε λύσιν τῶν δεσμῶν καὶ ἄνοδον ἐκ τοῦ σπηλαίου τῆι ψυχῆι φησιν εἶναι τὴν πρὸς τὸ νοητὸν πορείαν* [hinc Aen. Gaz. Theophr. p. 6 Boiss.]

121 [13. 21. 22 K., 385—388 St.]

1. 2. 4 HIEROCL. ad c. aur. 24 ad v. 54 sqq. *ἄνεισι δὲ καὶ τὴν ἀρχαίαν ἕξιν ἀπολαμβάνει, εἰ φύγοι τὰ περὶ γῆν καὶ τὸν ἀτερπέα χῶρον ὡς ὁ αὐτὸς λέγει, ἔνθα — Κηρῶν, εἰς ὃν οἱ ἐμπεσόντες 'Ἄτης — ἠλάσκουσι'· ἡ δὲ ἔφεσις τοῦ φεύγοντος τὸν τῆς Ἄτης λειμῶνα πρὸς τὸν τῆς Ἀληθείας ἐπείγεται λειμῶνα, ὃν ἀπολιπὼν τῆι ὁρμῆι τῆς πτεροῤῥυήσεως εἰς γήινον ἔρχεται σῶμα ὀλβίου αἰῶνος ἀμερθείς.* 2. 4 PROCL. in R. P. II 157, 24 Kroll. *τοῦτον Ἐ. ἰδὼν τὸν λειμῶνα παντοίων αὐτὸν εἶναι κακῶν πλήρη καὶ εἶπεν καὶ εἰπὼν ἀνώιμωξεν 'ἔνθα — ἠλάσκοντα'.* cf. SYNES. de prov. 1 [A 99 p. 105, 18]

2. 3 PROCLUS in Crat. p. 103 Boiss. (sine lemmate) *ἡ μὲν ἰατρικὴ τοῦ θεοῦ μᾶλλον ἐν τοῖς ὑπὸ σελήνην 'ἔνθα — ῥευστά'* 2 PHILO de prov. [ap. Eus. P. E. VIII 14 p. 390 C] *τὸν ἐν τοῖς τοιούτοις χωρίοις ἐνοικοῦντα, 'ἔνθα — Κηρῶν' ἐναλλάττεσθαι τὰς ἀπὸ τῶν τοιούτων τιμὰς ἀναγκαῖον.* THEO Smyrn. p. 149, 4 Hiller [ex Adrasti comm.?] *τῶν δ' ὑπὸ σελήνην καὶ περὶ ἡμᾶς καὶ μέχρις ἡμῶν πᾶσα μεταβολὴ καὶ κίνησις καὶ καθάπερ φησίν, 'ἔνθα — Κηρῶν'. καὶ γὰρ γένεσις καὶ φθορὰ περὶ πάντα τἀνταῦθα καὶ αὔξησις καὶ μείωσις ἀλλοίωσίς τε παντοία καὶ ἡ κατὰ τόπον ποικίλη φορά.* Indidem CHALC. in Tim. 79 p. 143, 17 Wr. *at vero sub luna usque ad omne genus motuum, omne etiam mutationum, prorsus ut est in vetere versu 'nex ubivis (?) rabies furiarum examina mille* (cf. *Rh. Mus.* 49, 478) DEMETR. Cydon. Boiss. Anecd. Nov. p. 299. imitatur VERG. Aen. VI 274 sqq. 4 PROCL. in Tim. p. 339 [B p. 824 Schn.] *οὕτω δὲ καὶ ἐν Πολιτείαι* [X 621 A] *τὸν τῆς Λήθης ποταμὸν ἀπεκάλεσε πᾶσαν τὴν γενεσιουργὸν φύσιν, ἐν ᾗι καὶ ἡ Λήθη καὶ ὁ τῆς Ἄτης λειμών, ὥς φησιν Ἐ.* IUL. or. 7 p. 226 B *ἐπιβλέπει τοὺς ἄλλους 'Ἄτης — ἠλάσκοντας'.* THEMIST. or. XIII 178 *μηδὲ Ἐμπεδοκλεῖ συγχωροῦντες ἀληθῆ λέγειν δυσφημοῦντι τὸν ἐπίγειον τόπον καὶ Ἄτης λειμῶνα ἐπονομάζοντα* (cf. XX p. 240) SYNES. epist. 157 p. 730 C Hercher *τοὺς ἀνθρώπους ἡμᾶς 'Ἄτης — ἠλάσκοντας' καὶ ταῖς χθονίαις ἐγκαλινδουμένους φροντίσιν κτλ.*

. . . . . ἀτερπέα χῶρον,
ἔνθα Φόνος τε Κότος τε καὶ ἄλλων ἔθνεα Κηρῶν

1 cf. Hom. λ 94 *ἦλυθες ὄφρα ἴδηι νέκυας καὶ ἀτερπέα χῶρον*; cf. Dem. 25, 52 *μεθ' ὧν δ' οἱ ζωγράφοι τοὺς ἀσεβεῖς ἐν Ἅιδου γράφουσιν, μετὰ τούτων, μετ' Ἀρᾶς καὶ Βλασφημίας καὶ Φθόνου καὶ Στάσεως καὶ Νείκους.* orcus Empedocli est terra 2 *φόνος τε κότος τε* Hier. Chalc.: *φθόνος τε κότος τε* Sy-

αὐχμηραί τε νόσοι καὶ σήψιες ἔργα τε ῥευστά
Ἄτης ἀν λειμῶνα κατὰ σκότος ἠλάσκουσιν.

nes. provid.: φόνοι τελοῦνται Philo: κότος τε φόνος τε Theo: μόγους τε κόπους τε Demetr.: τόκος τε φόνος τε Theone abusus Knatz 3 ἔργα τε ῥευστά nec sunt humanae *res fluxae* (Karsten) nec vero *foedum morbi genus* (Stein), sed *agri inundationibus vexati* cf. Hipparch. ap. Stob. flor. 108, 81 (p. 46, 20 sqq. 47, 1, 48, 16 Mein.) 4 ἀν λειμῶνα Bentley: ἀνὰ λειμῶνα Hier.: ἐν λειμῶνι Procl. Iul. Synes.; de λειμῶνι cf. Norden Herm. 28, 398 σκότον Iul. Syn. ἠλάσκουσιν Hier. Synes. provid. (cf. Hom. B 470 μυιάων ἔθνεα πολλά, αἵ τε κατὰ σταθμὸν ποιμνήιον ἠλάσκουσιν): ἴλάσκονται Procl.: ἡλάσκονται Iul. (V): ἠλάσκοντας Syn. epist.

122 [24—27 K., 393—396 St.]

1—4 Plut. de tranq. an. 15 p. 474 B ἀλλὰ μᾶλλον, ὡς Ἐ., δίτταί τινες ἕκαστον ἡμῶν γιγνόμενον παραλαμβάνουσι καὶ κατάρχονται μοῖραι καὶ δαίμονες [cf. fr. 120, 123] ‘ἔνθ’ — Ἀσάφεια’, ὥστε τούτων ἑκάστου σπέρματα τῶν παθῶν ἀνακεκραμένα δεδεγμένης ἡμῶν τῆς γενέσεως καὶ διὰ τοῦτο πολλὴν ἀνωμαλίαν ἐχούσης, εὔχεται μὲν ὁ νοῦν ἔχων τὰ βελτίονα, προσδοκᾶι δὲ καὶ θάτερα, χρῆται δ’ ἀμφοτέροις τὸ ἄγαν ἀφαιρῶν. 2 Idem de Is. et Os. 48 p. 370 D Ἐ. δὲ τὴν μὲν ἀγαθουργὸν ἀρχὴν Φιλότητα καὶ Φιλίαν (fr. 18) πολλάκις, ⟨ἔτι add. Wil.⟩ δ’ Ἁρμονίαν καλεῖ θεμερῶπιν [καλεῖσθαι μέροπι codd.: corr. Bentley], τὴν δὲ χείρονα Νεῖκος οὐλόμενον (fr. 17, 19) καὶ Δῆριν αἱματόεσσαν. Hesych. θεμερῶπις: ἐρασμία ἁγχόνη [l. ἁρμονίη; αἰσχύνη corr. Wil. Aeschyli Prom. 134 spectari ratus] Tzetz. Chil. XII 573 λέγει γὰρ [sc. Emp.] τὴν ἀσάφειαν μελάγκαρπον. Idem prol. in Aristoph. 136 [Kaibelii Com. I 1, 28] εἰ μὴ μετὰ τὴν κατ’ Ἐμπεδοκλέα μελάγκουρον, κατὰ δὲ Τζέτζην κοντοῦλαν (?) καὶ κερκεσύραν περιεργεστάτην Ἀσάφειαν [3 Hesych. s. v. Καλλιστὼ iniuria testis accitur]

ἐνθ’ ἦσαν Χθονίη τε καὶ Ἡλιόπη ταναῶπις,
Δῆρίς θ’ αἱματόεσσα καὶ Ἁρμονίη θεμερῶπις,
Καλλιστώ τ’ Αἰσχρή τε, Θόωσά τε Δηναίη τε,
Νημερτὴς τ’ ἐρόεσσα μελάγκουρός τ’ Ἀσάφεια.

1 ἔνθα] in antro fr. 120, ubi ψυχοπομποὶ δυνάμεις versantur sec. Porphyr. 3 δεινάλη Plut.: corr. Bentley 4 Νημερτής ex Hom. Σ 46 μελάγκουρος Tzetz. (Prol., μελάγκυρος Chil.): μελάγκαρπος Plut.; illud pertinet ad κουράν, sordium luctusque signum; cf. εὔκουρος

123 [28—30 K., 397—400 St.]

1—3 Cornutus epidrom. 17 de Titanibus: οὗτοι δ’ ἂν εἶεν διαφοραὶ τῶν ὄντων· ὡς γὰρ Ἐ. φυσικῶς [ὁ φυσικὸς Stein, Φυσικοῖς Osann uterque falso] ἐξαριθμεῖται ‘Φυσῶ — Μεγιστῶ’ καὶ Φορύην καὶ Σοφήν τε καὶ Ὁμφαλὴν καὶ πολλὰς ἄλλας, τὴν εἰρημένην ποικιλίαν τῶν ὄντων αἰνιττόμενος, οὕτως ὑπὸ τῶν παλαιῶν Ἰαπετὸς μὲν ὠνομάσθη ὁ λόγος καθ’ ὃν φωνητικὰ ⟨τὰ⟩ ζῶια ἐγένετο καὶ τὸ ὅλον ψόφος ἀπετελέσθη, ἰαφετός τις ὤν (ἰὰ γάρ ἐστιν ἡ φωνή), Κοῖος δὲ κτλ.

Φυσώ τε Φθιμένη τε, καὶ Εὐναίη καὶ Ἔγερσις,
Κινώ τ' Ἀστεμφής τε, πολυστέφανός τε Μεγιστώ
καὶ Φορύη, Σωπή τε καὶ Ὀμφαίη . . .

2 Hes. *κινώ* : *κίνησις Δωριεῖς* 3 *φορίη* melior., *φορύη* dett. nonnulli; *Magnificae* opposita *Sordida* cf. *φορύνειν*, *φορύσσειν* (*φορύειν*) ut *Φύη* ad *φύειν*, *ἀφύη* ad *ἀφύειν*; et *ὀφρύη* iuxta *ὀφρύς* ut *φορύη* iuxta *φόρυς* (*amus*) *Σωπη* (sic Bergk cf. Pindari *σωπᾶν*) apte opponitur *Ὀμφαίηι*

124 [14. 15 K., 400. 401 St.]

1. 2 Clem. Strom. III 14 p. 516 P. (post fr. 125) *καὶ πάλιν 'ὦ πόποι — ἐγένεσθε'.* 2 Porphyr. de abst. III 27 *ἐντεῦθεν τὸ θρηνούμενον πρὸς τῶν παλαιῶν ὡς 'τοίων — γενόμεσθα', ὅτι τὸ θεῖον καὶ ἀκήρατον καὶ ἐν πᾶσιν ἀβλαβὲς σώιζειν οὐ δυνάμεθα* Timon fr. 33 Wachsm. [ap. Eus. P. E. XIV 19, 28, hinc Theodor.] *σχέτλιοι ἄνθρωποι, κάκ' ἐλέγχεα, γαστέρες οἷον 'τοίων — πέπλασθε'*

ὦ πόποι, ὦ δεινὸν θνητῶν γένος, ὦ δυσάνολβον,
τοίων ἔκ τ' ἐρίδων ἔκ τε στοναχῶν ἐγένεσθε.

1 *ὦ* (post *γένος* Scaliger): *ἦ* Clem.; *ἆ* hic et ante *δεινὸν* Bywater *δυσάνολβον* ex imitatione Homerici *δυσάμμορος* 2 *τοίων* Clem. Porph. Timon (Eus. Theodor. optimi): *ποίων* Tim. (Theodor. pauci codd.): *οἵων* Bergk; *τοίων* explicat priora *ἔκ τ'* Porph. Tim.: *ἐξ* Clem. *στοναχῶν* Tim. Clem.: *νεικέων* Porph. memoriter citans *ἐγένεσθε* Clem.: *γενόμεσθα* Porph.: *πέπλασθε* Tim. Eus. (*πέπλησθε* Theod., *πεπλάνησθε* corr. Eus. Theod.)

125 [378 K., 404 St.]

Clem. Strom. III 14 p. 516 P. (post fr. 118)

ἐκ μὲν γὰρ ζωῶν ἐτίθει νεκρὰ εἴδε' ἀμείβων.

ζωῶν scripsi: *ζώων* vulgo *εἴδε'* Sylburg: *ἠίδη* L; videtur pertinere ad lapsum animarum. nam hunc v. Lustralium esse cognoscitur ex Clem. serie, alioqui recordareris fr. 35, 14

126 [379 K., 402 St.]

Plut. de esu comm. 2, 3 p. 998 C de palingenesia *ἀλλάσσει δὲ ἡ φύσις απαντα καὶ μετοικίζει 'σαρκῶν — χιτῶνι'* (sine lemmate). *ταῦτ' οὐκ ἀποτρέπει τὸ ἀνήμερον, τὸ ἀκόλαστον, τὸ καὶ σώμασι νόσους καὶ βαρύτητας ἐμποιεῖν καὶ ψυχὴν ἐπὶ πόλεμον ἀνομώτερον τρεπομένην διαφθείρειν, ὅταν ἐθισθῶμεν μὴ αἵματος ἄνευ καὶ φόνου μὴ ξένον ἑστιᾶν, μὴ γάμον ἑορτάζειν, μὴ φίλοις συγγίγνεσθαι* Porphyr. ap. Stob. Ecl. I 49, 60 [I 446, 7 W.] *αὐτῆς γὰρ τῆς μετακοσμήσεως εἱμαρμένη καὶ φύσις ὑπὸ Ἐμπεδοκλέους δαίμων ἀνηγόρευται 'σαρκῶν — χιτῶνι' καὶ μεταμπίσχουσα τὰς ψυχάς.*

σαρκῶν ἀλλογνῶτι περιστέλλουσα χιτῶνι.

ἀλλογνῶτι Plut. Porph.: *ἀλλογνῆτι* Lobeck (*ἀλλοχρῶτι* Wakefield: *αἰολόχρωτι* Stein); teneo *ἀλλογνῶτι* (ut *ἀγνώς*, *ἀρίγνως*) *corpus aliis atque hominibus cognitum, familiäre;* nam agitur de metempsychosi.

127 [382. 383 K., 438. 439 St.]

1. 2 Ael. nat. an. XII 7 *λέγει δὲ καὶ Ἐ. τὴν ἀρίστην εἶναι μετοίκησιν τὴν τοῦ ἀνθρώπου, εἰ μὲν ἐς ζῶιον ἡ λῆξις αὐτὸν μεταγάγοι, λέοντα γίνεσθαι· εἰ δὲ ἐς φυτόν, δάφνην. ἃ δὲ Ἐ. λέγει ταῦτά ἐστιν ‘ἐν — ἠνκόμοισιν’.* Schol. ms. in Aphth. Progymn. (Hermanni *Orphica* p. 511) *Ὀρφεὺς ὁ παῖς Οἰάγρου πού φησιν ἐν λόγοις ‘ἐν — ἠνκόμοισιν’.*

ἐν θήρεσσι λέοντες ὀρειλεχέες χαμαιεῦναι
γίγνονται, δάφναι δ’ ἐνὶ δένδρεσιν ἠνκόμοισιν.

1 *ἐν θήρεσσι* Schol. Aphth.: *ἐν θηροὶ δὲ* Ael. cf. Hes. *ὀρειλεχέες*: *ὀρέσκοιτοι χαμαιεῦναι* Hom. Π 235 2 *ἐνὶ* Ael.: *ἐν* Schol. Aphth.

128 [368—377 K., 405—414 St.]

1—10 Porphyr. de abst. II 20 (e Theophrasto de pietate) *τὰ μὲν ἀρχαῖα τῶν ἱερῶν νηφάλια παρὰ πολλοῖς ἦν· νηφάλια δ’ ἐστὶν τὰ ὑδρόσπονδα, τὰ δὲ μετὰ ταῦτα μελίσπονδα· τοῦτον γὰρ ἕτοιμον παρὰ μελιττῶν πρῶτον ἐλάβομεν τὸν ὑγρὸν καρπόν· εἶτ’ ἐλαιόσπονδα. τέλος δ’ ἐπὶ πᾶσιν τὰ ὕστερον γεγονότα οἰνόσπονδα . . .* 21 *μαρτυρεῖται δὲ ταῦτα οὐ μόνον ὑπὸ τῶν κύρβεων . . . ἀλλὰ καὶ παρ’ Ἐμπεδοκλέους, ὃς περί τε τῶν θυμάτων καὶ περὶ τῆς θεογονίας διεξιὼν παρεμφαίνει λέγων [Ἐμπεδοκλῆς] ‘οὐδέ — βασίλεια’, ἥ ἔστιν ἡ Φιλία ‘τὴν οἵ γ’ — οὖδας’, ἅπερ καὶ νῦν ἔτι σώιζεται παρ’ ἐνίοις οἷον ἴχνη τινὰ τῆς ἀληθείας ὄντα, ‘ταύρων δ’ — βωμός’ τῆς γὰρ οἰμαι φιλίας καὶ τῆς περὶ τὸ συγγενὲς αἰσθήσεως πάντα κατεχούσης, οὐθεὶς οὐθὲν ἐφόνευεν οἰκεῖα εἶναι νομίζων τὰ λοιπὰ τῶν ζώιων. ἐπεὶ δὲ Ἄρης καὶ Κυδοιμὸς καὶ πᾶσα μάχη καὶ πολέμων ἀρχὴ κατέσχεν, τότε πρῶτον οὐθεὶς οὐθενὸς ὅλως ἐφείσετο τῶν οἰκείων.* Idem c. 27 *‘ταύρων — γυῖα’.* 1—7 ex eodem Theophr. quamvis celato Athen. XII 510 C *κατὰ γὰρ τὸν Ἐμπεδοκλέα ‘οὐδέ — οὖδας’* [1—3 Eusth. in Il. X 114 (p. 231, 4 Lips.); 8—10 Euseb. P. E. IV 14 Cyrill. c. Jul. IX p. 972 D Migne] respiciunt Arat. 103 sqq. (cf. Maass Arat. p. 276[52]) Plato legg. VI 782 a sqq. alii

οὐδέ τις ἦν κείνοισιν Ἄρης θεὸς οὐδὲ Κυδοιμός
οὐδὲ Ζεὺς βασιλεὺς οὐδὲ Κρόνος οὐδὲ Ποσειδῶν,
ἀλλὰ Κύπρις βασίλεια.
τὴν οἵγ’ εὐσεβέεσσιν ἀγάλμασιν ἱλάσκοντο
γραπτοῖς τε ζώιοισι μύροισί τε δαιδαλεόδμοις
σμύρνης τ’ ἀκρήτου θυσίαις λιβάνου τε θυώδους,
ξουθῶν τε σπονδὰς μελιτῶν ῥίπτοντες ἐς οὖδας·
ταύρων δ’ ἀκρήτοισι φόνοις οὐ δεύετο βωμός,
ἀλλὰ μύσος τοῦτ’ ἔσκεν ἐν ἀνθρώποισι μέγιστον,

2 *οὐδ’ ὁ Κρόνος οὐδ’ ὁ Ποσ.* Porph. 4 *ἱλάσκονται* Athen. 5 *γραπτοῖς τε ζώιοισι* tabulae votivae aliaque sacra eius generis cf. Herod. I 164 Iam. Epidaur. 3339, 61 Collitz *τε] δὲ* Ath. *δαιδαλεόσμοις* Porph. 6 *σμύρνοις* Ath. *ἀκράτου* Porph. 7 *ξανθῶν* Ath. *μελιτῶν* Victorius (cf. Hes. *μελιτόν· κηρίον*): *μελίτων* Ath.: *μελιττῶν* Porph. *ῥιπτοῦντες* Porph. 8 *ἀκρήτοισι* Scaliger: *ἀκρίτοισι* Porph. (Cyr.): *ἀκράτοισι* Eus.; *ἀρρήτοισι* Fabricius 9 *ἔσχον* Cyr.

10 *θυμὸν ἀπορραίσαντας ἐέδμεναι ἠέα γυῖα.*

10 *ἀπορραίσαντας* Eus. Cyr.: *ἀπορρέσαντες* Porph. *ἐέδμεναι* Cyr.: *ἐέλμεναι* Porph.: *ἔδμεναι* (vel *ἔσμεναι*) Eus.; *ἐέδμεναι* explicari nequit. *ἀπορραίειν τε καὶ ἔδμεναι* Merzdorf, conicio *ἐνέδμεναι*, etsi ad *ἐμφαγεῖν* praesens alibi non invenitur *ἠέα* Vigier: *ἤια* Porph. (Eus. Cyr.)

129 [440—445 K., 415—420 St.]

Porph. V. Pyth. 30 *αὐτὸς δὲ* (Pythagoras) *τῆς τοῦ παντὸς ἁρμονίας ἠκροᾶτο συνιεὶς τῆς καθολικῆς τῶν σφαιρῶν καὶ τῶν κατ' αὐτὰς κινουμένων ἀστέρων ἁρμονίας, ἧς ἡμᾶς μὴ ἀκούειν διὰ σμικρότητα τῆς φύσεως. τούτοις καὶ Ἐ. μαρτυρεῖ λέγων περὶ αὐτοῦ· 'ἦν — αἰώνεσσιν'. τὸ γὰρ περιώσια καὶ τῶν ὄντων (πάντων) λεύσσεσκεν ἕκαστα καὶ πραπίδων πλοῦτον καὶ τὰ ἐοικότα ἐμφαντικὰ μάλιστα τῆς ἐξαιρέτου καὶ ἀκριβεστέρας παρὰ τοὺς ἄλλους διοργανώσεως ἔν τε τῶι ὁρᾶν καὶ τῶι ἀκούειν καὶ τῶι νοεῖν τοῦ Πυθαγόρου.* idem fere ex eodem Nicomacho descripsit Iambl. V. P. 15 p. 67 1. 2 Laert. VIII 54 [cf. A 1. p. 75, 17] *μεμνῆσθαι δὲ καὶ αὐτὸν Πυθαγόρου λέγοντα 'ἦν — πλοῦτον', οἱ δὲ τοῦτο εἰς Παρμενίδην αὐτὸν λέγειν ἀναφέροντα·*

ἦν δέ τις ἐν κείνοισιν ἀνὴρ περιώσια εἰδώς,
ὃς δὴ μήκιστον πραπίδων ἐκτήσατο πλοῦτον
παντοίων τε μάλιστα σοφῶν ἐπιήρανος ἔργων·
ὁππότε γὰρ πάσηισιν ὀρέξαιτο πραπίδεσσιν,
ῥεῖά γε τῶν ὄντων πάντων λεύσσεσκεν ἕκαστον
καί τε δέκ' ἀνθρώπων καί τ' εἴκοσιν αἰώνεσσιν

1 *κείνοισιν*, fortasse castis viris prisco more ab animalibus abstinentibus 2. 3 ordinem mutavit Stein frustra; sed 3 *τὰ μάλιστα* fortasse recte Bergk 5 *ῥεῖ' ὅ γε* probabiliter Cobet cf. fr. 114, 2 4—6 *ubi summa vi mentem intenderat, facile singula quaecumque sive decem sive viginti hominum saeculis fiebant perspicere solebat. τῶν ὄντων* i. e. *τῶν ὅσα ἦν καὶ ἔστι* cf. Synes. de provid. 2, 8 *ὅ τοι Σάμιος Πυθαγόρας τὸν σοφὸν ἄλλ' οὐδὲ θεάμονα* [*φιλοθεάμονά* corr. Petavius] *φησιν εἶναι τῶν τε ὄντων καὶ γινομένων* 6 *καί τ'* duplex praebuit Hom. *ξ* 465 al. similiter mentis infinitam vim (philosophi scilicet non vatis) Parmenides praedicat fr. 2 *λεῦσσε δ' ὅμως ἀπεόντα νόωι παρεόντα βεβαίως κτλ.* unde apparet cur nonnulli Parmenidem hic respici arbitrati sint. nec dubium cur Pythagorae quater redivivi mentio facta sit (cf. Rohde *Psyche* II² 417)

130 [364. 365 K., 421. 422 St.]

1. 2 Schol. Nic. Ther. 452 p. 36, 22 *τὰ κτίλα ἐπὶ τῶν ἡμέρων καὶ τιθασσῶν τίθεται καὶ ἐπὶ τῶν τῆς ποίμνης προηγουμένων κριῶν καὶ ἐπὶ τῶν λιπαρῶν. ὁ δὲ Ἐ. ἐπὶ τῶν ἡμέρων καὶ πραέων·*

ἦσαν δὲ κτίλα πάντα καὶ ἀνθρώποισι προσηνῆ,
θῆρές τ' οἰωνοί τε, φιλοφροσύνη τε δεδήει.

1 *ἦσαν δὲ* KV: *ἦσαν δὲ καὶ* P: *ἦσαν γὰρ* L: *ἠὸ' ἦσαν* Ald. *ἀνθρώποισι* V Ald.: *ἀνθρώποις* KP 2 *θῆρες* KV(L): *φῆρες* P *οἰωνοί τε φιλο-*

σοφροσύνηι Sturz; *ἄνθρωποί τε φιλοσοφροσύνη* codd. falso ponitur vulgo ante fr. 77. 78

131 [338—341 St.]

HIPPOL. Ref. VII 31 p. 254 *κόσμον γάρ φησιν εἶναι ὁ Ἐ. τὸν ὑπὸ τοῦ Νείκους διοικούμενον τοῦ πονηροῦ καὶ ἕτερον νοητὸν τὸν ὑπὸ τῆς Φιλίας ... μέσον δὲ εἶναι τῶν διαφόρων ἀρχῶν Δίκαιον λόγον, καθ' ὃν συγκρίνεται τὰ διηρημένα ὑπὸ τοῦ Νείκους καὶ προσαρμόζεται κατὰ τὴν Φιλίαν τῶι ἑνί. τοῦτον δὲ αὐτὸν τὸν Δίκαιον λόγον τὸν τῆι Φιλίαι συναγωνιζόμενον Μοῦσαν ὁ Ἐ. προσαγορεύων καὶ αὐτὸς αὐτῶι συναγωνίζεσθαι παρακαλεῖ λέγων ὧδέ πως'*

εἰ γὰρ ἐφημερίων ἕνεκέν τινος, ἄμβροτε Μοῦσα,
ἡμετέρας μελέτας ⟨μέλε τοι⟩ διὰ φροντίδος ἐλθεῖν,
εὐχομένωι νῦν αὖτε παρίστασο, Καλλιόπεια,
ἀμφὶ θεῶν μακάρων ἀγαθὸν λόγον ἐμφαίνοντι.

Hippolyti explicatio inepta. Lustralibus hoc fr. tribui *Berl. Sitzungsb.* 1898, 399. addendum Porphyrii testimonium *περὶ τε θυμάτων καὶ περὶ θεογονίας ἐξηιῶν* II 21 cit. ad fr. 128. deorum vis per mundum universum intenta una cum iustitiae notione doctrinae de abstinentia animalium principium fuisse apparet ex Sext. IX 126 cf. ad fr. 135

1 *εἰκάραι φημερίων* Hipp.; de sensu cf. Maneth. Apotel. VI (III) 1 sqq. *si antea humanis de rebus mihi adfuisti, Musa, nunc de divinis locuturo eo libentius adsiste* 2 supplevi omissa ab Hipp.; *ἔμελεν* ante *μελέτας* et *τί σοι* v. 1 pro *τινος* et v. 2 *ἡμετέρης* Schneidewin 3 *εὐχομένων* Hipp.: corr. Schneidewin 4 *μακαρίων* Hipp.

132 [354. 355 K., 342. 343 St.]

CLEM. Strom. V 140 p. 733 Pott. '*ὄλβιος*', *ὡς ἔοικεν, ἄρα ἐστὶν κατὰ τὸν Ἐμπεδοκλέα,* '*ὃς — μέμηλεν*'.

ὄλβιος, ὃς θείων πραπίδων ἐκτήσατο πλοῦτον,
δειλὸς δ' ὥι σκοτόεσσα θεῶν πέρι δόξα μέμηλεν.

1 *πραπίδων πλοῦτον* iterat fr. 129, 2

133 [356—358 K., 344—346 St.]

CLEM. Strom. V 82 p. 694 Pott. *τὸ γάρ τοι θεῖον, ὁ Ἀκραγαντῖνός φησι ποιητής,*

οὐκ ἔστιν πελάσασθαι ἐν ὀφθαλμοῖσιν ἐφικτόν
ἡμετέροις ἢ χερσὶ λαβεῖν, ἧιπέρ τε μεγίστη
πειθοῦς ἀνθρώποισιν ἁμαξιτὸς εἰς φρένα πίπτει.

[inde Theodor. gr. aff. cur. I 74 p. 37, 19 Gaisf. *καὶ ὁ Ἐ. δὲ περὶ τῶν ἀοράτων φησὶν* '*οὐκ — πίπτει*'] cf. LUCR. V 100 *ut fit ubi insolitam rem adportes auribus ante nec tamen hanc possis oculorum subdere visu nec iacere indu manus via qua munita fidei proxima fert humanum in pectus templaque mentis*

1 *πελάσασθαι ἐν* Clem.: *πελάσασθαι* Theod. B: *πελάσαι δ'* ceteri codd.; cf. *Herm.* XV 172 2 *ἧιπερ* Karsten (cf. ad 4, 12): *ἥπερ* Clem. Theod.

134 [359—363 K., 347—351 St.]

1—5 Ammon. de interpr. 249, 1 Busse *διὰ ταῦτα δὲ καὶ ὁ Ἀκραγαντῖνος σοφὸς ἐπιρραπίσας τοὺς περὶ θεῶν ὡς ἀνθρωποειδῶν. ὄντων παρὰ τοῖς ποιηταῖς λεγομένους μύθους, ἐπήγαγε προηγουμένως μὲν περὶ Ἀπόλλωνος* [cf. A 1 § 57 p. 76, 17 et 23 p. 87. v. *Berl. Sitz.* 1898, 404], *περὶ οὗ ἦν αὐτῷ προσεχῶς ὁ λόγος, κατὰ δὲ τὸν αὐτὸν τρόπον καὶ περὶ τοῦ θείου παντὸς ἁπλῶς ἀποφαινόμενος 'οὔτε — θοῆισι' διὰ τοῦ 'ἱερή' καὶ τὴν ὑπὲρ νοῦν αἰνιττόμενος αἰτίαν.* [inde Io. Tzetz. epist. 98 p. 88 Press. Chil. XIII 79; 4. 5 Idem Chil. VII 522 *Ἐ. τῶι τριτωι τε τῶν Φυσικῶν* (de hac fraude *Berl. Sitz.* 1898, 400) *δεικνύων, τίς ἡ οὐσία τοῦ θεοῦ κατ' ἔπος οὕτω λέγει· οὐ τόδε τι θεός ἐστιν, οὐ τόδε τι καὶ τόδε, 'ἀλλὰ — θοῆισιν'.* item XIII 79 1 Olympiod. in Plut. Gorg. ed Jahn. p. 129]

οὐδὲ γὰρ ἀνδρομέηι κεφαλῆι κατὰ γυῖα κέκασται,
οὐ μὲν ἀπαὶ νώτοιο δύο κλάδοι αἰσσονται,
οὐ πόδες, οὐ θοὰ γοῦν(α), οὐ μήδεα λαχνήεντα,
ἀλλὰ φρὴν ἱερὴ καὶ ἀθέσφατος ἔπλετο μοῦνον,
φροντίσι κόσμον ἅπαντα καταΐσσουσα θοῆισιν.

hoc fr. continuant verisimiliter priori.

1 *οὐδὲ* Olymp.: *οὔτε* Amm.: *οὐ μὲν* Tzetz. *ἀνδρομέηι (ἀνδρομέη)* Amm. Olymp.: *βροτέῃ* Tzetz. 2. 3 iterantur fr. 29, 1. 2 2 *ἀπαὶ* Amm. (Tzetz.): *ἀπὸ* fr. 29 *νώτοιο* 29: *νώτων γε* Amm. (Tzetz.) *δύω* Amm. *αἰσσονται* 29 cf. fr. 100, 7: *αἴσσουσιν* Amm. (Tzetz.) 3 *οὐ μήδεα*] *καὶ μήδεα* Tzetz. *λαχνήεντα* Amm. (Tzetz.): *γεννήεντα* (suo loco aptius) fr. 29

135 [404. 405 K., 426. 427 St.]

Arist. rhet. A 13. 1373b 6 *ἔστι γὰρ ὃ μαντεύονταί τι πάντες φύσει κοινὸν δίκαιον καὶ ἄδικον, κἂν μηδεμία κοινωνία πρὸς ἀλλήλους ἢ μηδὲ συνθήκη* (citatur Antigonae v. 450 sq.) *καὶ ὡς Ἐ. λέγει περὶ τοῦ μὴ κτείνειν τὸ ἔμψυχον· τοῦτο γὰρ οὐ τισὶ μὲν δίκαιον τισὶ δ' οὐ δίκαιον 'ἀλλὰ — αὖ γῆς'.* Cic. de r. p. III 11, 19 (ubi de iure naturali agitur): *Pythagoras et Empedocles unam omnium animantium condicionem iuris esse denuntiant clamantque inexpiabilis poenas impendere iis a quibus violatum sit animal.* Sext. adv. math. IX 126 (ante fr. 136) *εἴπερ καὶ ἡ δικαιοσύνη κατὰ τὴν ἐπιπλοκὴν τῶν ἀνθρώπων πρός τε ἀλλήλους καὶ πρὸς θεοὺς εἰσῆκται, εἰ μὴ εἰσὶ θεοί, οὐδὲ δικαιοσύνη συστήσεται.* cf. Iambl. V. Pyth. 108 *προσέταξεν* (Pyth.) *ἀπέχεσθαι τῶν ἐμψύχων· ἅτε γὰρ βουλομένους ἄκρως δικαιοπραγεῖν ἔδει δήπου μηδὲν ἀδικεῖν τῶν συγγενῶν ζώιων. ἐπεὶ πῶς ἂν ἔπεισαν δίκαια πράττειν τοὺς ἄλλους αὐτοὶ ἁλισκόμενοι ἐν πλεονεξίαι • • συγγενικῆι τῆι τῶν ζώιων μετοχῆι, ἅπερ διὰ τὴν τῆς ζωῆς καὶ τῶν στοιχείων τῶν αὐτῶν κοινωνίαν καὶ τῆς ἀπὸ τούτων συνισταμένης συγκράσεως ὡσανεὶ ἀδελφότητι πρὸς ἡμᾶς συνέζευκται.*

ἀλλὰ τὸ μὲν πάντων νόμιμον διά τ' εὐρυμέδοντος
αἰθέρος ἠνεκέως τέταται διά τ' ἀπλέτου αὐγῆς.

fr. transitum facit a theologia ad *ἀποχὴν ἐμψύχων* iuris communione quae sit inter omnia animantia declarata. ipsum verbum *δίκαιον* vel *δικαιοσύνη* adhibitum esse fidem facit Hippol. l. c. ad 131 (cf. de iustitia Orphica et Pythagorea

Rohde *Psych.* II² 129, 163), at frustra fuere qui Aristotelea *τισὶ μὲν δίκαιον κτλ.* versibus includerent. *δίκη* in re simili adhibetur Hesiodo Opp. 276 sqq.

2 *αἰθέρος — αὐγῆς*] '*duo mundi hemisphaeria quae inter sita est terra*' Stein. dubito an *αἰθὴρ* ad caelum, *αὐγή* ad aera (cf. fr. 17, 18. 21, 4) pertineat; cf. Soph. Oed. R. 865. displicet *αὖ γῆς* a Bekkero e duobus libris futtilibus receptum *ἠνεκέως* singulare cf. *ἠνεκές* fr. 17, 35

136 [416. 417 K., 428. 429 St.]

Sextus adv. math. IX 127 (cf. ad fr. 135; ex Posidonio in Tim.) *οἱ μὲν οὖν περὶ τὸν Πυθαγόραν καὶ τὸν Ἐμπεδοκλέα καὶ ⟨τὸ⟩ τῶν Ἰταλῶν πλῆθός φασι μὴ μόνον ἡμῖν πρὸς ἀλλήλους καὶ πρὸς τοὺς θεοὺς εἶναί τινα κοινωνίαν, ἀλλὰ καὶ πρὸς τὰ ἄλογα τῶν ζῴων. ἓν γὰρ ὑπάρχειν πνεῦμα τὸ διὰ παντὸς τοῦ κόσμου διῆκον ψυχῆς τρόπον τὸ καὶ ἑνοῦν ἡμᾶς πρὸς ἐκεῖνα* (cf. fr. 134, 5). *διόπερ καὶ κτείνοντες αὐτὰ καὶ ταῖς σαρξὶν αὐτῶν τρεφόμενοι ἀδικήσομέν τε καὶ ἀσεβήσομεν ὡς συγγενεῖς ἀναιροῦντες. ἔνθεν καὶ παρήινουν οὗτοι οἱ φιλόσοφοι ἀπέχεσθαι τῶν ἐμψύχων καὶ ἀσεβεῖν ἔφασκον τοὺς ἀνθρώπους 'βωμὸν ἐρεύθοντας μακάρων θερμοῖσι φόνοισιν', καὶ Ἐ. πού φησιν 'οὐ — νόοιο'*; sequitur fr. 137 ex eodem Posidonio Chalcid. in Tim. 240, 3 Wrob. (post fr. 117. 137) *item alio loco: Comprimite o gentes homicidia! nonne videtis Mandere vos proprios artus ac viscera vestra?* et fortasse Ovidius Met. XV 174 *parcite, vaticinor, cognatas caede nefanda exturbare animas; nec sanguine sanguis alatur* (cf. Schmekel *Mittelstoa* 288⁴)

οὐ παύσεσθε φόνοιο δυσηχέος; οὐκ ἐσορᾶτε
ἀλλήλους δάπτοντες ἀκηδείῃσι νόοιο;

1 *φόνοιο δυσηχέος* ex homerico *πολέμοιο δυσηχέος* H 376 al.; cf. 119, 19 2 *ἀκηδείῃσι νόοιο* transtulit Apoll. Rhod. III 298

137 [410—415 K., 430—435 St.]

1—6 Sextus adv. math. IX 129 (post fr. 136, 2) *καὶ 'μορφὴν — ἔδουσιν'* Chalcid. 240. 3 Wr. [cf. ad fr. 136] *mutatos sobolis mactat pater impius artus dis epulum libans; saeva prece territa mente hostia; luctifica funestatur dape mensa. natus item ut pecudes caedit matremque patremque nec sentit caros mandens sub dentibus artus*; Plut. de esu carn. II 3 p. 997 E *ποῖον οὖν οὐ πολυτελὲς δεῖπνον εἰς ὃ οὐ θανατοῦταί τι ἔμψυχον . . . οὔπω λέγω τάχα μητρὸς ἢ φίλου τινὸς ἢ παιδός, ὡς ἔλεγεν Ἐ.* 1. 2 Plut. de superst. 13 p. 171 C Carthaginienses *οὐχ ὥσπερ Ἐ. φησι τῶν τὰ ζῶια θυόντων καθαπτόμενος 'μορφὴν — νήπιος', ἀλλ' εἰδότες καὶ γιγνώσκοντες αὐτοὶ τὰ αὐτῶν τέκνα καθιέρευον.* Orig. c. Celsum V 49 (opinor e Celso) *ἐκεῖνοι* [Pythagorei] *μὲν γὰρ διὰ τὸν περὶ ψυχῆς μετενσωματουμένης μῦθον ἐμψύχων ἀπέχονται καί τις 'φίλον — νήπιος'.*

μορφὴν δ' ἀλλάξαντα πατὴρ φίλον υἱὸν ἀείρας
σφάζει ἐπευχόμενος μέγα νήπιος· οἱ δ' ἐπορεῦνται
λισσόμενοι θύοντας, ὁ δ' αὖ νήκουστος ὁμοκλέων

2 *σφάξει* Origenes *οἱ δὲ πορεῦνται* Sextus: corr. Bergk; cf. Ψ 212 *τοὶ δ' ὀρέοντο.* intellego: *at illi instant* sc. pueri. nam ante v. 1 alios commemoratos fuisse docet v. 5 *λισσόμενον* unus cod. X *θύοντες* Sext.: corr. Wilamowitz; *θύοντος* G. Hermann *αὖ νήκουστος* scripsi: *ἀνήκουστος* Sext.: *δὲ νήκουστος* Bergk

σφάξας ἐν μεγάροισι κακὴν ἀλεγύνατο δαῖτα.
ὡς δ' αὔτως πατέρ' υἱὸς ἑλὼν καὶ μητέρα παῖδες
θυμὸν ἀπορραίσαντε φίλας κατὰ σάρκας ἔδουσιν.

4 clausula Homerica 5 an παῖδε? at cf. fr. 23, 2 6 ∾ fr. 128, 10 ἀπορραίσαντε Karsten: ἀπορραίσαντα Sext.

138 [deest]

ARISTOT. poet. 21 p. 1457b 13 ἀπ' εἴδους δὲ ἐπὶ εἶδος [translationem fieri] οἷον

χαλκῷ ἀπὸ ψυχὴν ἀρύσας

καὶ 'ταμων ἀτειρέι χαλκῷ' (fr. 143)· ἐνταῦθα γὰρ τὸ μὲν ἀρύσαι ταμεῖν, τὸ δὲ ταμεῖν ἀρύσαι εἴρηκεν.

celatum auctorem indicavit conl. fr. 143 Vahlen. philosophus cum vitam et animam in sanguine poneret, eo facilius *animam haurire* dicebat

139 [9. 10 K., 436. 437 St.]

PORPHYR. de abst. II 31 ἐπεὶ δ' ἀναμάρτητος οὐδείς, λοιπὸν ἀκεῖσθαι τοῖς ὕστερον διὰ τῶν καθαρμῶν τὰς ⟨τῶν⟩ πρόσθε περὶ τὴν τροφὴν ἁμαρτίας. τοῦτο δὲ ὁμοίως γένοιτ' ἄν, εἰ πρὸ ὀμμάτων ποιησάμενοι τὸ δεινὸν ἀνευφημίσαιμεν κατὰ τὸν Ἐμπεδοκλέα λέγοντες·

οἴμ' ὅτι οὐ πρόσθεν με διώλεσε νηλεὲς ἦμαρ,
πρὶν σχέτλι' ἔργα βορᾶς περὶ χείλεσι μητίσασθαι.

1 οἴμ' ὅτι Nauck (cf. Theocr. XI 54): οἴμοι ὅτ' cod. νηλεὲς ἦμαρ Homericum 2 non περὶ φρεσίν, verum π. χείλεσι incestam dapem moliuntur. praepositionis abundantia (cf. fr. 143) quasi pingit ligurrientes. sceleris (βορᾶς) genus aut antea aut postea accuratius fuerit definita

140 [419 K., 440 St.]

PLUT. Quaest. conv. III 1, 2 p. 646 D καὶ οὐ μόνης ὡς ἔοικε κατ' Ἐμπεδοκλέα τῆς δάφνης τῶν φύλλων ἀπὸ πάμπαν ἔχεσθαι χρή, ἀλλὰ καὶ τῶν ἄλλων φείδεσθαι δένδρων ἁπάντων.

versus recuperari non quit, at fuerit talis: δάφνης Φοιβείων φύλλων ἄπο πάμπαν ἔχεσθαι cf. fr. 141

141 [418 K., 441 St.]

GELLIUS IV 11, 9 *videtur autem, de κνάμωι non esitato causam erroris fuisse, quia in Empedocli carmine qui disciplinas Pythagorae secutus est, versus hic invenitur* 'δειλοί — ἔχεσθαι'. 10. *opinati enim sunt plerique κνάμους legumentum dici ut a vulgo dicitur. sed qui diligentius scitiusque carmina Empedocli arbitrati sunt, κνάμους hoc in loco testiculos significare dicunt eosque more Pythagorae operte atque symbolice κνάμους appellatos, quod sint αἴτιοι τοῦ κνεῖν et geniturae humanae vim praebeant; idcircoque Empedoclen versu isto non a fabulo edendo, sed a rei venerei proluvio voluisse homines deducere.* DIDYMUS in GEOPON. II 35, 8 πρῶτος δὲ ἀπέσχετο κνάμων Ἀμφιάραος διὰ τὴν δι' ὀνείρων μαντείαν· φέρεται δὲ καὶ Ὀρφέως τοιάδε ἔπη 'δειλοί — ἔχεσθαι' CALLIM. fr. 128 (a Gellio l. c. cit.) καὶ κνάμων ἄπο χεῖρας ἔχειν, ἀνιῶντος ἐδε-

στοῦ, κἠγὼ Πυθαγόρης ὡς ἐκέλευε λέγω. illudit qui feras Empedocleas ratione argutantes inducit Crates in *Θηρσίν* fr. 17 (I 135 K.) *ἡμῶν δ' ἄπο χεῖρας ἔχεσθαι.*

δειλοί, πάνδειλοι, κυάμων ἄπο χεῖρας ἔχεσθαι.

πάνδειλοι om. Geop. *ἔχεσθαι* Gell. Geop. (CH): ἔχεσθε Geop. (L?, vulgo); infinitivum (imperativi vice) confirmat exemplar Hom. *χ* 316 *κακῶν ἄπο χεῖρας ἔχεσθαι* et Crates

142 [deest]

Voll. Herc. N. 1012 col. 18 [coll. alt. VII fol. 15. *Bodleian facs.* t. III f. 13 n. 565] *σοφίην. δῆλον γὰρ ὡς οἱ | μὲν κήρυκες φθένξονται, | ἡ δ' Ἑλλὰς φθένξεται. μία | δὴ δύναμις τοῦ σημαινομέ-|(5)νου. τὰ δὲ κα[ὶ] παρ' Ἐμ-|πε-δ[οκ]λεῖ γέγονεν ὅτε λέ-|[γ]ε[ται] 'τὸν δ' οὔτ' ἄρ τε Διὸς | τεγεοὶ δόμοι αἰγ[ιόχοιο]'* | ΤΘ¯ . . ΟΑ'ΔΟΥΔΘ' . . . . . | (10) Γ . ⁻ΗCΤΘΓΟC . Δ . . . . . | ¯ . . ΛΟΥ . . . Θ

τὸν δ' οὔτ' ἄρ τε Διὸς τεγεοὶ δόμοι αἰγιόχοιο
τέρποι ἂν οὐδὲ ⏑ – ⏑ ⏑ – *τέγος* – ⏑ ⏑ – –

utor etiam Croenerti apographo. Epicureus *σχῆμα ἀπὸ κοινοῦ* primum ad Callimachi distichum 7, 3. 4 *ἄλλων μὲν κήρυκες ἐπὶ βραχὺν οὔνομα καιρὸν φθέγξονται, κείνου δ' Ἑλλὰς ἀεὶ σοφίην* adhibet, tum ad Empedocleos versus (cf. *Berl. Sitz.* 1897, 1062). *τέρποι ἄν* (Pindarico schemate) an *τέρπον ἄν* dubito restituatur. iota a correctore superscriptum observavit Croenert; sed non certum num integrum (an residuum ex N) an solum correctum sit. v. 10 initium K . THC legi posse adnotat Cr., sed T etiam P, Θ, C, Θ videri legi posse. etiam sensus incertus, utrum Iovis et Hecates regna (cf. fr. 135, 2?) opponantur an quattuor elementa, unde exclusus sit scelestus (cf. fr. 115, 9). *ἄρ τε* ex Homeri E 89 cf. fr. 17, 30

143 [442. 443]

Theo Smyrn. p. 15, 7 *κατὰ ταὐτὰ δὴ καὶ ἡ τῶν πολιτικῶν* [*Πλατωνικῶν* Hiller] *λόγων παράδοσις τὸ μὲν πρῶτον ἔχει καθαρμόν τινα οἷον ἡ ἐν τοῖς προσήκουσι μαθήμασιν ἐκ παίδων συγγυμνασία. ὁ μὲν γὰρ Ἐ. 'κρηνάων ἀπὸ πέντ' ἀνιμῶντά φησιν ἀκηρέι χαλκῶι δεῖν ἀπορρύπτεσθαι.* Arist. poet. 21 p. 1457b 13 *ἀπ' εἴδους δὲ ἐπὶ εἶδος οἷον 'χαλκῶι ἀπὸ ψυχὴν ἀρύσας'* (fr. 138) *καὶ τεμὼν* [sic codex] *ἀτειρέι χαλκῶι· ἐνταῦθα γὰρ τὸ μὲν ἀρύσαι ταμεῖν, τὸ δὲ ταμεῖν ἀρύσαι εἴρηκεν· ἄμφω γὰρ ἀφελεῖν τί ἐστιν.*

κρηνάων ἄπο πέντε ταμόντ' ⟨ἐν⟩ ἀτειρεῖ χαλκῶι.

de re cf. Jahn ad Pers. II 16. IV 39, inprimis Rohde *Psych.* II² 405. adde Hipparch. Pyth. Stob. flor. 108, 81 *προσήκει ὧν ἐκπίπτοντας καὶ ἀποκαθαίροντας ἀπορρύπεσθαι πάσαις μηχαναῖς τὰς ἐγκατεσκιρωμένας κηλίδας τῶι κατὰ φιλοσοφίαν λόγωι* Theonis codex *ἀνιμῶντα* et *ἀκηρέι* in litura correcta habet. ubi quae Aristotele usus olim extitisse suspicatus est Vahlen *ταμόντα* et *ἀτειρέι* Schraderus confirmavit codice bis inspecto (cf. *Herm.* XV 174), *ἐν* metro flagitatum eleganter additur [cf. fr. 139 et *Mél. Weil.* 128]. latet Homericum *τάμε χαλκὸς ἀτειρής* E 292. *ταμεῖν* Empedocleo more habet hymn. in Apoll. ap. Porph. antr. nymph. 8 v. 2; Eur. Hel. 1235 *σπονδὰς τέμωμεν* cf. *Sibyll. Blätt.* p. 72

144 [406 K., 444 St.]

Plut. de coh. ira 16 p. 464 B *τὸ μὲν τοῦ Ἐμπεδοκλέους μέγα καὶ θεῖον ἠγούμην τὸ*

νησευῦσαι κακότητος.

cf. Orphicus versus (226 Abel) ap. Procl. Tim. 330 [B p. 802 Schn.] *κύκλον τ' ἂν λήξαι καὶ ἀναπνεύσαι κακότητος* (ap. Simpl. de caelo p. 377, 17 *κύκλον τ' ἀλλῆξαι καὶ ἀμφῦξαι κακότητος*)

145 [420. 421 K., 445. 446 St.]

Clem. Protr. 2, 27 p. 23 P. *ταύτῃ τοι ἡμεῖς οἱ τῆς ἀνομίας υἱοὶ ποτε . . . υἱοὶ γεγόναμεν τοῦ θεοῦ· ὑμῖν δὲ καὶ ὁ ὑμέτερος ὑποδύεται ποιητὴς ὁ Ἀκραγαντῖνος Ἐ.*

τοιγάρτοι χαλεπῆισιν ἀλύοντες κακότησιν
οὔποτε δειλαίων ἀχέων λωφήσετε θυμόν.

146 [384—386 K., 447—449 St.]

1—3 Clem. Strom. IV 150 p. 632 P. [inde Theodor. VIII 36 p. 618, 9 Gaisf.] *φησὶ δὲ καὶ ὁ Ἐ. τῶν σοφῶν τὰς ψυχὰς θεοὺς γίνεσθαι ὧδέ πως γράφων· 'εἰς — φέριστοι'.* significat 1 Heraclides [A 1 p. 77, 13]

εἰς δὲ τέλος μάντεις τε καὶ ὑμνοπόλοι καὶ ἰητροί
καὶ πρόμοι ἀνθρώποισιν ἐπιχθονίοισι πέλονται,
ἔνθεν ἀναβλαστοῦσι θεοὶ τιμῆισι φέριστοι.

principes eorumque hospites vates, medicus, faber, aoedus Hom. Od. ρ 384; haec Orphica tradit etiam Pind. fr. 133 B. 3 *ἔνθ'* Theodor.

147 [387. 388 K., 450. 451 St.]

Clem. Strom. V 122 p. 721 P. *ἣν δὲ ὁσίως καὶ δικαίως διαβιώσωμεν, μακάριοι μὲν ἐνταῦθα, μακαριώτεροι δὲ μετὰ τὴν ἐνθένδε ἀπαλλαγήν, οὐ χρόνωι τινὶ τὴν εὐδαιμονίαν ἔχοντες, ἀλλ' ἐν αἰῶνι ἀναπαύεσθαι δυνάμενοι 'ἀθανάτοις — ἀτειρεῖς', ἡ φιλόσοφος Ἐμπεδοκλέους λέγει ποιητική.* [inde Eus. P. E. XIII 13, 49 p. 684 extr.]

ἀθανάτοις ἄλλοισιν ὁμέστιοι, αὐτοτράπεζοι,
εὔνιες ἀνδρείων ἀχέων, ἀπόκληροι, ἀτειρεῖς.

αὐτοτράπεζοι Eus.: *ἔν τε τραπέζαις* Clem., unde *ἔν τε τράπεζοι* Rohde illud praefero *eiusdem mensae* cf. *αὐτόετες*. asyndeton in his poetae proprium *εὔνιες* Scaliger cf. fr. 57, 2: *ἐόντες* Clem. Eus. *ἀχαιῶν* Clem. Eus. *ἀπόκηροι* Scaliger *ἀτειρεῖς* Eus.: *ἀτηρεῖς* Clem. continuavit hoc Stein fr. 146

148. 149. 150 [403. 243 St., 453 K.]

ἀμφιβρότην χθόνα. νεφεληγερέτην.
πολυαίματον ἦπαρ.

Plut. Quaest. conviv. V 8, 2 p. 683 E (post fr. 80) *καὶ μάλιστα τοῦ ἀνδρὸς* [Empedoclis] *οὐ καλλιγραφίας ἕνεκα τοῖς εὐπροσωποτάτοις τῶν ἐπιθέτων ὥσπερ ἀνθηροῖς χρώμασι τὰ πράγματα γανοῦν εἰωθότος, ἀλλ' ἕκαστον οὐσίας τινὸς ἢ δυνάμεως δήλωμα ποιοῦντος οἷον 'ἀμφιβρότην χθόνα' τὸ τῇι ψυχῇι περικείμενον σῶμα καὶ 'νεφεληγερέτην' τὸν ἀέρα καὶ 'πολυαίματον' τὸ ἧπαρ.*

151 [p. 347 K.]

ζελδωρος.

PLUT. Amat. 13 p. 756 E *ζελδωρον γὰρ αὐτὴν* [sc. *Ἀφροδίτην*] *Ἐ., εἴκαρπον δὲ Σοφοκλῆς ἐμμελῶς πάνυ καὶ πρεπόντως ὠνόμασαν.* cf. Etym. m. p. 440, 4 *παρὰ τὸ ζῆν ζελδωρος, ἡ τὰ πρὸς τὸ ζῆν δωρουμένη*

152 [455 K.]

ARIST. poet. 21. 1457b 22 *ἢ ὃ γῆρας πρὸς βίον καὶ ἑσπέρα πρὸς ἡμέραν. ἐρεῖ τοίνυν τὴν ἑσπέραν γῆρας ἡμέρας, ἢ ὥσπερ Ἐ., καὶ τὸ γῆρας ἑσπέραν βίου ἢ δυσμὰς βίου.*

Vahlen ad h. l. censet „fuisse eius poetae *μεταφορικωτάτου* metaphoram similem illi *γῆρας ἡμέρας*, cuius admonere voluerit Aristoteles.“ ergo discipuli carmina Empedoclis memoria tenebant ut magister. *γῆρας μάσματος* Aeschyl. Sept. 669

153 [455 K.]

βαυβώ.

HESYCH. *βαυβώ: τιθήνη Δήμητρος. σημαίνει δὲ καὶ κοιλίαν ὡς παρ' Ἐμπεδοκλεῖ.*

cf. Crusius *Unters. z. Herondas* 128. nomen illustratur absonis illis figuris figlinis, quae in templo Cereris Prienensi 1899 inventae sunt. caput enim eis deest, venter cum inguine muliebri tamquam os ornatur.

DUBIUM.

154 [deest]

PLUT. de esu carn. I 2 p. 993 C [fortasse e Posidonio cf. Schmekel *Mittelstoa* 288⁴] *ἦ τοῖς μὲν πρώτοις ἐκείνοις ἐπιχειρήσασι σαρκοφαγεῖν τὴν αἰτίαν ἂν εἶποι πᾶς εἶναι* [*πᾶσαν καὶ* codd.: correxi] *τὴν ἀπορίαν· οὐ γὰρ ἐπιθυμίαις ἀνόμοις συνδιάγοντες οὐδ' ἐν περιουσίαι τῶν* [*τινὶ* codd.: correxi] *ἀναγκαίων ὑβρίσαντες εἰς ἡδονὰς παρὰ φύσιν ἀσυμφύλους ἐπὶ ταῦτ' ἦλθον, ἀλλ' εἶποιεν ἄν αἴσθησιν ἐν τῶι παρόντι καὶ φωνὴν λαβόντες· ὦ μακάριοι καὶ θεοφιλεῖς οἱ νῦν ὄντες ὑμεῖς, οἷον βίου λαχόντες αἰῶνα καρποῦσθε καὶ νέμεσθε κλῆρον ἀγαθῶν ἄφθονον, ὅσα φύεται ὑμῖν, ὅσα τρυγᾶται, ὅσον πλοῦτον ἐκ πεδίων, ὅσα ἀπὸ φυτῶν ἡδονὰς δρέπεσθαι πάρεστιν. ἔξεστιν ὑμῖν καὶ τρυφᾶν μὴ μαινομένοις. ἡμᾶς δὲ σκνθρωπότατον καὶ φοβερώτατον ἐδέξατο βίου καὶ χρόνου μέρος, εἰς πολλὴν καὶ ἀμήχανον ἐκπεσόντας ἀπὸ τῆς πρώτης γενέσεως ἀπορίαν· ἔτι μὲν οὐρανὸν ἔκρυπτεν ἀὴρ καὶ ἄστρα θολερῶι καὶ δυσδιαστατοῦντι πεφυρμένα ὑγρῶι καὶ πυρὶ καὶ ζάλαις ἀνέμων, ‘οὕπω δ' ἥλιος ὄρνυτο ἀπλανῆ καὶ βέβαιον ἔχων ὁρόμον ἠὼ*

καὶ δύσιν ἔκρινεν, περὶ δ(ὲ) ἤγαγεν αὖθις ὀπίσσω
καρποφόροισιν ἐπιστέψας καλυκοστεφάνοισιν
Ὥραις, γῆ δ' ὕβριστο'

ποταμῶν ἐκβολαῖς ἀτάκτοις καὶ πολλὰ λιμνάτσιν ἄμορφα καὶ πηλοῖς βαθέσι καὶ λόχμαις ἀφόροις καὶ ὕλαις ἐξηγρίωτο· φορᾶς δὲ ἡμέρων καρπῶν καὶ τέχνης ὄργανον οὐδὲν οὐδὲ μηχανὴ σοφίας· ὁ δὲ λιμὸς οὐκ ἐδίδου χρόνον οὐδὲ ὥρας ἐτησίους σπόρος (πυρ)ῶν τότ' ἀνέμενε. τί θαυμαστόν, εἰ ζώιων ἐχρησάμεθα

σαρξὶ παρα φύσιν, ὅτ' ἰλὺς ἠσθίετο καὶ ᾽φλοιὸς ἐβρώθη ξύλου᾽ καὶ ᾽ἄγρωστιν εὑρεῖν βλαστάνουσαν ἢ φλεώ᾽ τινα ῥίζαν εὐτυχὲς ἦν; βαλάνου δὲ γευσάμενοι καὶ φαγόντες ἐχόρευσαν ὑφ᾽ ἡδονῆς περὶ δρῦν τινα καὶ φηγὸν ζείδωρον [δὲ] *καὶ μητέρα καὶ τροφὸν ἀποκαλοῦντες. ἐκείνην* (994) *οὖν ὁ τότε βίος ἑορτὴν ἔγνω, τὰ δ᾽ ἄλλα φλεγμονῆς ἦν ἅπαντα μεστὰ καὶ στυγνότητος. ὑμᾶς δὲ τοὺς νῦν τίς λύσσα καὶ τίς οἶστρος ἄγει πρὸς μιαφονίαν οἷς τοσαῦτα περίεστι τῶν ἀναγκαίων; κτλ.*

Empedoclis versus probabiliter agnovit Wyttenbach, et insunt aliae sententiae e Lustralibus petitae (quamquam versus ibid. p. 998 A citati sunt Arati et insunt etiam iambi quos Wilamowitz agnovit). initium certo recuperari non potest.

1 *περὶ δὲ* P: *περὶ σέ* vulgo *ἤγαγεν*] sc. *δρόμον* i. e. *ἐνιαυτόν* 2 *ἐπιστέψας* [P: *ἐπιστέψαι* ETV] *κάλυκος στεφάνοισιν* codd.: correxi. *καλυκοστέφανος* praeivit Bacchylides 3 *ὥραις* sic libri; vulgo *ὥρας* ex Reiskei coni. cf. hymn. in Iovem Solem Inscr. Perg. 324, 21 *οὐρανίαισι κεκασμένος ἠνεκὲς ὥραις*

FALSA

155 [439 K., p. 18 St.]

LAERT. DIOG. VIII 43 *ἦν καὶ Τηλαύγης υἱὸς αὐτοῖς* (Pythagorae et Theanoni), *ὃς καὶ διεδέξατο τὸν πατέρα καὶ κατά τινας Ἐμπεδοκλέους καθηγήσατο· Ἱππόβοτός γέ τοί φησι λέγειν Ἐμπεδοκλέα·*

Τήλαυγες, κλυτὲ κοῦρε Θεανοῦς Πυθαγόρεω τε.

τηλαυγεῖ B: *τηλαυγῆ* P¹: *τηλαύγη* P²: corr. Bentley fraus aperta (cf. Zeller *Berl. Sitz.* 1889, 990), cum qua cohaeret epistola ad Philolaum ficta Laert. VIII 53. 55 [A 1 p. 75, 12] et Eus. P. E X 14, 15 [A 8 p. 83].

156 [435—439 K., p. 9 St.]

LAERT. VIII 60 post fr. 1 [A 1 p. 77, 10] *ἀλλὰ καὶ ἐπίγραμμα εἰς αὐτὸν ἐποίησε· ᾽Παυσανίην — ἀδύτων᾽* [Anth. P. et Plan. VII 508 ut Simonidis cf. Laert. ad fr. 157. Reitzenstein *Epigr. u. Skol.* p. 111]

Παυσανίην ἰητρὸν ἐπώνυμον Ἀγχίτου υἱόν
φῶτ᾽ Ἀσκληπιάδην πατρὶς ἔθρεψε Γέλα,
ὃς πολλοὺς μογεροῖσι μαραινομένους καμάτοισιν
φῶτας ἀπέστρεψεν Φερσεφόνης ἀδύτων.

1 *πανσανίαν* Anth. *ἀγχίτεω* Anth. 2 *φῶτ᾽* Laert.: *τόνδ᾽* *ἔθαψε* Anth. *γέλα* Laert. P, in ras. B: *πέλας* Anth. Pal.: *κόνις* Plan. 3 *πλείστους* Anth.: *κρυεραῖσι μαρ. ὑπὸ νούσοις* Anth. 4 *ἀπέστρεψε φερσεφόνας* Laert. Anth. Plan.: *φερσεφόνης* Pal. *ἀδύτων* Laert.: *θαλάμων* Anth.

157 [433. 434 K., p. 9 St.]

LAERT. VIII 65 [cf. A 1 p. 78, 15]

Ἄκρον ἰατρὸν Ἄκρων᾽ Ἀκραγαντῖνον πατρὸς Ἄκρου
κρύπτει κρημνὸς ἄκρος πατρίδος ἀκροτάτης.

τινὲς δὲ τὸν δεύτερον στίχον οὕτω προσφέρονται ‘ἀκροτάτης κορυφης τύμβος ἄκρος κατέχει. τοῦτό τινες Σιμωνίδου φασὶν εἶναι [inde Suidas s. v. Ἄκρων et Tzetzes Schol. in Herm. Cram. A. Ox. IV 119]

ἰατρὸν P¹B: *ἰητρὸν* corr. P² Ἄκρου, non ἄκρου cf. Reitzenstein *Epigr. u. Skôl.* p. 119

158 [389 St.]

ἀλῶνος ἀμερθείς quod affert Stein tamquam Empedoclis ex Hieroclis l. c. ad fr. 121 est Hom. X 58

159 [145 St.]

σωρευόμενον μέγεθος, quod Stein Empedocleum credit, sumpsit ex Arist. de gener. et corr. A 8. p. 325ᵇ 19 Ἐμπεδοκλεῖ δὲ τὰ μὲν ἄλλα φανερὸν ὅτι μέχρι τῶν στοιχείων ἔχει τὴν γένεσιν καὶ τὴν φθοράν, αὐτῶν δὲ τούτων πῶς γίνεται καὶ φθείρεται τὸ σωρευόμενον μέγεθος οὔτε δῆλον κτλ. est Aristotelea locutio nil poetici habens cf. Metaph. M 2 p. 1076ᵇ 29.

160 [0]

Quae idem Stein Philol. XV 143 ex Crameri An. Ox. III 184 supplebat Empedoclea, ea animi causa ficta esse ab homine byzantino evici *Hermae* XV 177. poeta est Michael Italicus episcopus Philippopolitanus s. XII medii cf. M. Treu *Byz. Zeitschr.* IV 1 sqq.

161 [0]

Sphaera, quae sub Empedoclis falso nomine, quod imposuit Demetrius Triclinius, fertur, nuper edita est a F. Wieck (diss. Gryph.) 1897 et E. Maass *Comm. in Arat. reliqu.* 154 sqq. cf. Elter *Analecta Graeca* Bonn 1899 (Natalic. reg.) p. 41

6. SCYTHINUS TEIUS.

A. TESTIMONIA.

1. Stephanus Byz. s. v. *Τέως.* *ἔστι γὰρ πρῶτον Τέιος καὶ Τεῖος καὶ ἰωνικῶς Τήϊος· ἀφ' οὗ Πρωταγόρας Τήιος καὶ Σκυθῖνος ἰάμβων ποιητὴς Τήιος* [cf. Scythinus Anacreontis pater].

2. Laert. Diog. IX 16 *Ἱερώνυμος* [fr. 23 Hiller] *δέ φησι καὶ Σκυθῖνον τὸν τῶν ἰάμβων ποιητὴν ἐπιβαλέσθαι τὸν ἐκείνου* [Heracliti] *λόγον διὰ μέτρου ἐκβαλεῖν.*

3. Athen. XI 461 F *μνημονεύει δ' αὐτῶν* [scil. *τῶν Κυλικράνων*] *καὶ Σκυθῖνος ὁ Τήιος ἐν τῇ ἐπιγραφομένῃ Ἱστορίῃ λέγων οὕτως· 'Ἡρακλῆς λαβὼν Εὔρυτον καὶ τὸν υἱὸν ἔκτεινε φόρους πρήσσοντας παρ' Εὐβοέων ⟨καὶ⟩ Κυλικρῆνας ἐξεπόρθησε λῃζομένους καὶ αὐτόθι πόλιν ἐδείματο Ἡρακλείην τὴν Τρηχινίην* [*ἡράκλειαν τ. τρηχινίαν* liber] *καλεομένην'.*

Scythinus, Hecataei in Historia idemque Heracliti in philosophia imitator, ab Hieronymo laudatus non potest non fuisse saeculo quarto, fortasse exeunte. nam tum (ut Menecrates Ephesius, postea Cleanthes Assius demonstrant) revixit in Asia Heracliti disciplina. Scythini vel Scythii musa puerilis (Anth. XII 22. 232) ab illo aliena.

B. FRAGMENTA.

ΣΚΥΘΙΝΟΥ ΙΑΜΒΟΙ ΠΕΡΙ ΦΥΣΕΩΣ.

1

Plut. de Pyth. orac. 16 p. 402 A (de Megarensibus) *ὕστερον μέντοι πλῆκτρον ἀνέθηκαν τῷι θεῷι χρυσοῦν ἐπιστήσαντες ὡς ἔοικε Σκυθίνωι λέγοντι περὶ τῆς λύρας,*

ἣν ἁρμόζεται
Ζηνὸς εὐειδὴς Ἀπόλλων πᾶσαν, ἀρχὴν καὶ τέλος
συλλαβών, ἔχει δὲ λαμπρὸν πλῆκτρον ἡλίου φάος.

cf. Clem. Strom. VIII 49 p. 674 P. *οὐκ ἀνέγνωσαν δ' οὗτοι Κλεάνθην τὸν φιλόσοφον ὃς ἄντικρυς πλῆκτρον τὸν ἥλιον καλεῖ. ἐν γὰρ ταῖς ἀνατολαῖς ἐρείδων τὰς αὐγὰς οἷον πλήσσων τὸν κόσμον εἰς τὴν ἐναρμόνιον πορείαν τὸ φῶς ἄγει, ἐκ δὲ τοῦ ἡλίου σημαίνει καὶ τὰ ἄστρα.* Cleanthes ut Scythinus Hera-

cliti physiologiam et etymologiam illustrat. velut priora elucent ex fragmentis 51 *οὐ ξυνιᾶσι ὅκως διαφερόμενον ἑωυτῶι ὁμολογεῖ· παλίντροπος ἁρμονίη ὁκωσπερ τόξου καὶ λύρης* et 103 *ξυνὸν ἀρχὴ καὶ πέρας ἐπὶ κύκλου περιφερείας*

2

Stob. Ecl. I 8, 43 *ἐκ τοῦ Σκυθίνου Περὶ φύσεως. χρόνος ἐστὶν ὕστατον καὶ πρῶτον πάντων καὶ ἔχει ἐν ἑαυτῶι πάντα καὶ ἔστιν εἷς ἀεὶ καὶ οὐκ ἔστιν, ὁ παροιχόμενος ἐκ τοῦ ἐόντος αὐτῶι ἐναντίην ὁδὸν παρεωνιατῶν. τὸ γὰρ αὔριον ἡ μὲν τῶι ἔργωι χθὲς ἔστιν, τὸ δὲ χθὲς αὔριον.* Stobaeus ut Placitis aptaret versus solvit, quos reiectis priorum periculis vel hexametros vel scazontas vel iambos adgnoscentium trochaeos esse perspexit Wilamowitz *Coniectanea* Gott. 1884 p. 18. Stobaei verba post *ἐόντος* corrupta secutus Wilamowitzium, qui sensum Heracliteum aperuit, sic corrigam: *αὐτός τε ⟨τὴν⟩ ἐναντίην ὁδὸν παρεὼν ἑατῶι. ἡμὶν* viderat Heeren. Scythini autem versus plerosque certo recuperavit Wilamowitz:

πάντων χρόνος
ὕστατον καὶ πρῶτόν ἐστι, κἀν ἑαυτῶι πάντ᾽ ἔχει
κἄστιν εἷς κοὐκ ἔστιν. αἰεὶ δ᾽ ἐξ ἐόντος οἴχεται
καὶ πάρεστιν αὖτις αὐτὸς τὴν ἐναντίην ὁδόν.
αὔριον γὰρ ἡμὶν ἔργωι χθές, τὸ δὲ χθὲς αὔριον.

v. 4 praetulerim *αὐτὸς αὐτῶι*

7. MENECRATES EPHESIUS

Suid. s. v. Ἄρατος. *ἀκουστὴς δὲ ἐγένετο γραμματικοῦ μὲν τοῦ Ἐφεσίου Μενεκράτους.*

ΜΕΝΕΚΡΑΤΟΥΣ ΕΡΓΩΝ Ā B̄

Varro r. r. I 1, 9 in rei rusticae scriptorum catalogo: *hi quos dixi omnes soluta oratione scripserunt, easdem res etiam quidam versibus, ut Hesiodus Ascraeus, Menecrates Ephesius.*

prior liber citatus fr. 1. non plures duobus fuisse conicio ex Nicandri Georgicorum imitatione.

1

Etym. Genuin. s. v. *ἠθμὸς καὶ ἠθένειον ἐργαλεῖον διατετρημένον πολλαῖς τρύπαις δι' οὗ τὸ ὑγρὸν εἰώθασι* [sic Gud.] *διακρίνειν τῶν παχύτερων, ὡς φησι Μενεκράτης ἐν Ἔργων ā*

ἠθμῶι δὲ προπάροιθεν ἀφαρπάζει νέον αἰεί
ἀφρόν.

1 *ἀφαρπάζειν* Flor. 2 puto olivae pressae amurcam.

2

Schol. Eur. Rhes. ad v. 529 *ἑπτάπορoι Πλειάδες: τῶν περὶ τὸν Μενεκράτην ἐν διδύμοις τὸν ἥλιον λεγόντων, ἐν ὧι τὰ τῆς καταστάσεως τῶν φαινομένων ὅπως εἶχε* [ἔχει ὅπως transp. Wilamowitz] *πρόκειται, εἰσὶν* [δὲ] *οἳ φασι περὶ τὰς ἐσχάτας μοίρας τοῦ καρκίνου εἶναι τότε τὸν ἥλιον.* cf. Maass *Aratea* p. 328

3

ad Nicandri Al. v. 171 sqq.

καί τε σύ γ' ἀγλεύκην βάψαις ἰόεντα θάλασσαν,
ἣν τε καὶ ἀτμεύειν ἀνέμοις πόρεν Ἐννοσίγαιος
σὺν πυρί. καὶ γὰρ δὴ τὸ πνοαῖς συνδάμναται ἐχθραῖς·
πῦρ μὲν ἀείζωον καὶ ἀχύνετον ἔτρεσεν ὕδωρ
175 *ἀργέστας. καὶ ῥ' ἡ μὲν ἀκοσμήεσσα, φιλοργὴς*
δεσπόζει νηῶν τε καὶ ἐμφθορέων αἰζηῶν,
ὕλη δ' ἐχθομένοιο πυρὸς κατὰ θεσμὸν ἀκούει.

Schol. adnotat (172) *ὅτι δὲ δουλεύει ἡ θάλασσα καὶ τὸ πῦρ ἀνέμοις, κατὰ θεῖον νόμον δηλονότι, τοῦτο δὲ καὶ Ἡράκλειτος καὶ Μενεκράτης εἴρηκεν.* 174

ἐκτίθεσθαι οὖν βούλεται διὰ τούτων καὶ Ἡράκλειτος, ὅτι πάντα ἐναντία ἀλλήλοις ἐστὶ κατ' αὐτόν. 176 *τῇι γὰρ θαλάσσηι ὑπόκεινται τὰ πλοῖα, τῶι δὲ πυρὶ ἡ ὕλη.* Heraclitus verus adparet in elementorum mutuo servitio (cf. fr. 84) nec *πῦρ ἀείζωον* (fr. 30) discrepat. at aëris ut quarti elementi vis praeter *πῦρ, θάλασσαν, γῆν* (*νῆες, ὕλη*) accita aliena videtur ab Heraclito. et multi post Empedoclem eius rationem sic amplificaverunt, inprimis Stoici. nec tamen propterea illico Stoicus Menecrates, quod visum est Odero (Susemihl *Al. Litt.* I 284[2]).

Ad *ΜΕΛΙΣΣΟΥΡΓΙΚΑ* quae Nicandri exemplo fuisse sumo (sive peculari titulo sive comprehensa in *Ἔργοις*) pertinent

4

Varro R. r. III 16, 18 *et quidam dicunt, tria genera cum sint ducum in apibus, niger ruber varius, ut Menecrates scribit, duo, niger et varius, qui ita melior, ut expediat mellario, cum duo sint ⟨in⟩ eadem alvo, interficere nigrum, cum sit cum altero rege, esse seditiosum et corrumpere alvom, quod fuget aut cum multitudine fugetur.*

5

Plin. H. N. Ind. l. VIII (de animalibus feris et domesticis) *Menecrate poeta*; l. XI item post Nicandrum; XI 17 de erithaca apium cibo: *Menecrates florem esse dicit futurae messis indicium, sed nemo praeter eum.*

---

8. SMINTHES

1. Arati Vita 2, 5 p. 324, 11 Maass. *πολλοὶ γὰρ καὶ ἄλλοι* (praeter Aratum) *Φαινόμενα ἔγραψαν καὶ Κλέοστρατος καὶ Σμίνθης καὶ Ἀλέξανδρος ὁ Αἰτωλός κτλ.* (cf. supra p. 19 n. 2)

2. Avienus 582 (de Pliadibus)

cerni sex solas carmine Minthes
adserit, Electram caelo abscessisse profundo
ob formidatum memorat prius Oriona.

'*in Catasterismis igitur* (Eratosthenis) *haec fabula ex Minthe narrata erat, quem a Sminthe diversum non esse iam dudum intellectum est.*' Robert *Erat. catast.* p. 28

---

9. TIMON PHLIASIUS

A. TESTIMONIA VITAE ET SCRIPTORUM

1. Laertius Diogenes IX 109—115.

Ἀπολλωνίδης ὁ Νικαεύς, ὁ παρ' ἡμῶν, ἐν τῷι πρώτωι τῶν 109
εἰς τοὺς Σίλλους ὑπομνήματι, ἃ προσφωνεῖ Τιβερίωι Καίσαρι, φησὶ
τὸν Τίμωνα εἶναι πατρὸς μὲν Τιμάρχου, Φλιάσιον δὲ τὸ γένος·
νέον δὲ καταλειφθέντα χορεύειν, ἔπειτα καταγνόντα ἀποδημῆσαι
εἰς Μέγαρα πρὸς Στίλπωνα· κἀκείνωι συνδιατρίψαντα αὖθις ἐπαν-
ελθεῖν οἴκαδε καὶ γῆμαι. εἶτα πρὸς Πύρρωνα εἰς Ἦλιν ἀποδημῆ-
σαι μετὰ ⟨τῆς⟩ γυναικὸς κἀκεῖ διατρίβειν ἕως αὐτῶι παῖδες ἐγένοντο,
ὧν τὸν μὲν πρεσβύτερον Ξάνθον ἐκάλεσε καὶ ἰατρικὴν ἐδίδαξε καὶ
διάδοχον τοῦ βίου κατέλιπεν. (ὁ δὲ ἑλλόγιμος ἦν, ὡς καὶ Σωτίων 110
ἐν τῶι ἑνδεκάτωι φησίν). ἀπορῶν μέντοι τροφῶν ἀπῆρεν εἰς τὸν
Ἑλλήσποντον καὶ τὴν Προποντίδα· ἐν Χαλκηδόνι τε σοφιστεύων
ἐπὶ πλέον ἀποδοχῆς ἠξιώθη· ἐντεῦθέν τε πορισάμενος ἀπῆρεν εἰς
Ἀθήνας, κἀκεῖ διέτριβε μέχρι καὶ τελευτῆς, ὀλίγον χρόνον εἰς Θήβας
διαδραμών. ἐγνώσθη δὲ καὶ Ἀντιγόνωι τῶι βασιλεῖ καὶ Πτολε-
μαίωι τῶι Φιλαδέλφωι, ὡς αὐτὸς ἐν τοῖς ἰάμβοις αὐτῶι μαρτυρεῖ.
ἦν δέ, φησὶν ὁ Ἀντίγονος [p. 42 Wil.] καὶ φιλοπότης καὶ ἀπὸ τῶν
φιλοσόφων εἰ σχόλαζοι, ποιήματα συνέγραφε. καὶ γὰρ καὶ ἔπη καὶ
τραγωιδίας καὶ σατύρους (καὶ δράματα κωμικὰ τριάκοντα, τὰ δὲ

---

1 ὁ παρ' ἡμῶν aut *popularis* (Reiske) aut *sectae nostrae particeps* i. e. scepticus 2 ὑπομνήματι PB²F: ὑπομνημάτων B¹. commentario Vitam praemiserat more solito Apollonides, quocum Sotionem iunxit Nicias. praeterea aliquem pinacographum haud dextre infersit Laertius. fons vitae primarius est Antigonus Carystius (Wilamowitz *Philol. Unters.* IV) 4 Apollonidi ipsi Φλειάσιον reddendum esset 6 ἐπιδημῆσαι B 7 τῆς add. Cobet 8 ἐδίδαξε Timon, ut conexus docet 9 ὁ δ' (sic libri) maior filius (non Timo), intruso Sotionis emblemate iunioris memoria intercidit 15 ἰάμβοις, Sillorum prooemium intellego cf. Xenophan. A 1 p. 20, 7 17 φιλοσόφων neutr. εἰ σχολάζοι scripsi: ἐσχόλαζε libri καὶ γὰρ ante ποιήματα interpolate FP². audiendum συνέγραφε e prioribus. nam Antigoni ecloga, quae continuatur p. 174, 17, interrumpitur Laertii miscella compilatione καὶ γὰρ – ὁδ' οὖν φιλόσοφος 18 τὰ δὲ τραγικὰ

τραγικὰ ἑξήκοντα) σίλλους τε καὶ κιναίδους. φέρεται δ' αὐτοῦ 111
καὶ καταλογάδην βιβλία (εἰς ἐπῶν τείνοντα μυριάδας δύο), ὧν καὶ
Ἀντίγονος ὁ Καρύστιος μέμνηται, ἀναγεγραφὼς αὐτοῦ καὶ αὐτὸς
τὸν βίον. τῶν δὲ Σίλλων τρία ἐστίν, ἐν οἷς ὡς ἂν σκεπτικὸς ὢν
πάντας λοιδορεῖ καὶ σιλλαίνει τοὺς δογματικοὺς ἐν παρωιδίας εἴδει.
ὧν τὸ μὲν πρῶτον αὐτοδιήγητον ἔχει τὴν ἑρμηνείαν, τὸ δὲ δεύτε-
ρον καὶ τρίτον ἐν διαλόγου σχήματι. φαίνεται γοῦν ἀνακρίνων Ξενο-
φάνη τὸν Κολοφώνιον περὶ ἑκάστων, ὁ δὲ αὐτῶι διηγούμενός ἐστι·
καὶ ἐν μὲν τῶι δευτέρωι περὶ τῶν ἀρχαιοτέρων, ἐν δὲ τῶι τρίτωι
περὶ τῶν ὑστέρων· ὅθεν δὴ αὐτῶι τινες καὶ Ἐπίλογον ἐπέγραψαν.
τὸ δὲ πρῶτον ταὐτὰ περιέχει πράγματα, πλὴν ὅτι μονοπρόσωπός 112
ἐστιν ἡ ποίησις· ἀρχὴ δὲ αὐτῶι ἥδε, ‘ἔσπετε — σοφισταί’ [fr. 1].
ἐτελεύτησε δ' ἐγγὺς ἐτῶν ἐνενήκοντα, ὡς φησιν ὁ Ἀντίγονος (καὶ
Σωτίων ἐν τῶι ἑνδεκάτωι). τοῦτον ἐγὼ καὶ ἑτερόφθαλμον ἤκουσα,
ἐπεὶ καὶ αὐτὸς αὑτὸν Κύκλωπα ἐκάλει.

γέγονε καὶ ἕτερος Τίμων ὁ μισάνθρωπος. ὁ δ' οὐκ φιλόσοφος
καὶ φιλόκηπος ἦν σφόδρα καὶ ἰδιοπράγμων, ὡς καὶ Ἀντίγονός φησι.
λόγος γοῦν εἰπεῖν Ἱερώνυμον τὸν Περιπατητικὸν [om. Hiller] ἐπ'
αὐτοῦ· ‘ὡς παρὰ τοῖς Σκύθαις καὶ οἱ φεύγοντες τοξεύουσι καὶ οἱ
διώκοντες, οὕτω τῶν φιλοσόφων οἱ μὲν διώκοντες θηρῶσι τοὺς
μαθητάς, οἱ δὲ φεύγοντες, καθάπερ καὶ ὁ Τίμων.’ ἦν δὲ καὶ 113
ὀξὺς νοῆσαι καὶ διαμυκτηρίσαι· φιλογράμματός τε καὶ τοῖς ποιη-
ταῖς μύθους γράψαι ἱκανὸς καὶ δράματα συνδιατιθέναι. μετεδίδου
δὲ τῶν τραγωιδιῶν Ἀλεξάνδρωι καὶ Ὁμήρωι. θορυβούμενός τε
ὑπὸ τῶν θεραπαινῶν καὶ κυνῶν ἐποίει μηδέν, σπουδάζων περὶ τὸ
ἠρεμάζειν. φασὶ δὲ καὶ Ἄρατον πυθέσθαι αὐτοῦ πῶς τὴν Ὁμήρου
ποίησιν ἀσφαλῆ κτήσαιτο, τὸν δὲ εἰπεῖν, ‘εἰ τοῖς ἀρχαίοις ἀντι-
γράφοις ἐντυγχάνοι καὶ μὴ τοῖς ἤδη διωρθωμένοις’. εἰκῆ τε αὐτῶι
ἔκειτο τὰ ποιήματα, ἐνίοτε ἡμίβρωτα· ὥστε καὶ Ζωπύρωι τῶι 114
ῥήτορι ἀναγινώσκοντά τι ἐπιτυλίττειν καὶ κατὰ τὸ ἐπελθὸν διεξιέ-

---

P: δὲ τραγικὰ B: τραγικὰ δὲ F. nota pinacographorum stultum emblema, qui dum τραγωιδίας καὶ σατύρους explicant, comicos absurde adsciscunt (cf. *Berl. Sitz.* 1897, 1073). item Schol. Arist. Pac. 835 ἔγραψε δὲ [Ion praeter tragoedias] καὶ κωμωιδίας καὶ ἐπιγράμματα κτλ. similiter δράματα τραγικά in Pindari pinace Suidiano. 2 confusae pinacographi et Antigoni memoriae 4—12 Apollonidea 10 ὅτ' αὐτῶι P^2: δὲ αὐτὸν B: ὅτ' αὐτό F: αὐτὸν P^1 16 καὶ BP: δὲ καὶ F 25 ἐποίει μηδέν] sc. ποίημα 26 ἠρεμάζειν P^1 mrg.: ἠρέμα ζῆν P^1BF 29 Zopyrus Clazomenius ap. Quint. III 6, 3 30 ἀναγινώσκοντά τι Cobet: ἀναγινώσκοντι PF: ἀναγινώσκοντα B; legere incipiebat a fortuito oco, quia evolvens initium non invenerat abscissum, ut saepe fiebat; tum in medio libro, quod perire crediderat, repperit

ναι· ἐλθόντα τε ἐφ' ἡμισείας, οὕτως εὑρεῖν τὸ ἀπόσπασμα τέως ἀγνοοῦντα. τοσοῦτον ἦν ἀδιάφορος, ἀλλὰ καὶ εὔρους, ὡς μηδ' ἀριστᾶν συγχρονεῖν. φασὶ δὲ αὐτὸν Ἀρκεσίλαον θεασάμενον διὰ τῶν Κερκώπων ἰόντα εἰπεῖν· 'τί σὺ δεῦρο, ἔνθαπερ ἡμεῖς οἱ ἐλεύθεροι;' συνεχές τε ἐπιλέγειν εἰώθει πρὸς τοὺς τὰς αἰσθήσεις μετ' ἐπιμαρτυροῦντος τοῦ νοῦ ἐγκρίνοντας·

'συνῆλθεν ἀτταγᾶς τε καὶ νουμήνιος'.

εἰώθει δὲ καὶ παίζειν τοιαῦτα. πρὸς οὖν τὸν θαυμάζοντα πάντα ἔφη· 'τί δ' οὐ θαυμάζεις ὅτι τρεῖς ὄντες τέτταρας ἔχομεν ὀφθαλμούς'; ἦν δὲ αὐτός τε ἑτερόφθαλμος καὶ ὁ Διοσκουρίδης μαθητὴς αὐτοῦ, καὶ ὁ πρὸς ὃν ἔλεγεν ὑγιής. ἐρωτηθεὶς δέ ποτε ὑπὸ 115
Ἀρκεσιλάου διὰ τί παρείη ἐκ Θηβῶν, ἔφη· 'ἵν' ὑμᾶς ἀναπεπταμένους ὁρῶν γελῶ.' ὅμως δὲ καθαπτόμενος τοῦ Ἀρκεσιλάου ἐν τοῖς Σίλλοις ἐπήινεκεν αὐτὸν ἐν τῶι ἐπιγραφομένωι Ἀρκεσιλάου περιδείπνωι.

3 *συγχρονεῖν* PF: *συγχωρεῖν* B. conicio *συχνόν*: *tantopere fluebant versus illi, ut saepe prandii obliviscereturr* 4 in *Κερκώπων ἀγορᾶι*, ubi Sillus et Triballus regnant, Timonis est perfecti sceptici locus, non Arcesilai de quo fr. 31—34 6 *ἐκκρίνοντας* B 7 'sensus et mens fures furacissimi se iungunt'. 10 *τε* om. B 11 *ὑπὸ τοῦ* F 12 *παρῆει* P *ἀναπεπταμένους apertos, detectos* vix quadrat. an *ἀνιπταμένους evolantes* ut palumbes viso vulture? *ἀνατεταμένους excitatos* Wilam. 13 *τοῦ* BPF: om. vulgo

2. Ex Aristoclis Peripatetici *Περὶ φιλοσοφίας* [Eus. P. E. XIV 18, 1—30 *Πρὸς τοὺς κατὰ Πύρρωνα Σκεπτικοὺς ἢ καὶ Ἐφεκτικοὺς ἐπικληθέντας μηδὲν καταληπτὸν εἶναι ἀποφηναμένους. ἐκ τοῦ Ἀριστοκλέους*].

ἀναγκαίως δ' ἔχει πρὸ παντὸς διασκέψασθαι περὶ τῆς αὐτῶν 1
ἡμῶν γνώσεως· εἰ γὰρ αὐτοὶ μηδὲν πεφύκαμεν γνωρίζειν, οὐδὲν ἔτι δεῖ περὶ τῶν ἄλλων σκοπεῖν. ἐγένοντο μὲν οὖν καὶ τῶν πάλαι 2
τινὲς οἱ ἀφέντες τήνδε τὴν φωνήν, οἷς ἀντείρηκεν Ἀριστοτέλης. ἴσχυσε μέντοι τοιαῦτα λέγων καὶ Πύρρων ὁ Ἠλεῖος· ἀλλ' αὐτὸς μὲν οὐδὲν ἐν γραφῇι καταλέλοιπεν, ὁ δὲ μαθητὴς αὐτοῦ Τίμων φησὶ δεῖν τὸν μέλλοντα εὐδαιμονήσειν εἰς τρία ταῦτα βλέπειν· πρῶτον μὲν ὁποῖα πέφυκε τὰ πράγματα, δεύτερον δὲ τίνα χρὴ τρόπον ἡμᾶς πρὸς αὐτὰ διακεῖσθαι, τελευταῖον δὲ τί περιέσται τοῖς οὕτως ἔχουσι. τὰ μὲν οὖν πράγματά φησιν αὐτὸν ἀποφαί- 3

2 *ἡμῶν αὐτῶν* BI *αὐτοὶ* scripsi cf. § 10: *αὖ* libri 3 *δεῖν* CG 7 *φησί*] fortasse in libro quodam *Περὶ εὐδαμονίας*, cuius nullum vestigium reliquum. at idem potuit etiam in libris *Πρὸς τοὺς φυσικούς* et *Περὶ αἰσθήσεων* dici

νειν ἐπ' ἴσης ἀδιάφορα καὶ ἀστάθμητα καὶ ἀνεπίκριτα· διὰ τοῦτο μήτε τὰς αἰσθήσεις ἡμῶν μήτε τὰς δόξας ἀληθεύειν ἢ ψεύδεσθαι. διὰ τοῦτο οὖν μηδὲ πιστεύειν αὐταῖς δεῖν, ἀλλ' ἀδοξάστους καὶ ἀκλινεῖς καὶ ἀκραδάντους εἶναι, περὶ ἑνὸς ἑκάστου λέγοντας ὅτι οὐ μᾶλλον ἔστιν ἢ οὐκ ἔστιν, ἢ καὶ ἔστι καὶ οὐκ ἔστιν, ἢ οὔτε ἔστιν οὔτε οὐκ ἔστιν. τοῖς μέντοι γε διακειμένοις οὕτω περιέσεσθαι Τίμων φησὶ πρῶτον μὲν ἀφασίαν, ἔπειτα δ' ἀταραξίαν, Αἰνησίδημος δ' ἡδονήν. τὰ μὲν οὖν κεφάλαια τῶν λεγομένων ἐστὶ ταῦτα· σκεψώμεθα δ' εἰ ὀρθῶς λέγουσιν. ἐπεὶ τοίνυν ἐπ' ἴσης ἀδιάφορα πάντα φασὶν εἶναι καὶ διὰ τοῦτο κελεύουσι μηδενὶ προστίθεσθαι μηδὲ δοξάζειν, εἰκότως ἂν οἶμαι πύθοιτό τις αὐτῶν, ἆρά γε διαμαρτάνουσιν οἱ διαφέρειν αὐτὰ νομίζοντες ἢ οὔ; πάντως γάρ, εἰ μὲν ἁμαρτάνουσιν, οὐκ ὀρθῶς ὑπολαμβάνοιεν ἄν. ὥστε ἀνάγκη λέγειν αὐτοῖς εἶναί τινας τοὺς τὰ ψευδῆ περὶ τῶν ὄντων δοξάξοντας· αὐτοὶ τοίνυν εἶεν ἂν οἱ τἀληθῆ λέγοντες· οὕτω δὲ εἴη ἂν ἀληθές τι καὶ ψεῦδος. εἰ δ' οὐχ ἁμαρτάνομεν οἱ πολλοὶ τὰ ὄντα διαφέρειν οἰόμενοι, τί μαθόντες ἐπιπλήττουσιν ἡμῖν; αὐτοὶ γὰρ ἁμαρτάνοιεν ἂν ἀξιοῦντες μὴ διαφέρειν αὐτά. καὶ μὴν εἰ καὶ δώιημεν αὐτοῖς ἐπ' ἴσης ἀδιάφορα πάντα εἶναι, δῆλον ὡς οὐκ ἂν διαφέροιεν οὐδ' αὐτοὶ τῶν πολλῶν. τίς οὖν εἴη ἂν αὐτῶν ἡ σοφία; καὶ διὰ τί Τίμων τοῖς μὲν ἄλλοις λοιδορεῖται πᾶσι, Πύρρωνα δ' ὑμνεῖ μόνον; ἔτι γε μὴν εἰ πάντα ἐπ' ἴσης ἐστὶν ἀδιάφορα καὶ διὰ τοῦτο χρὴ μηδὲν δοξάζειν, οὐκ ἂν οὐδὲ ταῦτα διαφέροι· λέγω δὲ τὸ διαφέρειν ἢ μὴ διαφέρειν καὶ τὸ δοξάζειν ἢ μὴ δοξάζειν. τί γᾶρ μᾶλλον τοιαῦτά ἐστιν ἢ οὐκ ἔστιν; ἦ, ὡς φησι Τίμων, διὰ τί ναὶ καὶ διὰ τί οὔ, καὶ αὐτὸ τὸ διὰ τί διὰ τί; φανερὸν οὖν ὡς ἀναιρεῖται τὸ ζητεῖν. ὥστε παυσάσθωσαν ἐνοχλοῦντες. ἐπεὶ νῦν γε μεμήνασι πόρρω τέχνης ἅμα μὲν ἡμῖν διακελευόμενοι μὴ δοξάζειν, ἅμα δὲ κελεύοντες αὐτὸ τοῦτο ποιεῖν, καὶ λέγοντες ὡς περὶ οὐδενὸς ἀποφαίνεσθαι δέοι κἄπειτα ἀποφαινόμενοι. καὶ ἀξιοῦσι μὲν μηδενὶ συγκατατίθεσθαι, πείθεσθαι δὲ αὐτοῖς κελεύουσιν· εἶτα λέγοντες μηδὲν εἰδέναι πάντας ἐλέγχουσιν ὡς εὖ εἰδότες. ἀνάγκη τε τοὺς φάσκοντας ὡς ἄδηλα

---

1 *ἀνέγκριτα* BI 5 *ἢ οὔτε ἔστιν* om. BI 6 *γε* om. BI 7 cf. Laert. IX 107 *τέλος οἱ σκεπτικοί φασι τὴν ἐποχήν, ἣι σκιᾶς τρόπον ἐπακολουθεῖ ἡ ἀταραξία, ὥς φασιν οἵ τε περὶ Τίμωνα καὶ Αἰνεσίδημον* Sext. Pyrrh. Hypot. I 29 *ἐπισχοῦσι δὲ αὐτοῖς οἷον τυχικῶς ἡ ἀταραξία παρηκολούθησεν ὡς σκιὰ σώματι* 15 *ἄν* om. CG 21 *αὐτῶν ἄν* colloc. CG 23 *ἀδιάφορα πάντα ἐπ' ἴσης ἐστὶ* CG: *ἐπ' ἴσης ἐ. ἀδιάφ. πάντα* ceteri: transposui propter hiatum 26 *διὰ τί* alterum om. plurimi codd.: add. cod. D, *τὸ* post *αὐτὸ* om. G (non C)

πάντα εἴη δυοῖν θάτερον, ἢ σιωπᾶν ἢ ἀποφαίνεσθαί τι καὶ λέγειν. εἰ μὲν οὖν ἡσυχίαν ἄγοιεν, δῆλον ὅτι πρός γε τοὺς τοιούτους οὐδεὶς ἂν εἴη λόγος· εἰ δ' ἀποφαίνοιντο, πάντηι τε καὶ πάντως εἶναί τι φαῖεν ἂν ἢ μὴ εἶναι, καθάπερ ἀμέλει νυνί φασιν ὡς εἴη πάντα ἄγνωστα καὶ νομιστὰ πᾶσι, ὡς δ' οὐδέν. τοῦτο τοίνυν ὁ ἀξιῶν 9 ἤτοι δηλοῖ τὸ πρᾶγμα καὶ ἔνεστιν αὐτὸ συνεῖναι λεγόμενον, ἢ οὐκ ἔνεστιν. ἀλλ' εἰ μὲν οὐ δηλοῖ, καθάπαξ οὐδεὶς οὐδ' οὕτω πρὸς τὸν τοιοῦτον ἂν εἴη λόγος. εἰ δὲ σημαίνοι, πάντως ἢ ἄπειρα λέγοι ἂν ἢ πεπερασμένα· καὶ εἰ μὲν ἄπειρα, οὐδ' οὕτως ἂν εἴη λόγος πρὸς αὐτόν· ἀπείρου γὰρ γνῶσις οὐκ ἔστι· πεπερασμένων δὲ ὄντων τῶν δηλουμένων ἢ ἑνὸς ὁτουοῦν ὁ τοῦτο λέγων ὁρίζει τι καὶ κρίνει. πῶς οὖν ἄγνωστα καὶ ἀνεπίκριτα πάντα εἴη ἄν; εἰ δὲ φαίη ταὐτὸ εἶναι καὶ μὴ εἶναι, πρῶτον μὲν ἔσται ταὐτὸ καὶ ἀληθὲς καὶ ψεῦδος, ἔπειτα δ' ἐρεῖ τι καὶ οὐκ ἐρεῖ, καὶ λόγωι χρώμενος ἀναιρήσει λόγον, ἔτι δὲ ὁμολογῶν ψεύδεσθαι πιστεύειν ἑαυτῶι φησι δεῖν. ἄξιον δὲ ζητῆσαι πόθεν καὶ μαθόντες ἄδηλα πάντα φασὶν 10 εἶναι. δεῖ γὰρ εἰδέναι πρότερον αὐτούς, τί δή ποτέ ἐστι τὸ δῆλον· οὕτω γοῦν ἂν ἔχοιεν λέγειν ὡς οὐκ εἴη τὰ πράγματα τοιαῦτα. πρῶτον γὰρ εἰδέναι χρὴ τὴν κατάφασιν, εἶτα τὴν ἀπόφασιν. εἰ δὲ ἀγνοοῦσιν ὁποῖόν ἐστι τὸ δῆλον, οὐκ ἂν εἰδεῖεν οὐδὲ τί τὸ ἄδηλον. ὁπόταν γε μὴν Αἰνησίδημος ἐν τῆι Ὑποτυπώσει τοὺς ἐν- 11 νέα διεξίηι τρόπους (κατὰ τοσούτους γὰρ ἀποφαίνειν ἄδηλα τὰ πράγματα πεπείραται) πότερον αὐτὸν φῶμεν εἰδότα λέγειν αὐτοὺς ἢ ἀγνοοῦντα; φησὶ γὰρ ὅτι τὰ ζῶια διαφέρει καὶ ἡμεῖς αὐτοὶ καὶ αἱ πόλεις καὶ οἱ βίοι καὶ τὰ ἔθη καὶ οἱ νόμοι· καὶ τὰς αἰσθήσεις δέ φησιν ἡμῶν ἀσθενεῖς εἶναι καὶ πολλὰ τὰ ἔξωθεν λυμαινόμενα τὴν γνῶσιν, ἀποστήματα καὶ μεγέθη καὶ κινήσεις· ἔτι δὲ τὸ μὴ ὁμοίως διακεῖσθαι νέους καὶ πρεσβυτέρους καὶ ἐγρηγορότας καὶ κοιμωμένους καὶ ὑγιαίνοντας καὶ νοσοῦντας· οὐδενός τε ἡμᾶς ἁπλοῦ καὶ ἀκραιφνοῦς ἀντιλαμβάνεσθαι. πάντα γὰρ εἶναι συγκεχυμένα, καὶ πρός τι λεγόμενα. ταῦτα δέ, φημί, καὶ τὰ τοιαῦτα κομψολογοῦντα αὐτὸν 12 ἡδεώς ἄν τις ἤρετο, πότερον εὖ εἰδὼς λέγει, διότι τὰ πράγματα τοῦτον ἔχει τὸν τρόπον ἢ ἀγνοῶν· εἰ μὲν γὰρ οὐκ ἤιδει, πῶς ἂν ἡμεῖς αὐτῶι πιστεύοιμεν; εἰ δ' ἐγίνωσκε, κομιδῆι τις ἦν ἠλίθιος ἅμα μὲν ἄδηλα πάντα ἀποφαινόμενος, ἅμα δὲ τοσαῦτα λέγων εἰδέναι· καὶ μὴν ὁπότε γε τοιαῦτα διεξίοιεν, οὐδὲν ἀλλ' ἢ ἐπαγωγήν 13

---

3 εἴη om. C 4 ἢ ante εἶναι addunt vulgo at cf. v. 13 et § 20 ὡς libri: γνωστὸν vulg.; fortasse νομιστά, παγίως δ' οὐδέν ⟨καταληπτόν⟩ cf. Sext. VIII 186 13 ταὐτὸ εἶναι CG: ταὐτὸ καὶ εἶναι ceteri vulgo 22 διεξῄει libri 32 λέγει CG: λέγοι ceteri

τινα λέγουσι δεικνύντες, ὁποῖ' ἄττα εἴη τὰ φαινόμενα καὶ τὰ καθ' ἕκαστα· τὸ δὲ τοιοῦτο ἔστι καὶ λέγεται πίστις. εἰ μὲν οὖν αὐτῇ συγκατατίθενται, δῆλον ὅτι δοξάζουσιν· εἰ δ' οὐ πιστεύουσιν, οὐδ' ἂν ἡμεῖς προσέχειν αὐτοῖς βουληθείημεν. ὁ γε μὴν Τίμων ἐν τῷ Πύθωνι [fr. 77] διηγεῖται μακρόν τινα κατατείνας λόγον, ὡς ἐντύχοι τῷι Πύρρωνι βαδίζοντι Πυθοῖδε παρὰ τὸ ἱερὸν τὸ τοῦ Ἀμφιαράου καὶ τίνα διαλεχθεῖεν ἀλλήλοις. ἆρ' οὖν οὐκ εὐλόγως ἄν τις αὐτῶι ταῦτα συγγράφοντι παραστὰς εἴποι· 'τί, ὦ πονηρέ, ἐνοχλεῖς σεαυτῶι ταῦτα συγγράφων καὶ ἃ μὴ οἶσθα διηγούμενος;' τί γὰρ μᾶλλον ἐνέτυχες ἢ οὐκ ἐνέτυχες αὐτῶι, καὶ διελέχθης ἢ οὐ διελέχθης; αὐτός τε ἐκεῖνος ὁ θαυμαστὸς Πύρρων ἆρά γε ἤιδει τότε, διότι βαδίζοι Πύθια θεασόμενος, ἢ καθάπερ οἱ μεμηνότες ἐπλανᾶτο κατὰ τὴν ὁδόν; ἡνίκα δ' ἤρξατο κατηγορεῖν τῶν ἀνθρώπων καὶ τῆς ἀνοίας αὐτῶν, φῶμεν αὐτὸν ἀληθῆ λέγειν ἢ μή, καὶ τὸν Τίμωνά παθεῖν τι καὶ συγκαταθέσθαι τοῖς λόγοις ἢ μὴ προσέχειν; εἰ μὲν γὰρ οὐκ ἐπείσθη, πῶς ἀντὶ χορευτοῦ φιλόσοφος ἐγένετο καὶ τὸν Πύρρωνα διετέλεσε θαυμάζων; εἰ δὲ συγκατέθετο τοῖς λεγομένοις, ἄτοπος ἂν εἴη τις, αὐτὸς μὲν φιλοσοφῶν, ἡμᾶς δὲ κωλύων. ἁπλῶς δὲ θαυμάσαι τις ἄν, οἱ Τίμωνος σίλλοι καὶ αἱ κατὰ πάντων ἀνθρώπων βλασφημίαι καὶ αἱ μακραὶ στοιχειώσεις Αἰνησιδήμου καὶ πᾶς ὁ τοιοῦτος ὄχλος τῶν λόγων τί δήποτε βούλεται αὐτοῖς. εἰ μὲν γὰρ οἰόμενοι κρείττους ἡμᾶς ἀπεργάσασθαι ταῦτα γεγράφασι, καὶ διὰ τοῦτο πάντας οἴονται δεῖν ἐλέγχειν ὅπως παυσώμεθα φλυαροῦντες, βούλονται δηλονότι τὴν ἀλήθειαν ἡμᾶς εἰδέναι καὶ ὑπολαβεῖν ὅτι τοιαῦτα εἴη τὰ πράγματα καθάπερ ἄξιοῖ Πύρρων. ὥστε εἰ πεισθείημεν αὐτοῖς, ἐκ χειρόνων βελτίους ἂν γενοίμεθα, κρίναντες τὰ συμφορώτερα καὶ τοὺς ἄμεινον λέγοντας ἀποδεξάμενοι. πῶς οὖν ἐπ' ἴσης ἀδιάφορα τὰ πράγματα καὶ ἀνεπίκριτα δύναιτ' ἂν εἶναι; καὶ πῶς ἀσυγκατάθετοι καὶ ἀδόξαστοι γενοίμεθ' ἄν; εἰ δ' οὐδὲν ὄφελός ἐστι τῶν λόγων, τί μὴν ἐνοχλοῦσιν; ἢ διὰ τί Τίμων φησὶν 'οὐκ ἂν δὴ — ἄλλος;' (fr. 8) οὐ γὰρ μᾶλλον Πύρρωνα θαυμάσαι τις ἂν ἢ τὸν Κόροιβον ἐκεῖνον ἢ τὸν Μελητίδην, οἳ δὴ δοκοῦσι μωρίαι διενεγκεῖν. ἐνθυμεῖσθαι μέντοι χρὴ καὶ ταῦτα. ποῖος γὰρ ἂν γένοιτο πολίτης ἢ δικαστής,

---

2 ἔστι CG: καὶ ἔστι ceteri 4 sqq. cf. Wilamowitz *Antig.* p. 38[b] 5 κατά τινας λόγον CG 10 αὐτῶι post alt. ἐνέτυχες C et fortasse etiam ceteri, post prius Gaisf. 12 τότε διότι C: τὸ διότι G: τὸ διὰ τί ceteri 14 ἀγνοίας Eus.: corr. Wilamowitz φῶμεν CG: ἆρά γε φῶμεν ceteri 22 ἀπεργάσασθαι διὰ τοῦτο CG: ἀπεργάσεσθαι ταῦτα ceteri 24 δηλονότι τὴν ἀλήθειαν] ὅτι C 27 συμφέροντα CG 30 τί μὴν CG (cf. § 7): τί ἡμῖν ceteri

ἢ σύμβουλος ἢ φίλος ἢ ἁπλῶς εἰπεῖν ἄνθρωπος ὅ γε τοιοῦτος; ἢ τί τῶν κακῶν οὐ τολμήσειεν ἂν ὁ μηδὲν ὡς ἀληθῶς οἰόμενος εἶναι κακὸν ἢ αἰσχρὸν ἢ δίκαιον ἢ ἄδικον; οὐδὲ γὰρ ἐκεῖνο φαίη τις ἄν, ὅτι τοὺς νόμους δεδοίκασι καὶ τὰς τιμωρίας οἱ τοιοῦτοι· πῶς γὰρ οἵ γε ἀπαθεῖς καὶ ἀτάραχοι, καθάπερ αὐτοί φασιν, ὄντες; ὅ γέ τοι Τίμων ταῦτα λέγει καὶ περὶ τοῦ Πύρρωνος 'ἀλλ' 19 οἷον — νομοθήκης' (fr. 9). ὁπόταν μέντοι φῶσι τὸ σοφὸν 20 δὴ τοῦτο, διότι δέοι κατακολουθοῦντα τῇι φύσει ζῆν καὶ τοῖς ἔθεσι, μηδενὶ μέντοι συγκατατίθεσθαι, πάνυ τινές εἰσιν εὐήθεις. εἰ γὰρ μηδενὶ ἄλλωι, τούτωι γοῦν αὐτῶι δεῖ συγκαταθέσθαι καὶ ὑπολαβεῖν οὕτως ἔχειν αὐτό. τί δὲ μᾶλλον τῇι φύσει δεῖ κατακολουθεῖν καὶ τοῖς ἔθεσι ἢ οὐ δεῖ, μὴ εἰδότας γε δὴ μηθὲν μηδὲ ἔχοντάς τι ὅτωι κρινοῦμεν; ἐκεῖνο μὲν γὰρ καὶ παντάπασίν ἐστιν ἠλίθιον, ἐπει- 21 δὰν λέγωσιν ὅτι καθάπερ τὰ καθαρτικὰ φάρμακα συνεκκρίνει μετὰ τῶν περιττωμάτων καὶ ἑαυτά, τὸν αὐτὸν τρόπον καὶ ὁ πάντα ἀξιῶν εἶναι λόγος ἄδηλα μετὰ τῶν ἄλλων ἀναιρεῖ καὶ ἑαυτόν. εἰ γὰρ αὐτὸς αὑτὸν ἐλέγχοι, ληροῖεν ἂν οἱ χρώμενοι τοιούτωι. βέλτιον οὖν ἡσυχίαν ἄγειν αὐτοὺς καὶ μηδὲ τὸ στόμα διαίρειν. ἀλλὰ 22 μὴν οὐδ' ὅμοιον ἔχει τι τὸ καθαρτικὸν φάρμακον καὶ ὁ τούτων λόγος. τὸ μὲν γὰρ φάρμακον ἐκκρίνεται κἂν τοῖς σώμασιν οὐχ ὑπομένει, τὸν μέντοι λόγον ἐν ταῖς ψυχαῖς ὑπάρχειν δεῖ τὸν αὐτὸν ὄντα καὶ πιστευόμενον ἀεί· μόνος γὰρ οὗτος εἴη ἂν ὁ ποιῶν ἀσυγκαταθέτους. ὅτι δ' οὐχ οἷόν τε τὸν ἄνθρωπον ἀδόξαστον εἶναι 23 καὶ ὠδὶ καταμάθοι τις ἄν. ἀδύνατον γὰρ τὸν αἰσθανόμενον μὴ αἰσθάνεσθαι. τὸ δ' αἰσθάνεσθαι γνωρίζειν τι ἦν. διότι δὲ καὶ πιστεύει τῇι αἰσθήσει πᾶσι φανερόν· ἀκριβέστερον γὰρ θέλων ἰδεῖν ἀπέψησε τῶ ὀφθαλμῶ καὶ προσῆλθεν ἐγγύτερον καὶ ἐπηλυγάσατο. καὶ μὴν ἡδόμενοί γε καὶ πονοῦντες ἴσμεν· οὐ γὰρ οἷόν 24 τε τὸν καιόμενον ἢ τεμνόμενον ἀγνοεῖν. τὰς δὲ δὴ μνήμας καὶ τὰς ἀναμνήσεις τίς οὐκ ἂν φαίη μεθ' ὑπολήψεως γίγνεσθαι; περὶ μὲν γὰρ τῶν κοινῶν ἐννοιῶν, ὅτι τὸ τοιοῦτον ἄνθρωπός ἐστιν, ἔτι δὲ περὶ τῶν ἐπιστημῶν καὶ τεχνῶν, τί λέγοι τις ἄν; οὐδὲν γὰρ ἦν τούτων, εἰ μὴ ἐπεφύκειμεν ὑπολαμβάνειν. ἀλλ' ἔγωγε ἐῶ τἄλλα. τοῖς μέντοι λεγομένοις ὑπὸ τούτων ἐάν τε πιστεύωμεν ἐάν τε ἀπιστῶμεν, ἀναγκαίως ἔχει δοξάζειν πάντηι τε καὶ πάντως.

3 εἶναι om. CG 3 οὐ γὰρ CG 6 λέγει καὶ C: καὶ λέγει vulgo: λέγει (om. καὶ) G (?) 7 ὁπότε C 8 διότι CG: ὅτι ceteri 10 δέοι συγκατατίθεσθαι EI 12 καὶ τοῖς ἔθεσι ante δεῖ (9)EI 17 ἐλέγχει CF 17 τοιούτωι CG: τούτωι ceteri 23 οἷόν τε CDEG: οἵονται vulgo 25 ὅτι vulgo 27 ἐπηλυγάσατο CG: ἐπιλυγίσατο E: ἐπιλίσατο I 28 οὐ μὲν γὰρ EI 31 ἐννοιῶν] αἰτιῶν CG

Ὅτι μὲν οὖν ἀμήχανόν ἐστι φιλοσοφεῖν τὸν τρόπον τοῦτον 25
φανερόν· ὅτι δὲ καὶ παρὰ φύσιν καὶ παρὰ τοὺς νόμους, ὡδὶ κατί-
δοιμεν ἄν. εἰ γὰρ δὴ τῶι ὄντι τὰ πράγματα τοιαῦτα εἴη, τί λοιπὸν
ἀλλ' ἢ καθάπερ ἐν ὕπνωι ζῆν ἡμᾶς εἰκῆι καὶ ἐμπλήκτως; ὥστε
φλυαροῖεν ἂν οἱ νομοθέται καὶ στρατηγοὶ καὶ οἱ παιδεύοντες.
ἀλλ' ἔμοιγε δοκοῦσιν οἱ μὲν ἄλλοι πάντες ἄνθρωποι ζῆν κατὰ
φύσιν, μόνοι μέντοι τετυφῶσθαι, μᾶλλον δὲ μεμηνέναι μανίαν
ἐρρωμένην οἱ ταῦτα ληροῦντες. οὐχ ἥκιστα μέντοι τοῦτο κατα- 26
μάθοι τις ἂν κἀκεῖθεν. Ἀντίγονος γοῦν ὁ Καρύστιος κατὰ τοὺς
αὐτοὺς γενόμενος χρόνους καὶ ἀναγράψας αὐτῶν τὸν βίον φησὶ
(p. 39 Wil.) τὸν Πύρρωνα διωκόμενον ὑπὸ κυνὸς ἀναφυγεῖν ἐπί τι
δένδρον, σκωπτόμενον δ' ὑπὸ τῶν παρόντων εἰπεῖν ὡς χαλεπὸν
εἴη ⟨τὸν⟩ ἄνθρωπον ἐκδῦναι. Φιλίστας δὲ τῆς ἀδελφῆς αὐτοῦ
θυούσης, ἔπειτα τῶν φίλων τινὸς ὑποσχομένου τὰ πρὸς τὴν θυσίαν
καὶ μὴ παρασχομένου, τοῦ μέντοι Πύρρωνος πριαμένου καὶ ἀγα-
νακτοῦντος, ἐπειδήπερ ὁ φίλος ἔλεγεν ὡς οὐ ποιοῖ σύμφωνα τοῖς
λόγοις οὐδ' ἄξια τῆς ἀπαθείας, εἰπεῖν αὐτόν· 'ἐν γοῦν γυναικὶ δεῖ
τὴν ἀπόδειξιν αὐτῆς ποιεῖσθαι;' καίτοι δικαίως ἂν εἶπεν ὁ φίλος
ὅτι 'ὦ μάταιε, καὶ ἐν γυναικὶ καὶ κυνὶ καὶ πᾶσιν, εἴ τι δή σοι
τῶν λόγων τούτων ἐστὶν ὄφελος'.

ὀρθῶς δ' ἔχει μαθεῖν καὶ τίνες οἱ ζηλώσαντες αὐτὸν ἐγένοντο 27
καὶ τίνας ἐζήλωσεν αὐτός. ὁ μὲν οὖν Πύρρων Ἀναξάρχου τινὸς
ἐγένετο μαθητής, ὃς τὸ μὲν πρῶτον ἦν ζωγράφος οὐδ' οὕτως εὐ-
τυχής, ἔπειτα τοῖς Δημοκρίτου βιβλίοις ἐντυχὼν χρηστὸν μὲν οὐδὲν
οὔτε εὗρεν οὔτε συνεγράψατο, κακῶς δὲ πάντας εἶπε καὶ θεοὺς
καὶ ἀνθρώπους· αὐτὸς δ' ὕστερον τοῦτον τὸν τῦφον περιβαλλό-
μενος καὶ καλῶν ἄτυφον αὐτὸν οὐδὲν ἐν γραφῆι κατέλιπεν. ἐγέ- 28
νετο δὲ μαθητὴς αὐτοῦ Τίμων Φλιάσιος, ὃς τὸ μὲν πρῶτον ἐχό-
ρευεν ἐν τοῖς θεάτροις, ἔπειτα δ' ἐντυχὼν αὐτῶι συνέγραψεν ἀρ-
γαλέας παρωιδίας καὶ βωμολόχους, ἐν αἷς βεβλασφήμηκε πάντας
τοὺς πώποτε φιλοσοφήσαντας. οὗτος γὰρ ἦν ὁ τοὺς Σίλλους γρά-
ψας καὶ λέγων 'σχέτλιοι — πέπλασθε' (fr. 10) καὶ 'ἄνθρωποι
— ἀσκοί' (fr. 34). μηδενὸς δ' ἐπιστραφέντος αὐτῶν, ὡς εἰ μηδὲ 29

---

3 γὰρ δὴ Wilamowitz: γὰρ ἂν C: γὰρ αὖ GI: μὲν αὖ E 13 τὸν Laert. IX 66: om. Eus. 13 φιλίστας EGI: φιλίστης ceteri cf. Laert. l. c., unde tamen non magis apparet, cur sorori potius quam amico succenseat Pyrrho 16 ποιοῖ Wilamowitz: ποιῶ CG: ποιησαίμην EI 17 post γυναικὶ add. τί Wil., οὐ vulgo (at hiaret oratio); efficacius et responsioni aptius deest particula; cf. p. 178, 14 23 οὕτως libri: corr. Wil. 24 cf. Wil. Ant. p. 40 33 ἐπιστρέφοντας CG

ἐγένοντο τὸ παράπαν, ἐχθὲς καὶ πρώην ἐν Ἀλεξανδρείαι τῆι κατ' Αἴγυπτον Αἰνησίδημός τις ἀναζωπυρεῖν ἤρξατο τὸν ὕθλον τοῦτον. καὶ σχεδὸν οἱ μὲν κράτιστοι δοκοῦντες εἶναι τῶν τὴν ὁδὸν βεβαδικότων ταύτην εἰσὶν οὗτοι. ὅτι μὲν οὖν τὴν τοιαύτην εἴτε αἵ- 30
5 *ρεσιν εἴτε ἀγωγὴν λόγων εἴτε ὅπηι καὶ ὅπως ἐθέλει τις καλεῖν αὐτὴν οὐδεὶς ἂν εὖ φρονῶν ὀρθὴν εἶναι φαίη δῆλον. ἐγὼ μὲν γὰρ οὐδὲ φιλοσοφίαν οἶομαι δεῖν ὀνομάζειν αὐτὴν ἀναιροῦσάν γε δὴ τὰς τοῦ φιλοσοφεῖν ἀρχάς.*

---

7 *δὴ* om. CG

---

3. Laert. Diog. IX 69 *πρὸς τούτοις διήκουε τοῦ Πύρρωνος Ἑκαταῖός τε ὁ Ἀβδηρίτης καὶ T. ὁ Φλιάσιος ὁ τοὺς Σίλλους πεποιηκώς.*

4. Suidas (merum Hesychium reddens) s. v. *T. Φλιάσιος καὶ αὐτὸς φιλόσοφος τῆς Πύρρωνος ἀγωγῆς, ὁ γράψας τοὺς καλουμένους Σίλλους, ἤτοι ψόγους τῶν φιλοσόφων, βιβλία γ̄* [Id. s. v. *σιλλαίνει*]. ex Hes. etiam Steph. Byz. s. v. *Φλιοῦς. καὶ T. ὁ περὶ* [sic!] *σίλλων γεγραφὼς Φλιάσιος ἐχρημάτιζε.*

5. Suidas s. v. *Ἄρατος. ἀκουστὴς δὲ ἐγένετο* (Aratus) *γραμματικοῦ μὲν τοῦ Ἐφεσίου Μενεκράτους* [cf. p. 171], *φιλοσόφου δὲ Τίμωνος καὶ Μενεδήμου.*

6. Athen. X 438 A *Λακύδης δὲ καὶ T. οἱ φιλόσοφοι κληθέντες πρός τινα τῶν γνωρίμων ἐπὶ δύο ἡμέρας καὶ βουλόμενοι συμπεριφέρεσθαι τοῖς παροῦσιν ἔπινον προθυμότερον. τῆι μὲν οὖν πρώτηι τῶν ἡμερῶν ὁ Λακύδης ἀπῆιει πρότερος ἐπιπολάσαντος αὐτῶι τυῦ ποτοῦ καὶ ὁ T. ὁρῶν αὐτὸν ἀπιόντα ἔφη 'ἠράμεθα μέγα κῦδος, ἐπέφνομεν Ἕκτορα δῖον'* (X 393)· *τῆι δ' ὑστεραίαι προαπιόντος τοῦ Τίμωνος διὰ τὸ μὴ δυνηθῆναι ἐκπιεῖν τὴν προποθεῖσαν αὐτῶι κύλικα ὁ Λακύδης ἰδὼν αὐτὸν ἐπανάγοντα εἶπε 'δυστήνων δέ τε παῖδες ἐμῶι μένει ἀντιόωσιν'* (Z 127); cf. Ael. V. H. II 41.

Scriptorum

7. Gellius III 17, 4 *Timon amarulentus librum maledicentissimum conscripsit, qui Σίλλος inscribitur* [*sillos* libri: *Σίλλων* coni. Otho]

De Sillorum Genere et Nomine

8. Procl. chrest. ap. Phot. p. 320ª 1 inter *μελικῆς ποιήσεως* genus refert *εἰς δὲ ἀνθρώπους ἐγκώμια, ἐπινίκους, σκολιά, ἐρωτικά, ἐπιθαλάμια, ὑμεναίους, σίλλους.* 321ª 28 *ὁ δὲ σίλλος λοιδορίας καὶ διασυρμοὺς πεφεισμένως* (*modice* cf. Kaibel *Abh. Gött. Ges. N. F.* II 4, 38) *ἀνθρώπων ἔχει.* [e Proclo Et. gen. *σιλλός* cf. n. 10]. Schol. ad Dionys. Thrac. § 1 (Cram. An. Ox. IV p. 314, 13) *σίλλος ἐστὶ ποίημα λοιδορίαν κατά τινος περιέχον.*

9. de usu attico vocis Eustath. ad B 212 [cf. supra p. 23 n. 23] *ταῖς δὲ τοιαύταις λέξεσι σύστοιχον παρὰ Αἰλίωι Διονυσίωι καὶ τὸ σιλλοῦν ὅ ἐστι τοὺς ὀφθαλμοὺς ἠρέμα παραφέρειν ἐν τῶι διαφαυλίζειν καὶ διασύρειν.* ex eodem Dionysio Photius *σιλλοῦν· τοὺς ὀφθαλμοὺς ἠρέμα παραφέρειν· οὕτως Ἀρχίππος* (I 689 Kock). Phrynichus Bekk. An. I 36, 19 *διασιλλοῦν καὶ διασιλλῶσαι*

σημαίνει τὸ διασῦραι καὶ χλευάσαι· σίλλοι γὰρ ἄισματα χλευαστικά. POLLUX IX 148 *κωμωιδεῖν . . . ποιητικώτερον τὸ σιλλαίνειν καὶ σιλλοῦν καὶ διασιλλοῦν.* HESYCH. *σιλλοῖ* [*σιλλεῖ* cod.]: *ἀναξαίνει, λυπεῖ σιλλοῖ: μωκᾶται, ψέγει, κακολογεῖ σιμοῦσι* [*σιλλοῦσι* Alberti]: *μέμφονται σίλλος: ἔμμετρον σκῶμμα*

10. POLLUX II 54 *οἱ δὲ καὶ ἴλλους τοὺς ὀφθαλμοὺς ὠνόμασαν, καὶ τὸ σιλλαίνειν ἐπὶ χλευασμῶι σείειν τοὺς ὀφθαλμούς, ὅθεν καὶ τὸ χλευαστικὸν ποίημα σίλλος.* EUST. ad B 212 e rhetorico *εἰσὶ δὲ οἱ σίλλοι ποιήσεως εἶδος κωμικῆς καὶ οἱ ταύτην μετιόντες σιλλογράφοι ἐλέγοντο καὶ τὸ οὕτω παίζειν σιλλαίνειν ἐκαλεῖτο, καὶ ἐκ τούτου τοῦ ῥήματος οἱ Σιληνοί, δαίμονές τινες κομψοὶ τὰ εἰς ὄρχησιν καὶ εἰς Διονύσου τελετάς* [cf. Cornut. ench. 30]. ET. GEN. *σίλλοι* [prima glossa Dionis non huc pertinet cf. Anacr. 13 B Bergk] *ὅηλοῖ δὲ καὶ χλευαστικὸν ποίημα παρὰ τὸ διασείειν τοὺς ἴλλους καὶ διασύρειν τῶι σχήματι τῶν ὀφθαλμῶν, ἴλλοι γὰρ λέγονται οἱ ὀφθαλμοί. καὶ σιλλαίνειν τὸ στραβίζειν* [sequitur exc. Procl. n. 8]. HES. *σιλλαίνειν: σιλλοῦν τὸ διασύρειν καὶ μωκᾶσθαι ἀπὸ τοῦ τοῖς ἴλλοις τουτέστι τοῖς ὀφθαλμοῖς σίνεσθαι* [cf. Suid. *σιλλαίνω*]. *Συναγωγὴ λέξ. χρησ.* [Bachm. An. I 364, 19, unde Phot. Suid. et I e Cyrillo?] Hes. *σιλαίνει*] *σιλλαίνει· μυλλαίνει διὰ τῶν ὀφθαλμῶν σκώπτει καὶ ὑβρίζει* [sic Hes., pro *ὑβρ.* Phot. Suid. *μυλλίζει*, Bachm. *μυλλαίνει*]. similia in aliis glossis Hes. et Suid. antiquissimum verbi exemplum invenio *κατασιλλαίνειν* apud Pseudhipp. (Democriteum medicum?) Praecept. 8 (IX 264 L.). alio spectat Hes. *σιλλέα* [*σίλλος* M. Schmidt]: *τρίχωμα +ἢ λεῖον* [*ποιόν* Schmidt]. *σιλλός: ἀναφάλαντος* [*μῶμος, κακολογία καὶ χλευασμός*] cf. *ἀνάσιλλον: τρίχωμα τὸ ἀπὸ τοῦ μετώπου ἐπὶ κορυφὴν ἐστραμμένον* [cf. v. lect. Herodae 4, 67].

11. SCHOL. LUC. Alex. c. 4 *οὗτοι* (Cercopes) *ἐν Βοιωτίαι διέτριβον Οἰχαλιεῖς ὄντες γένος Σίλλος καὶ Τριβαλλος ὀνομαζόμενοι ἐπίορκοι καὶ ἀργοί, ὡς Κρατῖνος Ἀρχιλόχοις* (I 15 Kock)

12. IULIAN. or. VII p. 268, 19 Hertl. Archilochus *σαφῶς ἐγνωκώς, ὅτι στερομένη μύθου ποίησις ἐποποιία μόνον ἐστίν, ἐστέρηται δέ, ὡς ἂν εἴποι τις ἑαυτῆς (οὐ γὰρ ἔτι λείπεται ποίησις), ἡδύσματα ταῦτα παρὰ τῆς ποιητικῆς Μούσης ἐδρέψατο καὶ παρέθηκέ γε αὐτοῦ τούτου χάριν, ὅπως μὴ σιλλογράφος τις, ἀλλὰ ποιητὴς νομισθείη.*

13. AMMIAN. Marc. XXII 16, 16 ... *Didymus ... Tullium reprehendit sillographos imitatus scriptores maledicos.*

B. FRAGMENTA.

ΤΙΜΩΝΟΣ ΣΙΛΛΩΝ ΒΙΒΛΙΑ ΑΒΓ

Ordo fragmentorum etsi in universum dispici potest, multa tamen incertae vel ambiguae sedis relinquuntur, ut tutius videatur esse secundum auctores recensere fragmenta praemissis dumtaxat certis singulorum librorum testimoniis. ex Apollonidis tabula [p. 174, 4—12] trium librorum generalis discriptio constat. ergo primus narrative, alter et tertius per colloquium, cuius principatum tenet Xenophanes, philosophos dogmaticos irridet. atque alter potissimos usque ad suam aetatem philosophos recenset, tertius, brevior ille sine dubio et posterior illo, quasi mantissa est (*Ἐπίλογος*) eodemque filo aequales taxat. his

duobus libris Necyiae formam fuisse iam a comicis similiter detortam veri simillimum. at in primo libro nihil cogit ut apud inferos rem actam esse necessario existimetur. immo ne una quidem scena fuisse, sed plures et suam quisque sillus irridendi et agendi formam habuisse videtur. similiter Cratetis Paegnia e pluribus haud ita magnis sillis composita credo.

primi libri post Prooemium, in quo Ptolemaeum et Antigonum commemoratos esse conicio [cf. ad A 1 § 110] et parodiarum quosdam poetas ut Timonis decessores laudatos [fr. 2], duae in reliquiis facile internoscuntur scenae: una Pugna philosophorum ad Iliadis (inprimis A) imitationem composita, altera Piscatus philosophorum.

in Pugna sophistae varia inter se proelia miscent. praecinit eorum appellatio fr. 1, tum causa rixae Eris homerico apparatu procedit (22. 21). hac incitatus Protagoras mortalis homo [ἐριζέμεναι εὖ εἰδώς fr. 47] in primarios procurrit. nam in eius caput illa prima ruisse videtur (21, 4). movet autem Erin plebis eruditulae assentatio, unde in sophistis oritur morbus garrulus [νοῦσος λάλη]. porro ex hac λογοδιαρροίαι sophistarum oritur λογομαχία, dum alter alterum disputando superat discipulorum corona plaudente. verum enim vero post brevia ista gaudia paenitet eos spei deceptae vitaeque et pecuniae perditae (65. 66). vident enim se istorum avaritia (velut Prodici 18) spoliatos. interim nobiliores philosophi in medium veniunt Heraclitus scepticae rationis quasi auctor (43) et Socrates paene germanus scepticus, qui tamen e turba sophistarum se removet (25). aliqua sine dubio pars fuit etiam Platonis (19). iam robusti accedunt triarii Stoici paupertatem commendantes. inter quos Zenon cum discipulis apparet (39. 13. 14). labantem dogmaticorum aciem instaurat quasi alter Aiax Cleanthes 41. punguntur praeterea nescio quae gumiae, quae irritamentis gulae a recta via sunt seductae (58. 16). ne Arcesilas quidem homo maledicentissimus (33) et scepticismo proximus (55) omne tulit punctum quippe plebi mancipatus (34). unus relinquitur omni vitio carens, invictus sophistarum tumultu et infractus ipsius cupiditatibus, Pyrrhon (8. 9).

Piscatum alterum primi libri sillum (quamquam huius ordinis nemo testis) facile agnoscas, si fragmenta 30. 31. 32. 38. 52. 63. 64 recte explicueris recteque nexueris. en Plato dux regit examen piscium, mullus praenobilis (30), sequitur Arcesilas gracilior ille quidem at sustentatus gravissimorum piscium Menedemi, Diodori, Pyrrhonis auxilio (30). ad eos natando se recipit, ubicumque dogmatici piscatores retia subtilitatis et doli plena in aquam deiecerunt (32). inter hos pingitur Zeno, anus Phoenissa ligurriens pisciculos, nassam observans. at illa nimis curta et anus nimis stupida. sic effluunt cum flumine et nassa et pisces (38). pertinent ad lusum piscatorium, quem in Piscatore c. 47 sqq. Lucianus imitatus est (ut Timon ipse Archestrati iocis motus videtur), praeterea fr. 52. 63. 64.

in altero libro Necyia, ut diu cognitum est, repraesentatur. indicio enim sunt inprimis formulae homericae οἷον et videndi verbum, quibus tamquam vinculo scenae ac personae singulae continentur. Timoni igitur in orcum delato velut alteri Ulixi obstrepunt umbrae philosophorum. in primo ordine agnoscitur Democritus paene perfectus scepticus (46), tum varii variis artibus nobiles philosophi Thales (23), Pythagoras (57), Parmenides (44), Zeno Eleates cum Melisso (45), Empedocles (42), Anaxagoras (24), Protagoras (5), quem praecessit fortasse Xenophanes (60), tum certe Socrates et Plato (cf. 62. 19), Speusippus (56), qui laudantur. at exploduntur plebeii Socratici Antisthenes, Xenophon, Aeschines, Aristippus,

Phaedon, Euclides (37. 26. 27. 28), itemque Aristoteles (36) et neoterici Academici (35). verum tamen philosophum perfectum et omnibus numeris absolutum neminem horum, sed talem dicit, qualem ipse Pyrrhonem conspexit indomitum et infucatum, omnibus mortalium vitiis orbum (53). quem alloquitur (48) aut poeta aut eius dux Xenophanes. is enim ut princeps perhibetur scepticae rationis, per Orcum scepticum ducit et colloquii vices gerit. sic de se ipse confessus (59) variis vel orationibus vel sermonibus praetereuntes sive advenientes philosophos compellat (33. 54). cui illi respondent (3).

tertius liber Epilogus Necyiae lusum protendit et aequalium philosophorum vitam et doctrinam castigat. certum fundamentum iacet fr. 7 de Epicuri gulositate, cui adiungeres 51, nisi aptius in librum I transferretur. nam ut Epilogi fuit sine dubio antiquissimus, ita in ista sophistarum Pugna recte ὕστατος φυσικῶν καὶ κύντατος inducitur. tum Aristo Chius certo testimonio (6) tertio libro adscribitur, inde etiam fr. 40. 49. 50 de Aristonis quodam discipulo et de Eurylocho et Philone, Pyrrhonis discipulis.

sed omnia haec quae servata sunt, misella sunt frustula propter nomina potissimum a scriptoribus conlecta. nam grammatici Alexandrinum scurram non tangunt. igitur cave ne ex hac exilitate, quae propemodum catalogi te commonefaciat, de arte et indole iudices operis integri, cuius copiam et varietatem ex tenuissimis vestigiis divinare magis licet quam instaurare.

Timonis Sillos iteratis curis ed. C. Wachsmuth in *Sillographorum graec. reliquiis* (Lips. 1885), cuius ordinis numeros in parenthesi meis adiunxi.

SILLORUM CERTAE SEDIS FRAGMENTA.

1 [1]

Laert. Diog. IX 112 (cf. A 1 p. 174, 11) τὸ δὲ πρῶτον ταὐτὰ [scil. duobus posterioribus libris] περιέχει πράγματα, πλὴν ὅτι μονοπρόσωπός ἐστιν ἡ ποίησις. ἀρχὴ δὲ αὐτῶι ἥδε·

ἔσπετε νῦν μοι ὅσοι πολυπράγμονές ἐστε σοφισταί.

sedes parodiae B 484 ἔσπετε νῦν μοι Μοῦσαι. cf. Clem. Strom. I 24 p. 329 P. οἱ Ἕλληνες καὶ αὐτοὶ τοὺς περὶ ὁτιοῦν πολυπράγμονας σοφοὺς ἅμα καὶ σοφιστὰς παρωνύμως κεκλήκασι. σοφισταί omnes sunt praeter unum Pyrrhonem τὸν σοφὸν philosophi.

2 [39]

Athenaeus XV p. 698 A ἐνδοξότατος [scil. τῶν παρωιδῶν] δ' ἦν Εὔβοιος ὁ Πάριος γενόμενος τοῖς χρόνοις κατὰ Φίλιππον. οὗτός ἐστιν ὁ καὶ Ἀθηναίοις λοιδορησάμενος, καὶ σώιζεται αὐτοῦ τῶν παρωιδιῶν βιβλία τέσσαρα. μνημονεύει δ' αὐτοῦ Τ. ἐν τῶι πρώτωι τῶν Σίλλων.

cf. Weland *de praecip. parod. Homer. scriptoribus* p. 41 sqq. *Brandt Parod. rel.* p. 50. exemplaria parodiae nisi in prooemio [cf. p. 183] apte enumerare

non poterat. certe hic aequalium mos videtur fuisse ut apparet ex Heroda et Callimacho Hipponactem citantibus.

3 [44]

ATHEN. IV 159 D *ἀπαίδευτοί ἐστε, ἔφη, ἄνδρες δαιτυμόνες οὐκ ἀναγινώσκοντες βιβλία ἃ μόνα παιδεύει τούς γε ἐπιθυμοῦντας τῶν καλῶν. λέγω δὲ τὰ Τίμωνος τοῦ Πυρρωνείου [τῶν σίλλων]. οὗτος γάρ ἐστιν ὃς καὶ τοῦ κόγχου μνημονεύει ἐν τῶι β τῶν Σίλλων λέγων οὕτως*

οὔτε μοι ἡ Τεΐη μᾶζ' ἀνδάνει οὔτε καρύκκη
ἡ Λυδῶν, λιτῆι δὲ καὶ αὐαλέηι ἐνὶ κόγχωι
Ἑλλήνων ἡ πᾶσ' ἀπερισσοτρύφητος ὀιζύς.

διαφόρων γὰρ οὐσῶν καὶ τῶν ἐκ Τέω μαζῶν ... καὶ τῶν Λυδίων καρυκκῶν προκρίνει ἀμφοτέρων ὁ T. τὸν κόγχον.

1 *Τεΐη* Casaub.: *τηι* codex 2 *λητηι δὲ καὶ αὐαλέηι* cod.: intellego: *non Siculis dapibus vescor, sed pauperies mea graecanica luxuriatur tota in misella et exarida conche*; *λιτῆι* praefert Wil.

4 [46]

1—3 ATH. X p. 445 D *σὺ δὲ ὦ Οὐλπιανὲ ἀρρυθμοπότης μὲν εἶ κατὰ τὸν Φλιάσιον Τίμωνα· οὕτως γὰρ ἐκεῖνος ὠνόμασε τοὺς τὸν πολὺν σπῶντας οἶνον ἄκρατον ἐν τῶι δευτέρωι τῶν Σίλλων· 'ἠὲ — ἀρυσαίνας'* 3 IDEM X p. 424 B *T. δ' ἐν δευτέρωι Σίλλων ἀρυσαίνας κέκληκε τοὺς κυάθους φάσκων οὑτωσί· 'ἀπληστοίνους τ' ἀρυσαίνας' ἀπὸ τοῦ ἀρύσασθαι ὀνομάσας·*

ἠὲ βαρὺν βουπλῆγα τομώτερον ἢ Λυκόοργος,
ὅς ῥα Διωνύσου ἀρρυθμοπότας ἐπέκοπτεν,
ἐκ δὲ ῥυτὰ ῥίπτασκεν ἀπληστοίνους τ' ἀρυταίνας.

ἠὲ] *ἧκε* Meineke 2 *ἀριθμοπότας* C (Eust.): *ἀριθμοπώτας* A: corr. Musurus 3 *οριπτασκεν* A; fuit *ῥίπτασκεν* *ἀρυταίνας* 445: *ἀρυσάνας* 424. de forma cf. Lobeck Prol. Path. p. 35 sqq. quem castigatorem tetigerit (Heraclitum cf. fr. 117. 118, Pythagoram coniciunt) nescimus. de re cf. Varronis Dienoslemmatologos Antipatri Stoici filius qui adversario rutro caput displanat (Menipp. fr. 291 Büch.)

5 [48]

SEXT. EMPIR. adv. math. IX 56 sq. *ὁ δὲ Πρωταγόρας ῥητῶς που γράψας 'περὶ δὲ θεῶν οὔτε εἰ εἰσὶν οὔθ' ὁποῖοί τινές εἰσι δύναμαι λέγειν· πολλὰ γάρ ἐστι τὰ κωλύοντά με'. παρ' ἣν αἰτίαν θάνατον αὐτοῦ καταψηφισαμένων τῶν Ἀθηναίων διαφυγὼν καὶ κατὰ θάλατταν πταίσας ἀπέθανεν. μέμνηται δὲ ταύτης τῆς ἱστορίας καὶ T. ὁ Φλιάσιος ἐν τῶι δευτέρωι τῶν Σίλλων ταῦτα διεξερχόμενος·*

ὡς καὶ μετέπειτα σοφιστῶν
οὔτ' ἀλιγυγλώσσοι οὔτ' ἀσκόπωι οὔτ' ἀκυλίστωι

1 *μετέπειτα*] puto post Xenophanis contra deos pugnam 2 *ἀλιγυγλώσσοι*] artem admiratur ut Platonis fr. 30, 2 cf. Ω 157 *οὔτε γὰρ ἔστ' ἄφρων οὔτ' ἄσκοπος οὔτ' ἀλιτήμων*

Πρωταγόρηι· ἔθελον δὲ τέφρην συγγράμματα θεῖναι,
ὅττι θεοὺς κατέγραψ' οὔτ' εἰδέναι οὔτε δύνασθαι
ὁπποῖοί τινές εἰσι καὶ εἴ τινες ἀθρήσασθαι,
πᾶσαν ἔχων φυλακὴν ἐπιεικείης· τὰ μὲν οὔ οἱ
χραίσμησ', ἀλλὰ φυγῆς ἐπεμαίετο, ὄφρα μὴ οὕτως
Σωκρατικὸν πίνων ψυχρὸν πότον ἄιδα δύηι.

5 *εἴ* Bekker: *οἵ* libri 7 *αὕτως* Bekker 8 *ἄϊδι* libri: corr. Menage *δύηι* libri: corr. Meineke

6 [64] •

Ath. VI p. 251 *T. ὁ Φλιάσιος ἐν τῶι τρίτωι τῶν Σίλλων Ἀριστωνά φησι τὸν Χῖον, Ζήνωνος δὲ τοῦ Κιτιέως γνώριμον, κόλακα γενέσθαι Περσαίου τοῦ φιλοσόφου, ὅτι ἦν ἑταῖρος Ἀντιγόνου τοῦ βασιλέως.*

7 [56]

Ath. VII p. 279 F *περὶ δὲ τοῦ Ἐπικούρου T. ἐν γ Σίλλων φησί· 'γαστρὶ — οὐδέν'.* Idem IV p. 163 C *διὰ τὴν γαστέρα, ἧς 'οὐ — οὐδέν' ὁ T. σου* [Cynulcum dicit; supple *φησί*]

γαστρὶ χαριζόμενος, τῆς οὐ λαμυρώτερον οὐδέν.

οὐ 279: *οὐδὲ* 163

INCERTAE SEDIS FRAGMENTA.

8 [35]

Aristocles § 17 [A 2 p. 17, 8, 30] *εἰ δ' οὐδὲν ὄφελός ἐστι τῶν λόγων τί ἡμῖν ἐνοχλοῦσιν; ἢ διὰ τί T. φησίν·*

οὐκ ἂν δὴ Πύρρωνί γ' ἐρίσσειεν βροτὸς ἄλλος;

ex Γ 223 *οὐκ ἄν ἔπειτ' Ὀδυσῆϊ γ' ἐρίσσειεν βροτὸς ἄλλος* *ἐρίσειεν* libri

9 [32]

Aristocl. § 19 [A 2 p. 179, 6]. *ὅ γέ τοι T. ταῦτα* (i. e. scepticos *ἀπαθεῖς καὶ ἀταράχους εἶναι*) *λέγει καὶ περὶ τοῦ Πύρρωνος·*

ἀλλ' οἷον τὸν ἄτυφον ἐγὼ ἴδον ἠδ' ἀδάμαστον
πᾶσιν, ὅσοις δάμνανται ὁμῶς ἄφατοί τε φατοί τε,
λαῶν ἔθνεα κοῦφα, βαρυνόμεν' ἔνθα καὶ ἔνθα
ἐκ παθέων δόξης τε καὶ εἰκαίης νομοθήκης.

1 initium ex Necyia 519 2 *ὅσα δάμνανται* vel *ὅσοις δαμνᾶται* libri clausula ex Hes. Opp. 3 3 *βαρυνόμενος* libri

10 [33]

Aristocl. § 28 [A 2 p. 180, 28; hinc Theodor. II 20] *T. Φλιάσιος .. συνέγραψεν ἀργαλέας παρωιδίας καὶ βωμολόχους, ἐν αἷς βεβλασφήμηκε τοὺς πώποτε φιλοσοφήσαντας· οὗτος γὰρ ἦν ὁ τοὺς Σίλλους γράψας καὶ λέγων·*

σχέτλιοι ἄνθρωποι, κάχ' ἑλέγχεα, γαστέρες οἷον,
τοίων ἔκ τ' ἐρίδων ἔκ τε στοναχῶν πέπλασθε.

1 imitatio Hesiodi th. 26 et Epimenidis 5 Kink. 2 Empedoclis fr. 124, 2 2 *τοίων* Eus. Theod. opt. ut Emp.: *ποίων* interpol. Theod. *ἔκ τε στοναχῶν* Eus. ut Emp.: *ἔκ τε στοχασμῶν* vel *καὶ λεσχομάχων* interpol. Theod. *πέπλασθε* Eus. opt.: *πέπλησθε* Theod: *πεπλάνησθε* Theodor. Eus. interpolati: *ἐγένεσθε* Emp.

11 [34]

ARISTOCL. § 28 post fr. 10 [inde Theodor. l. c.] *καὶ*

ἄνθρωποι κενεῆς οἰήσιος ἔμπλεοι ἀσκοί.

cf. Epicharmi fr. 246 Kaib. (sec. nostr. coniect.) *ἆ γα φύσις ἀνόρων τί ὤν; ἀσκοὶ πεφυσιαμένοι* [i. q. recentius dictum *πεφυσιωμένοι*]

12 [60]

ATHENAEUS I p. 22 D *τὸ μουσεῖον* [*τὸ ἀθήνησι τὸ ἐν πρυτανείοις μουσεῖον* intrusa propter *σίτησιν* prytanei mentione C] *ὁ Φλιάσιος T. ὁ σιλλογράφος τάλαρόν πού φησιν ἐπισκώπτων τοὺς ἐν αὐτῷι τρεφομένους φιλοσόφους, ὅτι ὥσπερ ἐν πανάγρωι τινὶ σιτοῦνται καθάπερ οἱ πολυτιμότατοι ὄρνιθες· 'πολλοὶ — ταλάρωι'.* [hinc Eustathius in Odyss. *δ* 131 p. 1488, 61 *ἐν δὲ τοῖς τοῦ δειπνοσοφιστοῦ φέρεται ὅτι T. ὁ σιλλογράφος καὶ τὸ μουσεῖον τάλαρόν πού φησιν, ἐπισκώπτων τοὺς ἐν αὐτῷι τρεφομένους φιλοσόφους ὥσπερ ἐν πανάγρωι τινὶ σιτοῦνται καθάπερ οἱ πολιτιμότατοι ὄρνιθες· 'πολλοὶ — ταλάρωι'*]

πολλοὶ μὲν βόσκονται ἐν Αἰγύπτωι πολυφύλωι
βιβλιακοὶ χαρακῖται ἀπείριτα δηριόωντες
Μουσέων ἐν ταλάρωι.

1 *πολυφύλλωι* Ath.: corr. Musurus 2 *βυβλιακῆι* Eust. *βιβλιακοὶ χαρακῖται* sunt *incolae Musei vallis saepti, libris incumbentes.* imago v. 3 mutatur 3 *μουσάων* Ath.: corr. Mus.; supplebat *πολιτιμότατοι πετεηνῶν* Kaibel

13. 14 [22. 21]

ATHEN. IV p. 158 A *στωικὸν δὲ δόγμα ἐστίν, ὅτι* ⟨*ἄλλα*⟩ *τε πάντα εὖ ποιήσει ὁ σοφὸς καὶ φακῆν φρονίμως ἀρτύσει. διὸ καὶ T. ὁ Φλιάσιος ἔφη·*

καὶ τὸ φακῆν ἔψειν ὃς μὴ φρονίμως μεμάθηκεν,

ὡς οὐκ ἄλλως δυναμένης ἑψηθῆναι φακῆς εἰ μὴ κατὰ τὴν Ζηνώνειον ὑφήγησιν, ὃς ἔφη·

εἰς δὲ φακῆν ἔμβαλλε δυωδέκατον κοριάννου.

priorem versum restituit Kaibel; tradebantur *καὶ Ζηνώνιόν γε φακῆν* interpolata ex posterioribus.

15 [31]

ATH. IV p. 160 D *σὺ δέ μοι δοκεῖς, ὦ Κύνουλκε* (*τούτωι γὰρ χαίρεις τῶι ὀνόματι, οὐ λέγων, ὃ 'ἐκ γενετῆς σε ἡ μήτηρ κέκληκε'*), *κατὰ τὸν σὸν Τίμωνα, εἶναί 'μοι καλός τε μέγας τε', οὐκ ἐπιστάμενος ὅτι κόγχος παρὰ πρότερωι μνήμης τετύχηκεν Ἐπιχάρμωι κτλ.*

μοι καλός inlato homerico exemplari Φ 108 corruptum vidit Meineke; *μύκλος τε μ. τε* i. e. *asinus* Wilamowitz. prius homericum (σ 5) ex eodem Timone haustum esse non vicit Wachsmuth.

16 [30]

Ath. IV p. 162 E *Κτησίβιος δ' ὁ Χαλκιδεὺς ὁ Μενεδήμου γνώριμος, ὥς φησιν Ἀντίγονος ὁ Καρύστιος ἐν τοῖς Βίοις* [p. 102 Wil.] *ἐρωτηθεὶς ὑπό τινος, τί περιγέγονεν ἐκ φιλοσοφίας αὐτῷι, ἔφη 'ἀσυμβόλωι δειπνεῖν'. διὸ καὶ ὁ T. που πρὸς αὐτὸν ἔφη·*

δειπνομανές, νεβροῦ ὄμματ' ἔχων, κραδίην δ' ἀκύλιστον.

ἦν δ' εὔστοχος ὁ Κτησίβιος καὶ χαρίεις περὶ τὸ γελοῖον, διὸ καὶ πάντες αὐτὸν ἐπὶ τὰ συμπόσια παρεκάλουν.

ex A 225 *οἰνοβαρές, κυνὸς ὄμματ' ἔχων, κραδίην δ' ἐλάφοιο νεκροῦ* Ath.: corr. Schweigh.

17 [59]

1. 2 Ath. VII p. 281 D ex Antigono (cf. p. 126 Wil.) *περὶ δὲ Διονυσίου τοῦ Ἡρακλεώτου τί δεῖ καὶ λέγειν; ὃς ἀντικρυς ἀποδὺς τὸν τῆς ἀρετῆς χιτῶνα ἀνθινὰ μετημφιάσατο καὶ Μεταθέμενος καλούμενος ἔχαιρε, καίτοι γηραιὸς ἀποστὰς τῶν τῆς Στοᾶς λόγων καὶ ἐπὶ τὸν Ἐπίκουρον μεταπηδήσας, περὶ οὗ οὐκ ἀχαρίτως ὁ T. ἔφη· 'ἡνίκ' — πεπαῦσθαι'.* 2 Anthol. Pal. Plan. X 38 sub lemmate *Διονυσίου· 'ὥρη — πεπαῦσθαι'.*

ἡνίκ' ἐχρῆν δύνειν, νῦν ἄρχεται ἡδύνεσθαι·
ὥρη ἐρᾶν, ὥρη δὲ γαμεῖν, ὥρη δὲ πεπαῦσθαι.

2 ex λ 379 *ὥρη μὲν πολέων μύθων, ὥρη δὲ καὶ ὕπνου πεπαῦσθαι* Anth.: *παύεσθαι* Ath. pertinet sine dubio ad librum tertium

18 [11]

Ath. IX p. 406 E *ἀλλ' ἔγωγε, φησὶν ὁ Δημόκριτος οὐκ ὢν*

λαβάργυρος ὡρολογητής

κατὰ τὸν Τίμωνος Πρόδικον λέξω τὰ περὶ τοῦ Ἡγήμονος.

Prodicus *ὡρολογητής*, quia et *τοῦ λόγου* (scil. *Ὡρῶν*) *ἔμμισθον ἐπίδειξιν ἐποιεῖτο* et omnino *ὡρολόγει* quasi *ὀπωρολόγος*

19 [52]

Ath. XI p. 505 E *ἄλλοι δέ φασιν ὡς ἀναγνοὺς ὁ Γοργίας τὸν Πλάτωνος διάλογον* (Gorgiam) *πρὸς τοὺς παρόντας εἶπεν ὅτι οὐδὲν τούτων οὔτ' εἶπεν οὔτ' ἤκουσε. ταὐτά φασι καὶ Φαίδωνα εἰπεῖν ἀναγνόντα τὸν Περὶ ψυχῆς. διὸ καλῶς ὁ T. περὶ αὐτοῦ ἔφη· 'ὡς — εἰδώς'.* Diog. III 26 *ἀλλὰ καὶ T.* (Platonem irridebat) *οὕτωσὶ παραγραμματίζων αὐτόν· 'ὡς — εἰδώς'* (inde Suidas v. *παραγραμματίζων*).

ὡς ἀνέπλασσε Πλάτων ὁ πεπλασμένα θαύματα εἰδώς.

ἀνέπλασσε (P, *ἀνέπλαϲε* BF) *πλάτων πεπλ.* Laert.: *ἀνέπλαττεν ὁ πλάτων πεπλασμένα* Ath. A (om. *ὁ* E): *ὁ* post *Πλάτων* transp. Nauck *θύματα* Ath.

20 [65]

Athen. XIII 610 B *τοσαῦτα τοῦ Μυρτίλου ἐξῆς καταλέξαντος καὶ πάντων αὐτὸν ἐπὶ τῇι μνήμηι θαυμασάντων ὁ Κύνουλκος ἔφη ‘πουλυμαθημοσύνης τῆς οὐ κενεώτερον οὐδέν’ Ἵππων ἔφη ὁ ἄθεος. ἀλλὰ καὶ Ἡράκλειτος ὁ θεῖός φησι* (fr. 40) *‘πουλυμαθίη νόον ἔχειν οὐ διδάσκει’, καὶ ὁ T. δὲ ἔφη*

ἐν δὲ πλατυσμός
πουλυμαθημοσύνης, τῆς οὐ κενεώτερον ἄλλο

2 falso Hipponi supra adscribi vidit Meineke. videtur genuinum dictum velut *πουλυμαθημοσύνης οὔ μοι μέλει*, aberrantibus librariis in Timoneum, confusum esse

21 [14]

1—4 Clemens Alex. strom. V 11 p. 650 Pott. *παγκάλως γὰρ ὁ Φλιάσιος T. γράφει· ‘φοιτᾶι — βάλλει’* [hinc Eus. P. E. XV 62, 15]

φοιτᾶι δὲ βροτολοιγὸς Ἔρις κενεὸν λελακυῖα,
Νίκης ἀνδροφόνοιο κασιγνήτη καὶ ἑταίρη·
ἣ τ’ ἀλαὴ περὶ πάντα κυλίνδεται, αὐτὰρ ἔπειτα
ἐς βροτοῦ ἐστήριξε κάρη καὶ ἐς ἐλπίδα βάλλει.

1 exempla homerica: E 518 *Ἄρης τε βροτολοιγὸς Ἔρις τ’ ἄμοτον μεμανῖα* et Δ 440—443 *καὶ Ἔρις ἄμοτον μεμανῖα, Ἄρεος ἀνδροφόνοιο κασιγνήτη ἑτάρη τε, ἣ τ’ ὀλίγη μὲν πρῶτα κορύσσεται, αὐτὰρ ἔπειτα οὐρανῶι ἐστήριξε κάρη καὶ ἐπὶ χθονὶ βαίνει* 2 *νίκης* Eus. BI: *νείκης* Clem. Eus. cet. cf. carm. parod. ap. Dion. Chrys. 32, 82; vide λ 543 *κεχολωμένη εἵνεκα νίκης* ubi *νείκης* perperam temptatum 3 *ἣ τε*] scil. *Ἔρις* *ἀλαὴ* R. Stephanus: *ἄλλα ἣ* Clem. Eus. 4 *ἐς βροτοῦ ἐστήριξε* Wilamowitz (cf. hom. ex.): *ἐς βροτοὺς στήριξε* libri, quod *ἔς τε* supplebat frustra Sylburg v. p. 183

22 [15]

1—3 Clem. strom. V 11 p. 651 Pott. post fr. 14 *ἔπειτα ὀλίγον ὑποβὰς ἐπιφέρει· ‘τίς γὰρ — πολλοί’ περὶ Ψευδαποφάσκοντος λόγου καὶ Κερατίνου Διαλεληθότος τε αὖ καὶ Κροκοδιλίνου, Σωρίτου τε ἔτι καὶ Ἐγκεκαλυμμένου, περί τε ἀμφιβολιῶν καὶ σοφισμάτων.* [hinc Eus. P. E. XV 62, 14 et v. 1 Theodor. V 16]

τίς γὰρ τούσδ’ ὁλοῆι ἔριδι ξυνέηκε μάχεσθαι;
Ἠχοῦς σύνδρομος ὄχλος· ὁ γὰρ σιγῶσι χολωθείς
νοῦσον ἐπ’ ἀνέρας ὦρσε λάλην, ὀλέκοντο δὲ πολλοί.

1 exemplar hom. A 8—10 *τίς τ’ ἄρ σφωε θεῶν ἔριδι ξυνέηκε μάχεσθαι; Λητοῦς καὶ Διὸς υἱός· ὁ γὰρ βασιλῆι χολωθεὶς νοῦσον ἀνὰ στρατὸν ὦρσε κακήν, ὀλέκοντο δὲ λαοί* 2 *Ἠχοῦς ὄχλος* assentantium corona velut in Protagorae Platonici scena *σιωπῶσι* Eus. 3 *λάλην* Eus.: *κακὴν* Clem.

23 [6]

Laertius Diog. I 34 [supra p. 7, 31] *οἵδε δ’ αὐτὸν* (Thaletem) *ἀστρονομούμενον καὶ T. καὶ ἐν τοῖς Σίλλοις ἐπαινεῖ αὐτὸν λέγων·*

οἷόν θ' ἑπτὰ Θάλητα σοφῶν σοφὸν ἀστρονόμημα

θ' ἑπτὰ BP¹: ἔπειτα P²F; inter VII sapientes viros politicos ille fuit astronomulus; cave *σοφῶν σοφὸν* artius iungas; annominatio qualis fr. 19. 30

24 [47]

Diog. II 6 *πρῶτος* [Anaxagoras] *τῇι ὕληι νοῦν ἐπέστησεν ἀρξάμενος οὕτω τοῦ συγγράμματος . . .· 'πάντα χρήματα ἦν ὁμοῦ· εἶτα νοῦς ἐλθὼν αὐτὰ διεκόσμησε'. παρὸ καὶ Νοῦς ἐπεκλήθη· καί φησι περὶ αὐτοῦ T. ἐν τοῖς Σίλλοις οὕτως·*

καί που Ἀναξαγόρην φάσ' ἔμμεναι ἄλκιμον ἥρω
Νοῦν, ὅτι δὴ νόος αὐτῶι, ὃς ἐξαπίνης ἐπεγείρας
πάντα συνεσφήκωσεν ὁμοῦ τεταραγμένα πρόσθεν.

1 altera pars ex T 96. 24 al.

25 [50]

1—3 Diog. II 19 *Δοῦρις δὲ καὶ δουλεῦσαι αὐτὸν* [Socratem] *καὶ ἐργάσασθαι λίθους· εἶναί τε αὐτοῦ καὶ τὰς ἐν ἀκροπόλει Χάριτας ἔνιοί φασιν ἐνδεδυμένας οὔσας. ὅθεν καὶ Τίμωνα ἐν τοῖς Σίλλοις εἰπεῖν· 'ἐκ δ' — εἰρωνευτής'. ἦν γὰρ καὶ ἐν τοῖς ῥητορικοῖς δεινός, ὥς φησι καὶ Ἰδομενεύς.* 1. 2 Clem. strom. I 14, 63 p. 352 Pott. *Ἀρχέλαος, οὗ Σωκράτης διήκουσεν· 'ἐκ δ' — ἐπαοιδός' ὁ T. φησὶν ἐν τοῖς Σίλλοις διὰ τὸ ἀποκεκλικέναι ἀπὸ τῶν φυσικῶν ἐπὶ τὰ ἠθικά.* Sext. math. VII 8 *τοῦ δὲ ἠθικοῦ μόνου ἐπεμελεῖτο Σωκράτης κατά γε τοὺς ἄλλους αὐτοῦ γνωρίμους, εἴγε καὶ ὁ Ξενοφῶν ἐν τοῖς Ἀπομνημονεύμασι ῥητῶς φησιν ἀπαρνεῖσθαι αὐτὸν τὸ φυσικὸν ὡς ὑπὲρ ἡμᾶς καθεστηκὸς καὶ μόνον σχολάζειν τῶι ἠθικῶι ὡς πρὸς ἡμᾶς ὄντι. τοιοῦτον αὐτὸν οἶδε καὶ ὁ T., ἐν οἷς φησιν 'ἓκ δ' — ἐννομολέσχης', τουτέστιν ἀπὸ τῶν φυσικῶν ἐπὶ τὴν ἠθικὴν θεωρίαν· διὸ καὶ 'ἐννομολέσχης' προσέθηκεν, ἅτε τοῦ ἠθικοῦ μέρους ὄντος τοῦ περὶ νόμων διαλέγεσθαι.*

ἐκ δ' ἄρα τῶν ἀπέκλινεν ⟨ὁ⟩ λαξόος, ἐννομολέσχης,
Ἑλλήνων ἐπαοιδός, ἀκριβολόγους ἀποφήνας,
μυκτὴρ ῥητορόμυκτος, ὑπαττικὸς εἰρωνευτής.

1 ὁ λαξόος Meineke: λαοξόος Clem. Sext.: λιθοξόος Laert. 2 ἀποφήνας P¹: ἀποφήσας BP²F, unde conicias ἀποφύσας 3 ῥητορομύκτους, ύ in corr., B: ῥητορόμυκτος PF; *nasus a rhetoribus emunctus* ὑπαττικὸς BF: ὑπατικὸς (sed corr. statim; post α litt. erasit Q) P. explicat *atticus balatro latens sub ironiae specie* (cf. ὑπάργυρος sim.) Wilamowitz; ὑμηττικὸς Meineke, ὑπαστικὸς Wachsmuth; putabam ἐπακτικὸς cf. Arist. Metaph. M 4. 1078ᵇ 27 *δύο γάρ ἐστιν α τις ἂν ἀποδοίη Σωκράτει δικαίως τούς τ' ἐπακτικοὺς λόγους καὶ τὸ ὁρίζεσθαι καθόλου.*

26 [53]

1—3 Diog. II 55 *T. δ' ἐπισκώπτει* (ἐπικόπτει *B*) *αὐτὸν ἐν τούτοις· 'ἀσθενική — γράψας'.* 2. 3 Idem II 61 *οἱ δ' οὖν τῶν Αἰσχίνου* (scil. *διαλόγων*) *τὸ Σωκρατικὸν ἦθος ἀπομεμαγμένοι εἰσὶν ἑπτά . . . . φασὶ δ' αὐτὸν δι' ἀπορίαν ἐλθεῖν εἰς Σικελίαν . . . 62 ἔπειτ' ἀφικόμενον Ἀθήναζε μὴ τολμᾶν σοφιστεύειν*

.... *ἐμμίσθους δὲ ἀκροάσεις ποιεῖσθαι, εἶτα συγγράφειν λόγους δικανικοὺς τοῖς ἀδικουμένοις· διὸ καὶ τὸν Τίμωνα εἰπεῖν ἐπ' αὐτοῦ 'ἥ τ' — γράψαι'.*

ἀσθενική τε λόγων ὀυὰς ἢ τριὰς ἢ ἔτι πρόσσω,
οἷος Ξεινοφόων ἥ τ' Αἰσχίνου οὐκ ἀπιθὴς ⟨ἵς⟩
γράψαι . . .

1 *πρόσσω* B: *πρόσω* PF: *πόρσω* P^1 corr. 2 *ἥ τ'* P^1: *ἤ τ'* BP^1 corr.: *εἴτ'* F *Αἰσχίνεω* Meineke *ἵς* add. Roeper *γράψαι* Laert. 61: *γράψας* Laert. 55

27 [54]

Diog. II 66 *ὁ δὲ T. παρέφαγεν* [Aristippum] *ὡς θρυπτόμενον οὕτωσί πως εἰπών·*

οἷά τ' Ἀριστίππου τρυφερὴ φύσις ἀμφαφόωντος
ψεύδη

1 *οἷά τ'* scil. *scripsit* l. *ψεύδεα*

28 [41]

Diog. II 107 *ταῖς τε ἀποδείξεσιν ἐνίστατο* [Euclides] *οὐ κατὰ λήμματα, ἀλλὰ κατ' ἐπιφοράν. καὶ τὸν διὰ παραβολῆς λόγον ἀνήιρει λέγων ἤτοι ἐξ ὁμοίων αὐτὸν ἢ ἐξ ἀνομοίων συνίστασθαι· καὶ εἰ μὲν ἐξ ὁμοίων περὶ αὐτὰ δεῖν μᾶλλον ἢ οἷς ὅμοιά ἐστιν ἀναστρέφεσθαι, εἰ δ' ἐξ ἀνομοίων παρέλκειν τὴν παράθεσιν. διὰ ταῦτα δὲ καὶ περὶ αὐτοῦ ταῦτά φησι T. προσπαρατρώγων καὶ τοὺς λοιποὺς Σωκρατικούς·*

ἀλλ' οὔ μοι τούτων φλεδόνων μέλει· οὐδὲ γὰρ ἄλλου
οὐδενός, οὐ Φαίδωνος, ὅτις γένετ', οὐδ' ἐριδάντεω
Εὐκλείδεω, Μεγαρεῦσιν. ὃς ἔμβαλε λύσσαν ἐρισμοῦ.

1 ex Z 450 *ἀλλ' οὔ μοι Τρώων τόσσον μέλει ἄλγος* 2 *ὅστις γετ* libri: *ὅτις γένετ'* scripsi (*quisquis ille fuit*) cf. *ε* 445 *ὅτις ἐσσί* (*ὅτις* apogr., *γένετ'* Hiller) *ὅπις γέ τις* Wachsm. *ἐριδάντης* vox Democritea

29 [28]

Diog. II 126 *φαίνεται δὴ ὁ Μενέδημος σεμνὸς ἱκανῶς γενέσθαι· ὅθεν αὐτὸν Κράτης παρωιδῶν φησι . . . ὁ δὲ T. οὕτως·*

ὄγκον ἀναστήσας, ὠφρυώμενος, ἀφροσιβόμβαξ

οὕτως· ὄγκον scripsi: *οὕτω· λόγον* libri. cf. *ὄγκον αἴρειν, αἴρεσθαι* Soph. Ai. 129, Plato Politic. 277 B; quod proprie dictum videtur de tragicis larvis cf. Poll. IV 133 *ὄγκος . . . τὸ ὑπὲρ τὸ πρόσωπον ἀνέχον εἰς ὕψος λαβοειδὲς τῶι σχήματι*; *ὄχλον* vel *λαὸν* coni. Bywater *J. of Phil.* 1882 p. 79 *ὠφρυωμένος* libri (cf. G. Meyer Gr. Gr. § 150 ubi add. Inscr. Magnesiae 17, 49 (oraculum) ed. Kern; potissimum ante *ω υ* elidi demonstrat *δώδεκα*): vulgo *ὀφρυώμενος* etiam peius *ἀφροσιβόμβαξ* sive *ὁ τοῖς ἄφροσι* sive *ὁ ἄφροσι λόγοις βομβῶν*: *ἄφροσι βόμβαξ* fort. recte divisit Wilamowitz

30 [7]

Diog. III 7 *ἐπανελθὼν δὲ εἰς Ἀθήνας* [Plato] *διέτριβεν ἐν Ἀκαδημίαι. τὸ δ' ἐστὶ γυμνάσιον προάστιον ἀλσῶδες, ἀπό τινος ἥρωος ὀνομασθὲν Ἀκαδήμου· καθὰ καὶ Εὔπολις . . . . ἀλλὰ καὶ ὁ T. εἰς τὸν Πλάτωνα λέγων φησί·*

τῶν πάντων δ' ἡγεῖτο πλατίστακος, ἀλλ' ἀγορητὴς
ἡδυεπής, τέττιξιν ἰσογράφος, οἳ θ' Ἑκαδήμου
δένδρει ἐφεζόμενοι ὅπα λειριόεσσαν ἱεῖσι.

πρότερον γὰρ διὰ τοῦ ε Ἑκαδημία ἐκαλεῖτο.

1 cf. B 567 *συμπάντων δ' ἡγεῖτο* **πλατίστακος** P: *πλατίστατος* B: *πλατύστακος* F. in Academicorum piscina (cf. 32) praenatantem facit Platonem cum annominatione vocans *πλατίστακον* i. e. mullum praegrandem, laudatissimum piscem; cf. Ath. III 118 C *οἱ μὲν οὖν μείζονες αὐτῶν ὀνομάζονται πλατίστακοι οἱ δὲ μέσην ἔχοντες ἡλικίαν μύλλοι, οἱ δὲ βαιοὶ τοῖς μεγέθεσιν ἀγνωτίδια.* similiter ludit in Platonem Luc. Piscat. 49; *ἀγορητὴς ἡδυεπής* ex A 248; non mutus est piscis, verum Nestoria suada insignis 2 *τέττιξιν* cf. Γ 150 *ἀλλ' ἀγορηταὶ ἐσθλοὶ τεττίγεσσιν ἐοικότες οἵ τε καθ' ὕλην δένδρει* (sic Zenodotus, *δενδρέωι* Arist.) *ἐφεζόμενοι ὅπα λειριόεσσαν ἱεῖσιν* *ἰσοκράγος* Meineke 3 *δένδρει* PF: *δένδρω* B *ἱεῖσι*, suprascr. *α* P^1F: *ἰᾶσι* B

31 [16]

Diog. IV 33 *ἀλλὰ καὶ τὸν Πύρρωνα κατά τινας ἐζηλώκει* [Arcesilas] *καὶ τῆς διαλεκτικῆς εἶχετο καὶ τῶν Ἐρετρικῶν ἥπτετο λόγων· ὅθεν καὶ ἐλέγετο ἐπ' αὐτοῦ ὑπ' Ἀρίστωνος· 'πρόσθε Πλάτων ὄπιθεν Πύρρων, μέσσος Διόδωρος' καὶ ὁ T. ἐπ' αὐτοῦ φησιν οὕτως· 'τῆι — Διόδωρον'.* Numen. ap. Eus. P. E. XIV 5, 12 *ὑπὸ μὲν Κράντορος* (Arcesilas) *πιθανουργικός, ὑπὸ Διοδώρου δὲ σοφιστής, ὑπὸ δὲ Πύρρωνος ἐγένετο παντοδαπὸς καὶ ἴτης καὶ οὐδείς . . . . T. δὲ καὶ ὑπὸ Μενεδήμου τὸ ἐριστικὸν φησι λαβόντα* (Arcesilaum) *ἐξαρτυθῆναι, εἴπερ γε δή φησι περὶ αὐτοῦ· 'τῆι — Διόδωρον'. ταῖς οὖν Διοδώρου διαλεκτικοῦ ὄντος λεπτολογίαις τοὺς λογισμοὺς τοὺς Πύρρωνος καὶ τὸ σκεπτικὸν καταπλέξας διεκόσμησε λόγον δεινότητι τῆι Πλάτωνος φλήναφόν τινα κατεστωμυλμένον καὶ ἔλεγε καὶ ἀντέλεγε καὶ μετεκυλινδεῖτο κἀκεῖθεν κἀντεῦθεν, ὁποτέρωθεν τύχοι, παλινάγρετος καὶ δύσκριτος, καὶ παλίμβολός τε ἅμα καὶ παρακεκινδυνευμένος.* cf. Laert. IX 115 [infra fr. 73]

τῆι γὰρ ἔχων Μενέδημον ὑπό στέρνοισι μόλυβδον
θεύσεται ἢ Πύρρωνα τὸ πᾶν κρέας ἢ Διόδωρον.

1 cf. ε 346 *τῆι δέ, τόδε κρήδεμνον ὑπὸ στέρνοισι τανύσσαι* *τῆι μὲν* Num. *μενέδημος* Laert.: *μενεδήμου* Num. 2 *θεύσεται* Num.: *θήσεται* Laert. *ἢ 'ς Πύρρωνα* Meineke post Casauboni *ἐς Π.* conl. fr. 32 *τὸ πᾶν κρέας* cf. Theocr. 8, 18 *τὸ πᾶν λίθος* (Amaryllis); *πάγκρεας* (Eus. codd. pauci) procul habendum. Arcesilan naviculae aut avi natatili comparari putabat Wilamowitz (*Antig.* 72), cui ad stabiliendum cursum plumbum scepticum *ἀταραξίας* tamquam saburra subdatur. mihi Arcesilas piscis dici videtur (cf. fr. 17) et Menedemus *μόλυβδος* ut Pyrrhon *τὸ πᾶν κρέας* et Cleanthes *ὅλμος ἄτολμος* (fr. 41). ceterum cf. Praef. p. 183

32 [17]

Diog. IV 33 post fr. 31 *καὶ διαλιπὼν αὐτὸν* [Arcesilan] *ποιεῖ λέγοντα*

νήξομαι εἰς Πύρρωνα καὶ εἰς σκολιὸν Διόδωρον.

33 [18]

Diog. IV 33 post fr. 32 *ἦν δὲ ἀξιωματικώτατος καὶ συνηγμένος καὶ ἐν τῇι λαλιᾶι διαστατικὸς τῶν ὀνομάτων, ἐπικόπτης θ' ἱκανῶς καὶ παρρησιαστής· διὸ καὶ πάλιν ὁ T. οὕτωσι περὶ αὐτοῦ·*

καὶ νέον μηλήσεις ἐπιπλήξεσιν ἐγκαταμειγνύς.

μηλήσεις B: *μηλήσης* P: *μὴ λήσει σε* F; *καὶ νόον αἰμυλίοις* Wilamowitz; fort. *καὶ νέων κηλήσεις* (secuntur enim in Diog. de adulescentulis ioci)

34 [19]

Diog. IV 42 *εἰς δὲ τὸ διαβαλλόμενον αὐτοῦ* (Arcesilai) *φίλοχλον καὶ T. τά τε ἄλλα φησίν, ἀτὰρ δὴ τοῦτον τὸν τρόπον·*

ὡς εἰπὼν ὄχλοιο περίστασιν εἰσκατέδυνεν.
οἱ δέ μιν ἠύτε γλαῦκα περὶ σπίλοι τερατοῦντο
ἠλέματον δεικνύντες, ὁθούνεκεν ὀχλοάρεσκος·
οὐ μέγα πρῆγμα, τάλας· τί πλατύνεαι ἠλίθιος ὥς;

1 homericum initium 2 *σπίλος* Laert.: corr. Casaub. 3 *ὀχλοαρέσκης* P: *ὄχλωι ἀρέσκεις* BF: corr. codd. iuniores 4 *πλατύνεαι* *in vulgus effunderis* cf. *πλατυσμός* fr. 20 et *πλατυρημοσύνη* fr. 35. in bonam partem *τὴν ψυχὴν εὐγενεστέραν τῆς φύσεως πλατύνας* tit. Antigoneensis *Bull. corr. hell.* XX 124 v. 11

35 [42]

Diog. IV 67 *καθόλου δὲ τοὺς Ἀκαδημιακοὺς ὁ T. οὕτω διασύρει·*

οὐδ' Ἀκαδημιακῶν πλατυρημοσύνης ἀνάλιστου

ἀκαδημαϊκῶν libri

36 [43]

Diog. V 11 *ἀλλὰ καὶ T. αὐτοῦ* [Aristotelis] *καθήψατο εἰπών·*

οὐδ' ἄρ' Ἀριστοτέλους εἰκαιοσύνης ἀλεγεινῆς

Ψ 701 *παλαισμοσύνης ἀλεγεινῆς*

37 [12]

Diog. VI 18 *καὶ ταῦτα μέν ἐστιν ἃ συνέγραψεν* [Antisthenes], *ὡι* [sic P^1, vulgo *ὁ*] *T.* [*δὲ* add. vulg.] *διὰ τὸ πλῆθος ἐπιτιμῶν* [*αὐτῶι* add. vulg.]

παντοφυῆ φλέδονα

φησὶν αὐτόν.

38 [8]

Diog. VII 15 [unde Suidas s. v. *σκινδαψός*] *ἦν δὲ καὶ ζητητικὸς καὶ περὶ πάντων ἀκριβολογούμενος· ὅθεν καὶ ὁ T. ἐν τοῖς Σίλλοις φησὶν οὕτω·*

καὶ Φοινισσαν ἴδον λιχνόγραυν σκιερῶι ἐνὶ τύφωι
πάντων ἱμείρουσαν· ὁ δ' ἔρρει γυργαθὸς αὐτῆι
σμικρὸς ἐών· νοῦν δ' εἶχεν ἐλάσσονα κινδαψοῖο.

1 *ἰδὸν* B^1: *εἶδον* PF: *ἰδὼν* B^2 2 *αὐτῆς μικρὸς* libri: correxi 3 *ἐὼν* Menage: *ἴων*, sed *ι* in ras. P: *ἰὼν* BF. intellego difficilem lusum sic: *Zeno*

Phoenissa anus sedet in umbroso loco fumi dogmatici repleto (Stoam Poecilen oblique tangit). *inde omnes pisces nassa sua minutulis conclusiunculis tamquam viminibus contexta capere cupit. at nassa cum minor sit quam ut tot tantosque capiat pisces invicem eorum impetu labitur et flumine rapitur. nec animadvertit hilum stupida anus.* γυργαθὸς (vimineum textum) iuxta ἔρρει vix aliud significat praeter nassam. κινδαψός vel σκινδαψός, proprie musicum instrumentum saligneum, pro levissima re erat, quam notionem grammatici et philosophi posteriores unam norunt. similiter νόον κόκκος fr. 66, 3

39 [20]

Diog. VII 16 ἦσαν δὲ περὶ αὐτὸν [Zenonem] καὶ γυμνορρύπαροί τινες, ὥς φησι καὶ ὁ *T.*·

ὄφρα πενεστάων σύναγεν νέφος, οἱ περὶ πάντων
πτωχότατοί τ' ἦσαν καὶ κουφότατοι βροτοὶ ἀστῶν.

2 βροτοὶ ἀστῶν B (sed ἀστῶν m. alt.?), P: ἀστῶν ἄϋοι F: βροτοὶ ἀνδρῶν Wachsmuth: ἀνθρώπων Meineke: conicio μεταναστῶν ex Hom. I 648

40 [61]

Diog. VII 161 οὕτω δὲ φιλοσοφῶν [Aristo Chius Stoicus] καὶ ἐν Κυνοσάργει διαλεγόμενος ἴσχνσεν αἱρετιστὴς ἀκοῦσαι. *Μιλτιάδης οὖν καὶ Δίφιλος Ἀριστώνειοι προσηγορεύοντο. ἦν δέ τις πειστικὸς καὶ ὄχλωι πεποιημένος. ὅθεν καὶ T. φησὶ περὶ αὐτοῦ*·

καί τις Ἀρίστωνος γέννης ἄπο αἰμύλον ἕλκων

γενεὴν Meineke; αἰμύλου editiones. fortasse τι scribendum: *affabile quiddam ex Aristonis genere deduxit* nescio quis discipulus cf. Plut. Sol. 29 καὶ γὰρ αἰμύλον τι καὶ προσφιλὲς εἶχεν ἐν τῶι διαλέγεσθαι

41 [24]

Diog. VII 170 [hinc Anth. Pal. Plan. XI 296] ἦν [Cleanthes] πονικὸς μέν, ἀφύσικος [sic libri: opp. φυσικός = εὐφυής IV 36, de quo Wilam. *Antig.* p. 80] δὲ καὶ βραδὺς ὑπερβαλλόντως· διὸ καὶ *T.* περὶ αὐτοῦ φησιν οὕτως·

τίς δ' οὗτος κτίλος ὣς ἐπιπωλεῖται στίχας ἀνδρῶν;
μωλυτὴς ἐπέων, λίθος Ἄσσιος, ὅλμος ἄτολμος.

1 exemplar Γ 196 αὐτὸς δὲ κτίλος ὣς ἐπιπωλεῖται στίχας ἀνδρῶν. pugnae descriptio continuatur 2 μωλυτὴς ἐπέων] ὁ μωλύων τὰ ἔπη ἀλληγορικῶς λίθος Meineke: φίλος libri, quod iungi cum ἐπέων metro vetatur. λίθος Ἄσσιος est sarcophagus. ὅλμος propter massae gravitatem

42 [49]

Diog. VIII 67 οὐ παρῆκε δ' οὐδὲ τοῦτον [Empedoclem] ὁ *T.*, ἀλλ' ὧδ' αὐτοῦ καθάπτεται λέγων·

καὶ Ἐμπεδοκλῆς ἀγοραίων
ληκητὴς ἐπέων· ὅσα δ' ἔσθενε τοσσάδε εἶλεν
ἄρχων ὃς διέθηκ' ἀρχὰς ἐπιδευέας ἄλλων.

1 ἀγοραίων] aut propter eloquentiam popularem ab eo inventam aut propter modum carminum popularem 2 ὅσα P²: ὅσσα P¹BF εἶλεν B²PF:

εἶλεν B¹. neutrum propter hiatum et notionem quadrat; conicio τοσσάδ' ἔειπεν 3 ἄρχων ὃς libri: ἀρχῶν, ὃς Sturz; conicio ἄρχειν ἃς intellegens: *quaecumque valebant in mundo regnare iussit* (IV elementa); *quae nimirum principia ita disposuit, ut aliis iterum egeant principiis.* cf. Philop. d. gen. et corr. p. 160, 22 Vit. αὐτῶν δὲ τῶν στοιχείων γένεσιν οὐκέτι λέγειν δύναται (Emp.) μὴ ὑποτιθέμενος καὶ αὐτῶν τούτων ἁπλούστερα στοιχεῖα. cf. p. 90 n. 43.

43 [29]

Diog. IX 6 (τὸ βιβλίον) ὡς μέν τινες, ἐπιτηδεύσας ἀσαφέστερον γράψαι, ὅπως οἱ δυνάμενοι προσίοιεν αὐτῷ καὶ μὴ ἐκ τοῦ ὁημώδους εὐκαταφρόνητον ἦι. τοῦτον δὲ καὶ ὁ T. ὑπογράφει λέγων· 'τοῖς — ἀνόρουσε'. Procl. in Alcibiad. prior. I p. 525, 19 ed. Cous. ὀρθῶς οὖν καὶ ὁ γενναῖος Ἡράκλειτος ἀποσκορακίζει τὸ πλῆθος ὡς ἄνουν καὶ ἀλόγιστον· (sequ. Heracl. fr. 104) τοιαῦτα μὲν ὁ Ἡράκλειτος· διὸ καὶ ὁ σιλλογράφος 'ὀχλολοίδορον' αὐτὸν ἀπεκάλεσεν.

τοῖς δ' ἔνι κοκκυστής, ὀχλολοίδορος Ἡράκλειτος,
αἰνικτὴς ἀνόρουσε.

imitatio A 247 τοῖσι δὲ Νέστωρ — ἡδυεπὴς ἀνόρουσε

1 ὁ' ἐπικοκκαστὴς Nauck conl. Ar. Thesm. 1059 ὀχλολοίδορος opponitur sophistis quos Ἠχοῦς ὄχλος excitat fr. 22. 34

44 [4]

Diog. IX 22 τὰς δὲ αἰσθήσεις μὴ ἀκριβεῖς ὑπάρχειν. φησὶ γοῦν 'μηδέ σ' ἔθος — ἔλεγχον' (Parm. 1, 34 sqq.). διὸ καὶ περὶ αὐτοῦ φησιν ὁ T.·

Παρμενίδου τε βίην μεγαλόφρονος οὐ πολύδοξον,
ὃς ῥ' ἀπὸ φαντασίας ἀπάτης ἀνενείκατο νώσεις . . .

1 Παρμενίδεω Meineke βίην homericum velut in Necyia 601 μεγαλόφρονος οὐ Neap. III B 28 (ut conieceram cf. 45, 1): μεγαλόφρονος ὁ BP¹: μεγαλόφρονα τὴν interpolati P²F πολύδοξον ad Parmenideum morem (1, 2. 4. 18. 36 al.) novatum vulgi πολύπειρον ἔθος (Parm. 1, 34) spectat 2 ἀπὸ Wachsmuth: ἐπὶ libri φαντασίης Wachsmuth ἀπάτης tendit in Parm. 8, 52 ἀνενείκατο] in altam mentis purae regionem

45 [5]

1—3 Diog. IX 25 περὶ τούτου (Zenonis Eleatae) καὶ Μελίσσου T. φησὶ ταῦτα· 'ἀμφοτερογλώσσου — ἦσσω'. 1. 2 Plut. Pericl. c. 4 Ζήνωνος τοῦ Ἐλεάτου πραγματευομένου περὶ φύσιν ὡς Παρμενίδης, ἐλεγκτικὴν δέ τινα καὶ δι' ἀντιλογίας κατακλείουσαν εἰς ἀπορίαν ἐξασκήσαντος ἕξιν, ὥσπερ καὶ T. ὁ Φλιάσιος εἴρηκε διὰ τούτων· 'ἀμφοτερογλώσσου — ἐπιλήπτορος'. Elias (olim David) in Ar. Categ. p. 109, 7 Busse [Zenon] ὁ Ἐλεάτης ὁ καὶ Παρμενίδειος ὁ ἀμφοτερόγλωσσος, περὶ οὗ εἴρηται· 'ἀμφοτερογλώττοιο — Ζήνωνος'. ἀμφοτερόγλωσσος δὲ ἐκλήθη οὐχ ὅτι διαλεκτικὸς ἦν ὡς ὁ Κιττιεὺς καὶ τὰ αὐτὰ ἀνεσκεύαζε καὶ κατεσκεύαζεν, ἀλλ' ὅτι τῆι ζωῆι διαλεκτικὸς ἦν ἄλλα μὲν λέγων ἄλλα δὲ φρονῶν. Simplic. phys. p. 139, 3 καὶ εἰκὸς μὲν ἦν Ζήνωνα ὡς ἐφ' ἑκάτερα γυμναστικῶς ἐπιχειροῦντα (διὸ καὶ 'ἀμφοτερόγλωσσος' λέγεται) κτλ. Idem ibid. p. 1011, 11 περὶ οὗ (scil. Ζήνωνος τοῦ Ἐλεάτου)

ὁ σιλλογράφος εἶπε τὸ 'ἀμφοτερογλώσσοιο — Ζήνωνος'. Procl. in Parm. p. 632, 13 (Paris 1864) καὶ τιθέντα καὶ ἀναιροῦντα τὰ μαχόμενα (Platonem) καὶ οὐχ ὡς ἐκεῖνος (Zeno) τιθέντα μόνον· δι' ὧν τὸν πλοῦτον τῶν ἐπιχειρήσεων πολλῶι ποικιλώτερον δεῖξαι τοῦ παρ' ἐκείνωι τοὺς ἄλλους οὕτως ἐκπλήξαντος, ὥστε καὶ τὸν σιλλογράφον 'ἀμφοτερόγλωσσον' αὐτὸν προσειπεῖν καὶ τὴν δύναμιν ἀγασθέντα τοῦ ἀνδρὸς 'μέγα σθένος' φάναι καὶ 'οὐκ ἀλαπαδνὸν Ζήνωνος'. Idem ibid. p. 684, 26 ὁ σιλλογράφος 'ἀμφοτερόγλωσσον' αὐτὸν (Zenonem) προσεῖπεν ὡς ἐλεγκτικὸν ἅμα καὶ ὑφηγηματικόν. Scholia Iambl. V. P. 267 p. 198, 2 ed. Nauck. Ζήνων ὁ ἀμφοτερόγλωσσος.

ἀμφοτερογλώσσου τε μέγα σθένος οὐκ ἀλαπαδνόν
Ζήνωνος πάντων ἐπιλήπτορος ἡδὲ Μέλισσον
πολλῶν φαντασμῶν ἐπάνω, παύρων γε μὲν ἥσσω . . .

1 ἀμφοτερογλώσσοιο (vel — ώττοιο) om. τε Simpl., Elias μέγα — ἀλαπαδνὸν homerica 2 πάντων Plut.: πλάτων Laert. μελίσσον Laert.: corr. Meineke, qui v. 4 continuat γιγνόμενον 3 paucis commentis dogmaticorum obstrictum, plerisque liberum ἥσσω BP: εἴσω F

46 [2]

Diog. IX 40 πάντων γὰρ σχεδὸν τῶν ἀρχαίων μεμνημένος ὁ Πλάτων οὐδαμοῦ Δημοκρίτου διαμνημονεύει, ἀλλ' οὐδ' ἔνθα ἀντειπεῖν τι αὐτῶι δέοι, δῆλον ⟨ὅτι⟩ εἰδὼς ὡς πρὸς τὸν ἄριστον οὕτω [αὐτῶι Reiske] τῶν φιλοσόφων ἔσοιτο ⟨ὁ ἀγών add. Casaub.⟩· ὅν γε καὶ T. τοῦτον ἐπαινέσας τὸν τρόπον ἔχει·

οἷον Δημόκριτόν τε περίφρονα ποιμένα μύθων,
ἀμφίνοον λεσχῆνα μετὰ πρώτοισιν ἀνέγνων.

cf. A 263 οἷον Πειρίθοόν τε Δρύαντά τε ποιμένα λαῶν; etiam μετα πρώτοισιν homericum ἀνέγνων scil. in Orco

47 [10]

Diog. IX 52 [Protagoras] πρῶτος μισθὸν εἰσεπράξατο μνᾶς ἑκατὸν . . . καὶ λόγων ἀγῶνας ἐποιήσατο καὶ σόφισμα τοῖς πραγματολογοῦσι προσήγαγε καὶ τὴν διάνοιαν ἀφεὶς πρὸς τοὔνομα διελέχθη καὶ τὸ νῦν ἐπικόλαιον γένος τῶν ἐριστικῶν ἐγέννησεν· ἵνα καὶ T. φησὶ περὶ αὐτοῦ·

Πρωταγόρης τ' ἐπίμεικτος ἐριζέμεναι εὖ εἰδώς

1 ἐπίμικτος codd.; intellego de pugna cf. E 506 ἄψ ἐπιμισγομένων. solitariis philosophis velut Heraclito Pyrrhoni Philoni [fr. 50] opponi Protagoram gregarium sophistam putat Wilam. εὖ εἰδώς] cf. κελητίζειν εὖ εἰδώς O 679

48 [38]

Diog. IX 64 καὶ δὴ καὶ ζηλωτὰς πολλοὺς εἶχε [Pyrrhon] τῆς ἀπραγμοσύνης, ὅθεν καὶ ὁ T. περὶ αὐτοῦ φησιν οὕτως ἐν τῶι Πύθωνι * * * καὶ ἐν τοῖς Σίλλοις·

ὦ γέρον, ὦ Πύρρων, πῶς ἦ πόθεν ἔκδυσιν εὗρες
λατρείης δοξῶν [τε] κενεοφροσύνης τε σοφιστῶν

1 initium homericum ἔκδυσιν BP¹: ἔκλυσιν P²F 2 τε del. et κενοφροσύνης librorum corr. Usener

καὶ πάσης ἀπάτης πειθοῦς τ' ἀπελύσαο δεσμά;
οὐδ' ἔμελέν σοι ταῦτα μεταλλῆσαι, τίνες αὖραι
Ἑλλάδ' ἔχουσι, πόθεν τε καὶ εἰς ὅ τι κύρει ἕκαστα.

4 *οὐδ' ἔμελεν* P¹: *οὐδ' ἔμελε* B: *οὐδὲ μέλει* F *μεταλλήσῃ* ut vid. P¹: *μετάλλησι* B: *μεταμελήσειν* F cf. *π* 465 *οὐκ ἔμελέν μοι ταῦτα μεταλλῆσαι τίνες* Cobet: *τίνος* aut *τινὸς* libri 4. 5 spectat physicorum meteorologiam et cosmologiam

49 [62]

Diog. IX 69 *ἦν πολεμώτατος τοῖς σοφισταῖς, ὡς καὶ T. φησίν.*

scil. Eurylochus Pyrrhonis discipulus. *τίμων* F et (ex *τίμωνα* corr.) P¹: *τίμωνά* B

50 [63]

Diog. IX 69 (post fr. 49) *ὁ δὲ Φίλων* [Pyrrhonis discipulus] *τὰ πλεῖστα διελέγετο ⟨ἑαυτῷ⟩, ὅθεν καὶ περὶ τούτου φησὶν οὕτως·*

ἦ τὸν ἀπ' ἀνθρώπων αὐτόσχολον, αὐτολαλητήν,
οὐκ ἐμπαζόμενον δόξης ἐρίδων τε Φίλωνα.

cf. *φ* 364 *οἷον ἀπ' ἀνθρώπων* et fr. 60, 2 *ἀπόσχολον* Laert.: corr. Meineke 2 *φίλωνα* (sed *α* pr. m. del.) P, F: *φίλων* B

51 [55]

Diog. X 2 [Usen. Epicur. p. 360, 3] *φησὶ δ' Ἕρμιππος γραμματοδιδάσκαλον αὐτὸν* [Epicurum] *γεγενῆσθαι, ἔπειτα μέντοι περιτυχόντα τοῖς Δημοκρίτου βιβλίοις ἐπὶ φιλοσοφίαν ἆιξαι· διὸ καὶ Τίμωνα φάσκειν περὶ αὐτοῦ· 'ὕστατος — ζωόντων'.* Athen. XIII p. 588 A *ὅστις* [Epicurus] *ἐγκυκλίου παιδείας ἀμύητος ὢν ἐμακάριζε καὶ τοὺς ὁμοίως αὐτῷ ἐπὶ φιλοσοφίαν παρεχομένους τοιαύτας φωνὰς προιέμενος 'μακαρίζω σε, ὦ οὗτος, ὅτι καθαρὸς πάσης αἰκίας* [correxi cf. Plut. d. lib. educ. p. 8 F: *αἰτίας* AE: *παιδείας* Schweighäuser] *ἐπὶ φιλοσοφίαν ὥρμησας'. ὅθεν αὐτὸν καὶ ὁ T. φησὶ 'γραμματοδιδασκαλίδην ἀναγωγότατον ζωόντων'.*

ὕστατος αὖ φυσικῶν καὶ κύντατος, ἐκ Σάμου ἐλθὼν
γραμματοδιδασκαλίδης, ἀναγωγότατος ζωόντων.

2 *γραμματοδιδασκαλίδης* Laert. (BF) recte: *γραμματαδιδασκαλίδης* Laert. (F) cf. Ath.: *γραμματοδιδασκαλιδῶν* Kaibel vix recte, si iungas *ἐκ Σάμου ἐλθών*. calumnia, quam Hermippus propagat, etsi tum in multos iactabatur (cf. Demosthenis contra Aeschinem cavillationes) retorquere videtur quae de Protagora ipse Epicurus finxerat fr. 172 Us.

52 [25]

Galen. ad Hipp. epid. VI 44 [XVII 1, 989 K.] *πολυειδῶς δὲ καὶ ἄλλως γράφουσι καὶ διαιροῦσιν οὐ ταύτην μόνον τὴν ῥῆσιν, ἀλλὰ καὶ τῶν ἄλλων τὰς πλείστας ἐξηγησάμενοι τοῦτο τὸ βιβλίον, ὡς ἀποῤῥῆσαί τινα τῶν ἐπὶ τὰ τῆς τέχνης ἔργα σπευδόντων. ⟨ὧν⟩ φαίνονταί τινες ποιεῖν ὅπερ ὁ T. εἶπεν εἰκάζων·*

. . . τί θέλεις; ὀλίγον κρέας, ὀστέα πολλά

εἰκάζων iniuria Timoni tribuitur, qui *εἰκασμὸν ἰχθύος* proponit.

53 [p. 28]

GALEN. Subfig. empir. p. 62, 18 Bonnet: *at vero neque multiloquus neque longiloquus erit empiricus sed pauca loquetur et rara sicut et Pyrrhon scepticus qui veritatem quaerens et non inveniens ambigebat de omnibus immanifestis, in die operationibus sequens evidentia, de omnibus autem quae sunt extra haec ambigens. qualis autem est secundum totam vitam scepticus talis est circa medicativam empiricus neque in gloria deficiens neque superbus existens et vir non plasmatus* (sic interpres.; in mrg. *al' pusillanimus* alucinantis periculum) *et absque vana gloria, sicut ait Timon fuisse Pyrrhonem.*

Timonei fragm. fines certo definiri non possunt nec certum, utrum e Sillis sit petitum an ex Pythone, quode cogitat Wachsm. p. 28. mihi quidem illud in Galeno (cf. 52) verisimilius. ubi poterat versus claudi sic: *ἁπλάσματος, οὐ κενόδοξος. ἁπλάσματος* (ut *ἀσώματος*) non nihil differt ab *ἄπλαστος*. hoc est *simplex*, illud *πλάσματα* (dogmaticorum cf. fr. 19) *nesciens*. sed fortasse Galenus solvit versus: *ἀνὴρ ἀνεπίπλαστος* [cf. Diog. II 117 de Stilpone] *καὶ ἀκενόδοξος*.

54 [26]

1—3 GELLIUS III 17, 4 sq. *T. amarulentus librum maledicentissimum conscripsit, qui Σίλλος inscribitur. in eo libro Platonem philosophum contumeliose appellat, quod impenso pretio librum Pythagoricae disciplinae emisset exque eo Timaeum nobilem illum dialogum concinasset. versus super ea re Τίμωνος hi sunt: 'καὶ σύ — ἐδιδάχθης'.* 2. 3 IAMBLICH. in Nicomach. p. 105, 11 Pist. *Τίμαιός τ' οὖν ὁ Λοκρὸς ἐν τῷι Περὶ φύσεως κόσμω καὶ ψυχᾶς· ἀφ' οὗπερ ἐφοδιασθέντα Πλάτωνα τὸν διὰ τοῦτο φερώνυμον Τίμαιον συντάξαι λέγουσιν, ὧν ἐστιν καὶ ὁ τοὺς Σίλλους ποιήσας T. λέγων οὕτως· 'πολλῶν — ἐδιδάχθης' κτλ.* SCHOL. Plat. Timae. p. 20 A *Τίμαιος ... φιλόσοφος Πυθαγόρειος ἔγραψε μαθηματικά τε καὶ περὶ φύσεως σύγγραμμα τὸν Πυθαγορικὸν τρόπον. ἔνθεν ὁ Πλάτων καὶ τὸν διάλογον εἰς αὐτὸν ἔγραψε, καθὰ καὶ ὁ σιλλογράφος φησὶ περὶ αὐτοῦ 'πολλῶν — ἐδιδάχθης'.* PROLEG. PLATON. philos. 5 (p. 201 Herm.) *τὸν Τίμαιον ἑπτὰ ἀργυρίων ὠνησάμενος ἀπὸ τῶν Πυθαγορείων κατὰ μίμησιν αὐτοῦ ἔγραψε* (Plato) *τὸν διάλογον· ὅθεν καὶ φέρεταί τι ἔπος τοιόνδε· 'πολλῶν — ἐδιδάχθης'.* de Tzetzae Chil. X 806 ficticio testimonio (fr. 26ª Wachsm.) cf. Kaibel Com. I 152, 3. 3 PROCL. in Plat. Timae. p. 1 ed. Schneider. *τὸ τοῦ Πυθαγορικοῦ Τιμαίου γράμμα Περὶ φύσεως τὸν Πυθαγορικὸν τρόπον διατάττεται, 'ἔνθεν ἀφορμηθεὶς' ὁ Πλάτων 'τιμαιογραφεῖν ἐπιχειρεῖ' κατὰ τὸν σιλλογράφον.*

καὶ σύ, Πλάτων· καὶ γάρ σε μαθητείης πόθος ἔσχεν,
πολλῶν δ' ἀργυρίων ὀλίγην ἠλλάξαο βίβλον·
ἔνθεν ἀπαρχόμενος τιμαιογραφεῖν ἐδιδάχθης.

1 *μαθητείης* Gell. (Vatic. 3452): *μαθήτην ὁ* cet.: *μαθητεύειν* Brunck 2 *δ'* om. Prol. *ἠλλάξατο* Iambl., Schol.: *ἤλαξα* Prol. *βίβλον*] *μολπήν* Prol. 3 *ἀπαρχόμενος* Gell.: *ἀφορμηθεὶς* ceteri *ἐδιδάχθης* Gell.: *ἐπεχείρει* vel *ἐπιχειρεῖ* ceteri liber emptus a Platone non Timaeus Locrus, sed Philolaus intellegendus.

55 [p. 30]

NUMENIUS fr. 2 Theding. [Eus. P. E. XIV 6, 5] *Μνασέας καὶ Φιλόμηλος καὶ T. οἱ σκεπτικοὶ σκεπτικὸν αὐτὸν* [Arcesilaum] *προσονομάζουσιν, ὥσπερ καὶ*

αὐτοὶ ἦσαν, ἀναιροῦντα καὶ αὐτὸν τὸ ἀληθὲς καὶ τὸ ψεῦδος καὶ τὸ πιθανόν. ad *Ἀρκεσιλάου περίδειπνον* (cf. fr. 73) referebat Wachsmuth. at Numenio certe Silli soli sunt noti. cf. fr. 31.

56 [13]

PLUTARCH. Dion. c. 17 *Σπευσίππωι . . . ., ᾧι μάλιστα τῶν Ἀθήνησι φίλων ἐχρῆτο καὶ συνδιητᾶτο* [Dion], *βουλομένου τοῦ Πλάτωνος ὁμιλίαι χάριν ἐχούσηι καὶ παιδιᾶς ἐμμελοῦς κατὰ καιρὸν ἁπτομένηι κεραννύμενον ἀφηδύνεσθαι τοῦ Δίωνος τὸ ἦθος. τοιοῦτος δέ τις ὁ Σπεύσιππος ἦν, ἧι καὶ ‘σκῶψαι ἀγαθὸν’ αὐτὸν ἐν τοῖς Σίλλοις ὁ T. προσηγόρευσεν* [hinc Theodor. Prodr. epist. Migne P. G. t. 133 p. 1242]

57 [3]

PLUT. Num. c. 8 *ἐκεῖνος* [Pythagoras] *ἀετόν τε δοκεῖ πραῦναι φωναῖς τισιν ἐπιστήσας καὶ καταγαγὼν ὑπερπτάμενον τόν τε μηρὸν ὑποφῆναι χρυσοῦν Ὀλυμπίασι διαπορευόμενος τὴν πανήγυριν· ἄλλας τε τερατώδεις μηχανὰς αὐτοῦ καὶ πράξεις ἀναγγέλλουσιν· ἐφ’ αἷς καὶ T. ὁ Φλιάσιος ἔγραψε· ‘Πυθαγόρην — ὀαριστήν’.* DIOG. VIII 36 *τὴν δὲ σεμνοπρέπειαν τοῦ Πυθαγόρου καὶ T. ἐν τοῖς Σίλλοις δάκνων αὐτὸν ὅμως οὐ παρέλιπεν εἰπὼν οὕτω· ‘Πυθαγόρην — ὀαριστήν’.*

Πυθαγόρην τε γόητας ἀποκλίνοντ’ ἐπὶ δόξας
θήρηι ἔπ’ ἀνθρώπων, σεμνηγορίης ὀαριστήν.

1 *ἀπόκλινον* Laert. 2 ex τ 179 *Διὸς μεγάλου ὀαριστήν*

58 [9]

1—4 PLUT. de virt. mor. 6 p. 446 B *τῶι γὰρ ὄντι πλησίστιος μὲν ἐπὶ τὰς ἡδονὰς ὁ ἀκόλαστος ὑπὸ τῶν ἐπιθυμιῶν φέρεται καὶ δίδωσιν ἑαυτὸν καὶ συγκατευθύνει· πλάγιος δὲ ὁ ἀκρατής, οἷον ἐξαναφέρειν γλιχόμενος καὶ διωθεῖσθαι τὸ πάθος ὑποσύρεται καὶ περιπίπτει περὶ τὸ αἰσχρόν· ὡς Ἀνάξαρχον ἐσίλλαινε T.· ‘ἓν δὲ — σοφιστῶν’. οὔτε γὰρ ὁ σοφὸς ἐγκρατὴς ἀλλὰ σώφρων· οὔτε ὁ ἀμαθὴς ἀκρατὴς ἀλλὰ ἀκόλαστος· ὁ μὲν γὰρ ἥδεται τοῖς καλοῖς, ὁ δὲ οὐκ ἄχθεται τοῖς αἰσχροῖς. σοφιστικῆς οὖν ψυχῆς ἡ ἀκρασία λόγον ἐχούσης οἷς ἔγνωκεν ὀρθῶς ἐμμένειν μὴ δυνάμενον.* 1. 2 IDEM de vitioso pudore 2 p. 529 A *οὔτ’ αὖ πάλιν ἐκείνην ἐπαινετέον τὴν ἄτρεπτον καὶ ἀτενῆ διάθεσιν· ‘ἓν δὲ — μένος’.* 2—4 IDEM quaest. conviv. VII 5, 3 p. 705 C *διὸ τοὺς μὲν περὶ ἐδωδὰς καὶ ἀφροδίσια καὶ πότους ἀστοχοῦντας, οἷς νόσοι τε πολλαὶ καὶ χρημάτων ὄλεθροι συνακολουθοῦσι καὶ τὸ κακῶς ἀκούειν, ἀκρατεῖς προσαγορεύομεν, ὡς Θεοδέκτην ἐκεῖνον . . . . ἢ τὸν Ἀβδηρίτην Ἀνάξαρχον· ‘ὅς ῥα — σοφιστῶν’.*

ἓν δὲ τὸ θαρσαλέον τε καὶ ἐμμενές, ὅππηι ὀρούσαι,
φαίνετ’ Ἀναξάρχου κύνεον μένος· ὅς ῥα καὶ εἰδώς,
ὡς φάσαν, ἄθλιος ἔσκε· φύσις δέ μιν ἔμπαλιν ἦγεν
ἡδονοπλήξ, ἣν πλεῖστοι ὑποτρείουσι σοφιστῶν.

1 *ἐμμενὲς* Plut. 529: *ἐμμανὲς* 446 2 *ὅς* 705: *ὃν* 446 2 *ἄθλιος* 446: *λελιος* 705 *ἧκεν* 705 4 *ἣν* (i. e. *ταύτην τὴν ὁδὸν ἣν*) 446: *τῆι* 705, quod praefert Wil. (sive *ἧι*)

59 [45]

Sextus Pyrrh. hypot. I 223 *ὁ περὶ ἑνὸς δογματίζων ἢ προκρίνων φαντασίαν φαντασίας ὅλως κατὰ πίστιν ἢ ἀπιστίαν περί τινος τῶν ἀδήλων τοῦ δογματικοῦ γίνεται χαρακτῆρος, ὡς ὁηλοῖ καὶ ὁ T. διὰ τῶν περὶ Ξενοφάνους αὐτῶι λεγομένων. ἐν πολλοῖς γὰρ αὐτὸν ἐπαινέσας [τὸν Ξενοφάνην], ὡς καὶ τοὺς Σίλλους αὐτῶι ἀναθεῖναι, ἐποίησεν αὐτὸν ὀδυρόμενον καὶ λέγοντα·*

ὡς καὶ ἐγὼν ὄφελον πυκινοῦ νόου ἀντιβολῆσαι
ἀμφοτερόβλεπτος· δολίηι δ' ὁδῶι ἐξαπατήθην
πρεσβυγενὴς ἔτ' ἐὼν καὶ ἀμενθήριστος ἁπάσης
σκεπτοσύνης· ὄππηι γὰρ ἐμὸν νόον εἰρύσαιμι,
εἰς ἓν ταὐτό τε πᾶν ἀνελύετο· πᾶν δ' ἐὸν αἰεί
πάντηι ἀνελκόμενον μίαν εἰς φύσιν ἵσταθ' ὁμοίην.

1 cf. α 217. O 461. Δ 314 2 ἀμφοτερόβλεπτα duo codd. Sexti: ἀμφοτεροβλέπτου Bekker 3 cf. Λ 249 ἔτ' ἐὼν Sext. cf. Plato Menex. 236 ἄν σοι δόξω πρεσβύτης ὢν ἔτι παίζειν (*Arch. f. Gesch. d. Ph.* X 530): ἐτέων Bekker (debebat saltem ἔτε' ὤν): τε γέρων Nauck ἀπενθήριστος Sext.: corr. Bergk; *solitae meae prudentiae in hac re plane incuriosus* 4 l. εἰρύσσαιμι cf. Θ 143 νόον εἰρύσσαιτο 5 Ar. Metaph. A 5. 986^{b} 24 de Xenophane εἰς τὸν ὅλον οὐρανὸν ἀναβλέψας τὸ ἓν εἶναί φησι τὸν θεόν ἀνελύετο] νόος dissolvebatur quasi vapor. τὸ γὰρ αὐτὸ νοεῖν ἐστίν τε καὶ εἶναι Parm. 5 6 librae imaginem agnovit Od. Müller, qui v. 5 δέ οἱ suadebat

60 [40]

1—3 Sext. Pyrrh. hypot. I 224 (post fr. 59) *διὰ τοῦτο γοῦν καὶ ὑπάτυφον αὐτὸν λέγει καὶ οὐ τέλειον ἄτυφον, δι' ὧν φησι· 'Ξενοφάνης — νόημα'. 'ὑπάτυφον' μὲν γὰρ εἶπε τὸν κατά τι ἄτυφον, 'Ὁμηροπάτης' δὲ ἐπισκώπτην, ἐπεὶ τὴν παρ' Ὁμήρωι ἀπάτην διέσυρεν· ἐδογμάτιζε δὲ ὁ Ξενοφάνης παρὰ τὰς τῶν ἄλλων ἀνθρώπων προλήψεις ἓν εἶναι τὸ πᾶν, καὶ τὸν θεὸν συμφυῆ τοῖς πᾶσιν* (cf. fr. 59, 5), *εἶναι δὲ σφαιροειδῆ καὶ ἀπαθῆ καὶ ἀμετάβλητον καὶ λογικόν.* 1 Diog. IX 18 *ἐπαινεῖται* (Xenophanes) *πρὸς τοῦ Τίμωνος· φησὶ γοῦν 'Ξεινοφάνη θ' — ἐπικόπτην'.*

Ξεινοφάνης ὑπάτυφος, Ὁμηροπάτης ἐπικόπτης,
εἰ τὸν ἀπ' ἀνθρώπων θεὸν ἐπλάσατ' ἶσον ἁπάντηι,
⟨ἀτρεμῆ⟩, ἀσκηθῆ νοερώτερον ἠὲ νόημα.

1 ξεινοφάνη θ' et sic deinceps accusativos Laert. ὁμηροπάτης ἐπισκώπτης Sext. (cf. eius explicatio): ὁμηροπάτης, quod esset *Homeri insectator* (non *lector*), Laert. 2 εἰ τὸν scripsi: ἐκτὸν vel ἑατὸν (utique dubia altera, non ultima littera) Sext.: ὅς τὸν Roeper: ἐκτὸς Fabricius. intellego: ⟨*perfectissimus est scepticus Pyrrho* (cf. fr. 9. 48). *at miror*⟩ *quod Xenophanes, qui prope accedit ad eius ἀτυφίαν, de deo dogmatice sit alucinatus* (cf. fr. 59) ἀπ' ἀνθρώπων cf. fr. 50, 1 ἶσον ἁπάντηι cf. Parm. 8, 44; Emp. fr. 28, 1. 17, 19 3 supplevi Parmenideum 1, 29. 8, 4; μόνιμον post ἀσκηθῆ Wachsm., παθέων Kaibel. at ἀσκηθής Parmenideo οὐλος respondet νοερωτὸν libri: corr. Wachsm.

61 [58]

SEXT. adv. math. I 53 *χρειώδης ἐστὶν ἡ γραμματιστική. καίτοι δόξαι ἄν τισιν ἐπὶ τῆς ἐναντίας εἶναι προλήψεως ὁ προφήτης τῶν Πύρρωνος λόγων T. ἐν οἷς φησι· 'γραμματική — Κάδμου'.* 54. *οὐ μὴν οὕτως ἔχειν φαίνεται. τὸ γὰρ ὑπ' αὐτοῦ λεγόμενον οὐκ ἔστι τοιοῦτον κατ' αὐτῆς τῆς γραμματιστικῆς, καθ' ἣν διδάσκεται τὰ Φοινικικὰ σήματα Κάδμου, τὸ οὐδεμία ἐστὶν ἀνασκοπὴ οὐδ' ἀνάθρησις' . . . . ἀλλὰ μᾶλλον τοιοῦτο φησι· 'διδαχθέντι τὰ Φοινικικὰ σήματα Κάδμου οὐδεμιᾶς ἄλλης παρὰ τοῦτό ἐστι γραμματικῆς ἐπιστροφή', ὅπερ καταστρέφει οὐκ εἰς τὸ ἀχρηστεῖν ταύτην τὴν ἐν τοῖς στοιχείοις καὶ τῶι δι' αὐτῶν γράφειν τε καὶ ἀναγινώσκειν θεωρουμένην ἀλλὰ τὴν πέρπερον καὶ περιεργοτέραν. ἡ μὲν γὰρ τῶν στοιχείων χρῆσις ἤπειγεν εἰς τὴν τοῦ βίου διεξαγωγήν, τὸ δὲ μὴ ἀρκεῖσθαι τῆι ἐκ τῆς παρατηρήσεως τούτων παραδόσει, προσεπιδεικνύναι δέ, ὡς τάδε μέν ἐστι φωνάεντα τῆι φύσει, τάδε δὲ σύμφωνα, καὶ τῶν φωναέντων τὰ μὲν φύσει βραχέα, τὰ δὲ μακρά, τὰ δὲ δίχρονα καὶ κοινὰ μήκους τε καὶ συστολῆς καὶ καθόλου τὰ λοιπὰ περὶ ὧν οἱ τετυφωμένοι τῶν γραμματικῶν διδάσκουσιν* [deest velut *μάταιον*].

γραμματική, τῆς οὔ τις ἀνασκοπὴ οὐδ' ἀνάθρησις
ἀνδρὶ διδασκομένωι Φοινικικὰ σήματα Κάδμου.

62 [51]

SEXT. adv. math. VII 9 *ὁ μὲν γὰρ Πλάτων παντὸς μέρους φιλοσοφίας αὐτῶι* [Socrati] *μεταδίδωσιν, τοῦ μὲν λογικοῦ παρόσον περὶ ὅρων καὶ διαιρέσεων καὶ ἐτυμολογίας παρεισῆκται ζητῶν, ἅπερ ἐστὶ λογικά, τοῦ δὲ ἠθικοῦ ὅτι περὶ ἀρετῆς καὶ πολιτείας καὶ νόμων διάσκεπτεται, τοῦ δὲ φυσικοῦ ὅτι καὶ περὶ κόσμου τι καὶ περὶ ζωιογονίας καὶ ψυχῆς πεφιλοσόφηκεν. ἔνθεν καὶ ὁ T. αἰτιᾶται τὸν Πλάτωνα ἐπὶ τῶι οὕτω καλλωπίζειν τὸν Σωκράτην πολλοῖς μαθήμασιν· 'ἦ γάρ' φησι 'τὸν οὐκ ἐθέλοντα μεῖναι ἠθολόγον'.*

versus recuperari vix potest. *ἦ ῥα τὸν οὐκ ἐθέλων καταμεῖναι ἠθολόγον* Wachsmuth. Socratem *ἠθολόγον scurram atticum* (quem dicebat Epicureus Zeno), Plato altiora spirantem invitum facit. dubitanter propono velut *ἦρε, φησί, τὸν οὐκ ἐθέλοντα μὴ εἶναι ἠθολόγον.*

63. 64 [36. 37]

SEXT. adv. math. XI 141 *εὐδαίμων μέν ἐστιν ὁ ἀταράχως διεξάγων καὶ ὡς ἔλεγεν ὁ T. ἐν ἡσυχίαι καὶ γαληνότητι καθεστώς·*

πάντηι γὰρ ἐπεῖχε γαλήνη,

καὶ

τὸν δ' ὡς οὖν ἐνόησ(α) ἐν νηνεμίηισι γαλήνης

ἐνόησ' libri; scil. Timon cf. λ 575 *τὸν δ' ὡς οὖν ἐνόησ' Εὐαίμονος ἀγλαος υἱός*

65. 66 [57. 23]

SEXT. adv. math. XI 171 *αἱ δὴ τοιαῦται ὑποσχέσεις* [Stoicorum quales *μόνος ὁ σοφὸς πλούσιος*] *θηρεύουσι μὲν τοὺς νέους ἐλπίσι ψυχραῖς, οὐκέτι δέ εἰσιν ἀληθεῖς. παρὸ καὶ ὁ T. ὁτὲ μὲν τοὺς ἐπαγγελλομένους τὴν παράδοσιν αὐτῶν ἐπισκώπτει, λέγων*

65 *πολλῶν λακεδόνων λυμάντορες ἐπιδολωταί,*

172 *ὁτὲ δὲ τοὺς προσέχοντας αὐτοῖς μεταμελουμένους ἐφ' οἷς μάτην ἐμόχθησαν παρεισάγει διὰ τούτων·*

66 *φῆ δέ τις αἰάζων, οἷα βροτοὶ αἰάζουσιν·*
'οἶμοι, ἐγὼ τί πάθω; τί νύ μοι σοφὸν ἔνθα γένηται;
πτωχὸς μὲν φρένας εἰμί, νόου δέ μοι οὐκ ἔνι κόκκος·
ἦ με μαθεῖν φεύξεσθαι ὀίομαι αἰπὺν ὄλεθρον.
5 *τρὶς μάκαρες μέντοι καὶ τετράκις οἱ μὴ ἔχοντες*
μηδὲ κατατρώξαντες ἐνὶ σχολῇ. δσσ' ἐπέπαντο.
νῦν δέ με λευγαλέαις ἔρισιν εἵμαρτο δαμῆναι
καὶ πενίῃ καὶ δσ' ἄλλα βροτοὺς κηφῆνας ἐλαστρεῖ'.

fr. 65 *ληκεδόνων* dialectus flagitat cf. fr. 42, 2. intellego sophistas, qui quae blande promissa effutiverant ipsa rerum veritate perdere coguntur cf. Thuc. V 103 *ἐπειδὰν πιεζομένους αὐτοὺς ἐπιλίπωσιν αἱ φανεραὶ ἐλπίδες, ἐπὶ τὰς ἀφανεῖς καθίστανται μαντικήν τε καὶ χρησμοὺς καὶ ὅσα τοιαῦτα μετ' ἐλπίδων λυμαίνεται* *ἐλπιδοδώται* Usener; *ἐλπιδολῶται* (ex *ἐλπιδοδολῶται*) Meineke.

fr. 66 Homerica in v. 1: λ 237 et ξ 382 *φῆ δὲ* (eadem versus sede), ε 197 *ἔσθειν καὶ πίνειν, οἷα βροτοὶ ἄνδρες ἔδουσιν*; in v. 2. ε 465 *ὤ μοι, ἐγὼ τί πάθω; τί νύ μοι μήκιστα γένηται;* in v. 4: χ 67 *ἀλλά τιν' οὐ φεύξεσθαι ὀίομαι αἰπὺν ὄλεθρον*; in v. 5: ε 306 *τρὶς μάκαρες Δαναοὶ καὶ τετράκις οἳ τότ' ὄλοντο*; in v. 7: ε 312 *νῦν δέ με λευγαλέῳ θανάτῳ εἵμαρτο ἁλῶναι.*

4 *ἦ με μάθει* vix recte F. Schöll; *ἦ με μάτην* H. Stephanus; *ἠλέματον* ego cf. 34, 3 5 *μὴ* non pugnat cum 8; nam qui numquam habuit, divitiarum iactura non urguetur, nec est fucus 6 *μήτε* Sext.: corr. Osann

FALSA

De Tzetzae fr. *σιρός* cf. Xenoph. fr. 41.

Eust. δ 450 Timonem confusione quadam ex Ath. 445 E afferentem et Ath. XII 518 E *τοὺς σκοπαίους* [l. *ταοὺς ἐκτοπίους* cf. 659 A] pro Timaeo Timonem citantem eundemque animi causa Homerum Δ 204 suo more detorquentem XV p. 666 A [fr. 27 W.] consulto omisi.

ΙΝΔΑΛΜΟΙ.

67 [I p. 21]

1. 2. 5 Diog. IX 64. 65 *καὶ δὴ καὶ ζηλωτὰς πολλοὺς εἶχε τῆς ἀπραγμοσύνης. ὅθεν καὶ ὁ T. περὶ αὐτοῦ φησιν οὕτως ἐν τῷ Πύθωνι * * * καὶ ἐν τοῖς Σίλλοις· 'ὦ γέρον — ἕκαστα'* (fr. 38) *καὶ πάλιν ἐν Ἰνδαλμοῖς· 'τοῦτό — ἡσυχίης· μοῦνος — ἡγεμονεύων'.* 5. 7 Sext. adv. m. I 305 *Τίμωνός τε τοῦ Φλιασίου τὸν Πύρρωνα ἡλίωι ἀπεικάζοντος ἐν οἷς φησι 'μοῦνος — κύκλον', δόξει μὲν τοῖς γραμματικοῖς κατὰ τιμὴν αὐτὸ λέγειν καὶ διὰ τὴν περὶ τὸν φιλόσοφον ἐπιφάνειαν. ἄλλος δὲ* [fortasse hic Posidonium sequitur

unde priora a § 301] *ἐπιστήσει, μήποτε καὶ μάχεται τὰ παραδείγματα τῶι σκεπτικῶι βουλήματι τὰ ὑπὸ τοῦ Φλιασίου εἰς τὸν Πύρρωνα λεχθέντα, εἴ γε ὁ μὲν ἥλιος τὰ πρότερον μὴ βλεπόμενα τῶι φωτὶ καταυγάζων δείκνυσιν, ὁ δὲ Πύρρων καὶ τὰ προδήλως ἡμῖν ληφθέντα τῶν πραγμάτων εἰς ἀδηλότητα περιστάναι βιάζεται. τὸ δὲ οὐχ οὕτως ἔχειν φαίνεται τῶι φιλοσοφώτερον ἐπιβάλλοντι, ἀλλ' ἡλίου τρόπον ἐπέχειν φησὶ τὸν Πύρρωνα καθόσον ὡς ὁ θεὸς τὰς τῶν ἀκριβῶς εἰς αὐτὸν ἀτενιζόντων ὄψεις ἀμαυροῖ, οὕτω καὶ ὁ σκεπτικὸς λόγος τὸ τῆς διανοίας ὄμμα τῶν ἐπιμελέστερον αὐτῶι προσεχόντων συγχεῖ, ὥστε ἀκαταληπτεῖν περὶ ἑκάστου τῶν κατὰ δογματικὴν θρασύτητα τιθεμένων.* 2—4 IDEM adv. m. XI 1 *οὕτω γὰρ ἕκαστος ἡμῶν τὴν τελείαν καὶ σκεπτικὴν ἀπολαβὼν διάθεσιν κατὰ τὸν Τίμωνα βιώσεται 'ῥᾶιστα — σοφίης'·*

τοῦτο μοι, ὦ Πύρρων, ἰμείρεται ἦτορ ἀκοῦσαι,
πῶς ποτ' ἀνὴρ ὅτ' ἄγεις ῥᾶιστα μεθ' ἡσυχίης
αἰεὶ ἀφροντίστως καὶ ἀκινήτως κατὰ ταὐτά
μὴ προσέχων δίνοις ἡδυλόγου σοφίης,
μοῦνος δ' ἀνθρώποισι θεοῦ τρόπον ἡγεμονεύεις,
ὃς περὶ πᾶσαν ἐλῶν γαῖαν ἀναστρέφεται
δεικνὺς εὐτόρνου σφαίρης πυρικαύτορα κύκλον.

2 *ἀνὴρ ὅτ' ἄγεις* P: *ἀνήροτ' ἄγεις* F: *ἀνὴρ ὁ ταγεὶς* B: *ἀνὴρ ἔτ' ἄγεις* vulgo. hoc esset: *etiam virili aetate incuriosus tamquam infans* cf. ad 59, 3 et Crates fr. 1, 3 *ῥᾶιστα* Sext.: *ῥᾷστα* Laert. 4 *δίνοις* Nauck: *δειλοῖς* Sext. 5 *δ'* Sext.: *ἐν* Laert. *ἡγεμονεύων* Laert.; cf. *ι* 142 *καί τις θεὸς ἡγεμόνευεν*

68 [II p. 22]

SEXT. adv. math. XI 20 *κατὰ δὲ τὸ φαινόμενον τούτων ἕκαστον ἔχομεν ἔθος ἀγαθὸν ἢ κακὸν ἢ ἀδιάφορον προσαγορεύειν καθάπερ καὶ ὁ T. ἐν τοῖς Ἰνδαλμοῖς* [*τοῖσι δήμοις* libri: corr. Fabricius] *ἔοικε δηλοῦν ὅταν φῆι·*

ἦ γὰρ ἐγὼν ἐρέω, ὥς μοι καταφαίνεται εἶναι,
μῦθον ἀληθείης ὀρθὸν ἔχων κανόνα,
ὡς ἡ τοῦ θείου τε φύσις καὶ τἀγαθοῦ αἰεί,
ἐξ ὧν ἰσότατος γίνεται ἀνδρὶ βίος.

respondet Timoni fr. 67 Pyrrho Homeri *τ* 224 usus *αὐτὰρ ἐγὼν ἐρέω, ὡς μοι ἰνδάλλεται ἦτορ*, unde tituli significatio (= *φαινόμενα, δόξαι*) elucet

3 *θείου* (cf. fr. 67, 5) et *ἀγαθοῦ* eadem natura versatur in aeterna *ἀταραξίαι*, unde vitae aequabilitas

69 [III p. 22]

DIOG. IX 105 *καὶ ἐν τοῖς Ἰνδαλμοῖς οὕτω λέγει 'ἀλλὰ — ἔλθηι'.* GALEN. de dignosc. puls. I 2 [VIII 781 K.] *τοῦτο γὰρ ἀκόλουθόν ἐστι τοῖς τὸ φαινόμενον μόνον καὶ μὴ* [*αὐτὸ*] *τὸ προσδοξαζόμενον αὐτῶι* [*τὸ πρὸς, τὸ δοξαζόμενον αὐτῶν* vulgo: correxi] *τιθεῖσιν, εἴ γε τὸ φαινόμενον 'πάντηι — ἔλθηι' κατὰ τὸν Τίμωνα.* SEXT. adv. math. VII 30 *κατ' ἀνάγκην γὰρ ἕδει τὸν ἀπορητικῶς φιλοσοφοῦντα μὴ εἰς τὸ παντελὲς ἀνενέργητον ὄντα καὶ ἐν ταῖς κατὰ τὸν βίον πράξεσιν ἄπρακτον, ἔχειν τι κριτήριον αἱρέσεως ἅμα καὶ φυγῆς, τουτέστι τὸ φαινόμενον, καθὼς καὶ ὁ T. μεμαρτύρηκεν εἰπών 'ἀλλὰ — ἔλθηι'.*

ἀλλὰ τὸ φαινόμενον πάντηι σθένει, οὗπερ ἂν ἔλθηι.

πάντηι Gal., Laert. (F): *παντί* Laert. (BP), Sext.

70 [IV p. 24]

SEXT. adv. math. XI 140 *μόνως οὖν ἔσται φυγεῖν ταύτην* [scil. *τὴν ὄχλησιν*], *εἰ ὑποόείξαιμεν τῶι ταραττομένωι κατὰ τὴν τοῦ κακοῦ φυγὴν ἢ κατὰ τὴν τοῦ ἀγαθοῦ δίωξιν ὅτι οὔτε ἀγαθόν τί ἐστι φύσει οὔτε κακόν,*

ἀλλὰ πρὸς ἀνθρώπων ταῦτα νόωι κέκριται,

κατὰ τὸν Τίμωνα, τὸ δέ γε διδάσκειν τὸ τοιοῦτον ἴδιον τῆς σκέψεως.

νόμωι quod proposuit Hirzel falsum. respondet *φύσει* et *πρὸς ἀνθρώπων κέκριται*, at *κρίσις* fit *νόωι*. alioqui *νόμωι* dupliciter expressum esset et inconcinne. Indalmis fr. tribuit Fabricius; argumentum quidem versusque quadrant.

ΤΡΑΓΩΙΔΙΑΙ. ΣΑΤΥΡΟΙ. ΚΙΝΑΙΔΟΙ.

cf. A 1 § 110 p. 172, 18 sqq.

INCERTI CARMINIS.

71 [V p. 24]

ATHEN. VIII 337 A *παγκάλως δὲ καὶ ὁ Τ. ἔφη*

πάντων μὲν πρώτιστα κακῶν ἐπιθυμίη ἐστί

propter argumentum Wachsmuth (cf. Hirzel *Unters.* z. Cic. III. 54) tribuit Indalmis quibus tamen Athenaeus usus non esse videtur

72 [VI p. 24]

SEXT. adv. math. XI 164 *ὑπὸ τυράννωι ποτὲ γενόμενος καὶ τῶν ἀρρήτων τι ποιεῖν ἀναγκαζόμενος ἢ οὐχ ὑπομενεῖ τὸ προσταττόμενον ἀλλ' ἑκούσιον ἐλεῖται θάνατον, ἢ φεύγων τὰς βασάνους ποιήσει τὸ κελευόμενον, οὕτω τε οὐκέτι*

ἀφυγὴς καὶ ἀναίρετος ἔσται

κατὰ τὸν Τίμωνα, ἀλλὰ τὸ μὲν ἑλεῖται τοῦ δ' ἀποστήσεται, ὅπερ ἦν τῶν μετὰ πείσματος κατειληφότων τὸ φευκτόν τι εἶναι καὶ αἱρετόν.

versum agnovit et Indalmis adscripsit Fabricius

PEDESTRIA.

ΑΡΚΕΣΙΛΑΟΥ ΠΕΡΙΔΕΙΠΝΟΝ.

73 [19ª cf. p. 30]

DIOG. IX 115 (infestus Timon Arcesilao vivo) *ὅμως δὲ καθαπτόμενος τοῦ Ἀρκεσιλάου ἐν τοῖς Σίλλοις* (cf. fr. 31—34) *ἐπήινεκεν αὐτὸν ἐν τῶι ἐπιγραφομένωι Ἀρκεσιλάου περιδείπνωι.* exemplar fuit Speusippi *Πλάτωνος περιδείπνον.*

ΠΕΡΙ ΑΙΣΘΗΣΕΩΝ.

74 [p. 29]

DIOG. IX 105 *καὶ ἐν τοῖς Περὶ αἰσθήσεών φησι 'τὸ μέλι ὅτι ἔστι γλυκύ, οὐ τίθημι, τὸ δ' ὅτι φαίνεται, ὁμολογῶ'.*

ΠΡΟΣ ΤΟΥΣ ΦΥΣΙΚΟΥΣ.

75 [p. 29]

SEXT. adv. math. III 2 *καὶ γὰρ ὁ T. ἐν τοῖς Πρὸς τοὺς φυσικοὺς τοῦτο ὑπέλαβε δεῖν ἐν πρώτοις ζητεῖν, φημὶ δὲ τὸ εἰ ἐξ ὑποθέσεώς τι ληπτέον.*

76 [p. 29]

SEXT. adv. math. X 197 *ἐν ἀμερεῖ γὰρ χρόνωι οὐδὲν πέφυκε γίνεσθαι μεριστόν, ὥς φησι T., οἷον τὸ γίνεσθαι καὶ τὸ φθείρεσθαι καὶ πᾶν ὃ τούτοις ἔοικεν.* IDEM VI 66 *ἐν ἀμερεῖ μὲν γὰρ οὐδὲν δύναται γίνεσθαι μεριστόν, ὥς φησι T., οἷον τὸ γίνεσθαι, τὸ φθείρεσθαι.* incerta coniectura huic libro tribuit Wachsmuth.

ΠΥΘΩΝ.

77 [p. 28]

ARISTOCLES § 14 [A 2 p. 178, 4] *ὁ γε μὴν T. ἐν τῶι Πύθωνι διηγεῖται μακρόν τινα κατατείνας λόγον, ὡς ἐντύχοι τῶι Πύρρωνι βαδίζοντι Πυθοῖδε παρὰ τὸ ἱερὸν τὸ τοῦ Ἀμφιαράου καὶ τίνα διαλεχθεῖεν ἀλλήλοις . . .* 15 *αὐτός τε ἐκεῖνος ὁ θαυμαστὸς Πύρρων ἆρά γε ᾔδει τότε διότι βαδίζοι Πύθια θεασόμενος, ἢ καθάπερ οἱ μεμηνότες ἐπλανᾶτο κατὰ τὴν ὁδόν; ἡνίκα δ' ἤρξατο κατηγορεῖν τῶν ἀνθρώπων καὶ τῆς ἀνοίας αὐτῶν, φῶμεν αὐτὸν ἀληθῆ λέγειν ἢ μή, καὶ τὸν Τίμωνα παθεῖν τε καὶ συγκαταθέσθαι τοῖς λόγοις ἢ μὴ προσέχειν;*

dialogus fuit a persona appellatus, cui Timon sermones olim cum Pyrrhone Delphos petituro Oropi habitos rettulit. Oropium Amphiareum Wilamowitz recte dictum credit. nam Pythia ac Pythonis ipsum nomen suadent res sacras aliquo in dialogum momento fuisse. propterea celeberrimum oraculum, non obsoletum Amphiarai gurgustium quod Phliunte fuit (Paus. II 13, 7), significari veri simile. scenae veritas et cum Timonis vita consensio a dialogi licentia poetica aliena. nimirum poterant multa fingi ad itinera Timonis et Pyrrhonis explicanda. quod de *Πυθῶνι* [sic enim ubique obloquente fr. 79 corrigebat] i. e. templo Delphico, dialogi scena et nomine, coniecit Gercke *De quibusd. L. Diog. auct.* Gryph. 1899 p. 28, mihi non persuasit. cf. Addenda!

78 [p. 28]

DIOG. IX 64. cf. fr. 48.

79 [p. 28]

DIOG. IX 67 (post exempla constantiae Pyrrhonis) *καὶ ὁ T. δὲ διασαφεῖ τὴν διάθεσιν αὐτοῦ, ἐν οἷς πρὸς Πύθωνα διέξεισιν.*

80 [deest]

Diog. IX 76 *ἀναιροῦσι δ' οἱ σκεπτικοὶ καὶ αὐτὴν τὴν 'οὐδὲν μᾶλλον' φωνήν ... σημαίνει οὖν ἡ φωνή, καθά φησι T. ἐν τῷι Πύθωνι 'τὸ μηδὲν ὁρίζειν, ἀλλ' ἀπροσθετεῖν'.*

81 [p. 28]

Diog. IX 105 *μόνον οὖν, φασίν, ἀνθιστάμεθα πρὸς τὰ παρυφιστάμενα τοῖς φαινομένοις ἄδηλα. καὶ γὰρ ὅτε τὴν εἰκόνα ἐξοχὰς λέγομεν ἔχειν το φαινόμενον διασαφοῦμεν· ὅταν δ' εἴπωμεν μὴ ἔχειν αὐτὴν ἐξοχάς, οὐκέτι ὃ φαίνεται, ἕτερον δὲ λέγομεν· ὅθεν καὶ ὁ T. ἐν τῷι Πύθωνί φησι μὴ ἐκβεβηκέναι τὴν συνήθειαν* [sc. *Τίμων*].

conexum sententiarum in Laertii epitoma vix intellegendam aperit Sext. P. Hyp. I 17 *ἀκολουθοῦμεν γάρ τινι λόγωι κατὰ τὸ φαινόμενον ὑποδεικνύντι ἡμῖν τὸ ζῆν πρὸς τὰ πάτρια ἔθη καὶ τοὺς νόμους κτλ.*

10. CRATES THEBANUS

A. TESTIMONIA VITAE ET SCRIPTURAE.

1. Laertius Diogenes VI 85—98.

Κράτης Ἀσκώνδου Θηβαῖος. καὶ οὗτος τῶν ἐλλογίμων τοῦ 85
Κυνὸς μαθητῶν. Ἱππόβοτος δέ φησιν οὐ Διογένους αὐτὸν μαθητὴν γεγονέναι, ἀλλὰ Βρύσωνος τοῦ Ἀχαιοῦ. τούτου Παίγνια φέρεται τάδε· 'Πήρη — δόξης' [fr. 4]. *ἔστι καὶ ἐφημερὶς ἡ* 86
θρυλουμένη οὕτως ἔχουσα· 'τίθει — τριώβολον [fr. 13]. *ἐκαλεῖτο δὲ καὶ Θυρεπανοίκτης διὰ τὸ εἰς πᾶσαν εἰσιέναι οἰκίαν καὶ νουθετεῖν· ἔστιν αὐτοῦ καὶ τόδε· 'ταῦτ' — ἔμαρψεν'* [fr. 8] *καὶ ὅτι ἐκ φιλοσοφίας αὐτῷι περιγένοιτο 'θέρμων — μέλειν* [fr. 18, 2]. *φέρεται δ' αὐτοῦ κἀκεῖνο· 'ἔρωτα — βρόχος'* [fr. 14].
ἤκμαζε δὲ κατὰ τὴν τρίτην καὶ δεκάτην καὶ ἑκατοστὴν Ὀλυμπιάδα 87
[328—325]. *τοῦτόν φησιν Ἀντισθένης ἐν Διαδοχαῖς* [FHG III 182] *θεασάμενον ἔν τινι τραγωιδίαι Τήλεφον σπυρίδιον ἔχοντα καὶ τἆλλα λυπρὸν ἄιξαι ἐπὶ τὴν κυνικὴν φιλοσοφίαν· ἐξαργυρισάμενόν τε τὴν οὐσίαν (καὶ γὰρ ἦν τῶν ἐπιφανῶν) ἀθροίσαντα πρὸς τὰ* [*ἑκατὸν*] *διακόσια τάλαντα, τοῖς πολίταις ἀνεῖναι ταῦτα. αὐτὸν δὲ καρτερῶς οὕτω φιλοσοφεῖν ὡς καὶ Φιλήμονα τὸν κωμικὸν αὐτοῦ μεμνῆσθαι. φησὶ γοῦν* [FCA II 523 fr. 146 Kock]

καὶ τοῦ θέρους μὲν εἶχεν ἱμάτιον δασύ,
ἵν' ὡς Κράτης ἦι, τοῦ δὲ χειμῶνος ῥάκος.

φησὶ δὲ Διοκλῆς πεῖσαι αὐτὸν Διογένη τὴν οὐσίαν μηλόβοτον 88
*ἀνεῖναι καὶ εἴ τι ἀργύριον εἴη, εἰς θάλατταν βαλεῖν. καὶ Κράτητος μέν, φησίν, ὁ οἶκος ὑπ' Ἀλεξάνδρου * *, Ἱππαρχίας δὲ ὑπὸ*

---

11 post *ἐν* add. *ταῖς* F *τραγωιδίαι*] Euripidis cf. Ar. Ach. 453. 469
14 *ἐπιούνων* B *πρὸς τὰ ϙ καὶ σ* F: *ἑκατὸν* del. Reiske; *ὀκτὼ τάλαντα* Plut. infra A 9 p. 214, 1 16 *δὲ* om. B 19 *ὡς Κράτης* Cobet: *ἐγκρατὴς* libri
22 lacunam suppleam *ἐφυλάχθη*

Φιλίππου. πολλάκις τε τῆι βακτηρίαι τῶν συγγενῶν τινας προσιόντας καὶ ἀποτρέποντας ἐδίωκε καὶ ἦν γενναῖος. φησὶ δὲ Δημήτριος ὁ Μάγνης τραπεζίτηι τινὶ παρακαταθέσθαι τὸ ἀργύριον, συνθέμενον, εἰ μὲν οἱ παῖδες ἰδιῶται γενηθεῖεν, αὐτοῖς ἀποδοῦναι· εἰ δὲ φιλόσοφοι, τῶι δήμωι διανεῖμαι· μηδενὸς γὰρ ἐκείνους δεήσεσθαι φιλοσοφοῦντας. Ἐρατοσθένης δέ φησιν, ἐξ Ἱππαρχίας, περὶ ἧς λέξομεν, γενομένου παιδὸς αὐτῶι ὄνομα Πασικλέους, ὅτ' ἐξ ἐφήβων ἐγένετο, ἀγαγεῖν αὐτὸν ἐπ' οἴκημα παιδίσκης καὶ φάναι τοῦτον αὐτῶι πατρῶιον εἶναι τὸν γάμον· τοὺς δὲ τῶν μοιχευόν- 89
των τραγικούς· φυγὰς ⟨γὰρ⟩ καὶ φόνους ἔχειν ἔπαθλον· τοὺς δὲ τῶν ἑταίραις προσιόντων κωμικούς· ἐξ ἀσωτίας γὰρ καὶ μέθης μανίαν ἀπεργάζεσθαι. τούτου γέγονε Πασικλῆς ἀδελφός; μαθητὴς Εὐκλείδου. χάριεν δ' αὐτοῦ Φαβωρῖνος ἐν τῶι δευτέρωι τῶν Ἀπομνημονευμάτων φέρει. φησὶ γάρ· παρακαλῶν περί του τὸν γυμνασίαρχον, τῶν ἰσχίων αὐτοῦ ἥπτετο· ἀγανακτοῦντος δὲ ἔφη· 'τί γάρ; οὐχὶ καὶ ταῦτα σά ἐστι καθάπερ καὶ τὰ γόνατα;' ἔλεγέ τε ἀδύνατον εἶναι ἀδιάπτωτον εὑρεῖν, ἀλλ' ὥσπερ ἐν ῥοιᾶι καὶ σαπρόν τινα κόκκον εἶναι. Νικόδρομον ἐξερεθίσας τὸν κιθαρωιδὸν ὑπωπιάσθη· προσθεὶς οὖν πιττάκιον τῶι μετώπωι ἐπέγραψεν.
'Νικόδρομος ἐποίει.' 90 *τὰς πόρνας ἐπίτηδες ἐλοιδόρει συγγυμνάζων ἑαυτὸν πρὸς τὰς βλασφημίας. Δημήτριον τὸν Φαληρέα πέμψαντα αὐτῶι ἄρτους καὶ οἶνον ὠνείδισεν εἰπών· 'εἶθε γὰρ αἱ κρῆναι καὶ ἄρτους ἔφερον.' δῆλον οὖν ὡς ὕδωρ ἔπινεν. ὑπὸ τῶν Ἀθήνησιν ἀστυνόμων ἐπιτιμηθείς, ὅτι σινδόνα ἡμφίεστο, ἔφη 'καὶ Θεόφραστον ὑμῖν δείξω σινδόνα περιβεβλημένον'. ἀπιστούντων δέ, ἀπήγαγεν ἐπὶ κουρεῖον καὶ ἔδειξε κειρόμενον. ἐν Θήβαις ὑπὸ τοῦ γυμνασιάρχου μαστιγωθείς (οἱ δέ, ἐν Κορίνθωι ὑπ' Εὐθυκράτους) καὶ ἑλκόμενος τοῦ ποδὸς ἐπέλεγεν ἀφροντιστῶν·*

ἕλκε ποδὸς τεταγὼν διὰ βηλοῦ θεσπεσίοιο.

Διοκλῆς δέ φησιν ἑλχθῆναι αὐτὸν ὑπὸ Μενεδήμου τοῦ Ἐρε- 91
τρικοῦ. ἐπειδὴ γὰρ εὐπρεπὴς ἦν καὶ ἐδόκει χρησιμεύειν Ἀσκληπιάδηι τῶι Φλιασίωι, ἁψάμενος αὐτοῦ τῶν μηρῶν ὁ Κράτης ἔφη·

---

1 *Φιλίππου*] V. de Maroneae, unde Hipparchia, excidio Liv. 31, 16. 39, 34 3 *παρακαταθέσθαι* F: *παραχατατίθεσθαι* PB 4 *γεννηθεῖεν* PB: *γένωνται* F, unde *γένοιντο* Cobet 10 *τραγικοὺς* (scil. *γάμους*) *γὰρ* add. Wilam. *ἔπαθλα* Cobet 12 *τούτου* Cratetis 12. 13 *Εὐκλείδου* pro *Διοκλείδου* aut scriptoris aut scribae errore positum est cf. Zeller II 1, 247[5] 13 *ἐν τῶι* sic BPF 14 *του τὸν*] *τούτων* B 16 *τὰ γόνατα*] scil. *si supplex essem* 17 *ῥοιᾶι καὶ*] *ῥύακι* B 18 sqq. ad Socratem transfert Basilius, ad Antisthenem Gregorius Naz., ad Diogenem cynicum ipse Laertius VI 33 25 *ἐπήγαγεν* B 26 *ἐπὶ τὸ* F 30 *ὁ διόκλης* B 32 *ἁφαψάμενος* B; fort. *ἐφαψάμενος*

'ἔνδον Ἀσκληπιάδης'. ἐφ' ὧι δυσχεράναντα τὸν Μενέδημον ἔλκειν αὐτόν, τὸν δὲ τοῦτο ἐπιλέγειν. Ζήνων δ' αὖθ' ὁ Κιτιεὺς ἐν ταῖς Χρείαις καὶ κώδιον αὐτόν φησί ποτε προσράψαι τῶι τρίβωνι ἀνεπιστρεπτοῦντα. ἦν δὲ καὶ τὴν ὄψιν αἰσχρὸς καὶ γυμναζόμενος ἐγελᾶτο. εἰώθει δὲ λέγειν ἐπαίρων τὰς χεῖρας· 'θάρρει, Κράτης, ὑπὲρ ὀφθαλμῶν καὶ τοῦ λοιποῦ σώματος· τούτους δὲ ὄψει τοὺς 92 καταγελῶντας ⟨καταμεμυκότας⟩ ἤδη καὶ συνεσπασμένους ὑπὸ νόσου καί σε μακαρίζοντας, αὐτοὺς δὲ καταμεμφομένους ἐπὶ τῆι ἀργίαι'. ἔλεγε δὲ μέχρι τούτου δεῖν φιλοσοφεῖν, μέχρι ἂν δόξωσιν οἱ στρατηγοὶ εἶναι ὀνηλάται. ἐρήμους ἔλεγε τοὺς μετὰ κολάκων ὄντας ὥσπερ τοὺς μόσχους, ἐπειδὰν μετὰ λύκων ὦσιν· οὔτε γὰρ ἐκείνοις τοὺς προσήκοντας οὔτε τούτοις συνεῖναι, ἀλλὰ τοὺς ἐπιβουλεύοντας. συναισθανόμενος, ὅτι ἀποθνήισκει, ἐπῆιδε πρὸς ἑαυτὸν λέγων, 'στείχεις — γῆρας' [fr. 9]· ἦν γὰρ κυφὸς ὑπὸ χρόνου. πρὸς Ἀλέ- 93 ξανδρον πυθόμενον εἰ βούλεται αὐτοῦ τὴν πατρίδα ἀνορθωθῆναι, ἔφη, 'καὶ τί δεῖ; πάλιν γὰρ ἴσως Ἀλέξανδρος ἄλλος αὐτὴν κατασκάψει.' ἔχειν δὲ πατρίδα ἀδοξίαν ⟨καὶ⟩ πενίαν ἀνάλωτα τῆι τύχηι καὶ Διογένους εἶναι πολίτης ἀνεπιβουλεύτου φθόνωι. μέμνηται δὲ αὐτοῦ καὶ Μένανδρος ἐν Διδύμαις [FCA. III 117. 118 K.] οὕτως·

συμπεριπατήσεις γὰρ τρίβων(α) ἔχουσ(α) ἐμοί,
ὥσπερ Κράτητι τῶι κυνικῶι ποθ' ἡ γυνή,
καὶ θυγατέρ' ἐξέδωκ' ἐκείνοις, ὡς ἔφη
αὐτός, ἐπὶ πείραι δοὺς τριάκονθ' ἡμέρας.

μαθηταὶ αὐτοῦ·

Μητροκλῆς ἀδελφὸς Ἱππαρχίας, ὃς πρότερον ἀκούων Θεοφρά- 94 στου τοῦ περιπατητικοῦ τοσοῦτον διέφθαρτο, ὥστε ποτὲ μελετῶν καὶ μεταξύ πως ἀποπαρδὼν ὑπ' ἀθυμίας οἴκοι κατάκλειστος ἦν, ἀποκαρτερεῖν βουλόμενος. μαθὼν δὴ ὁ Κράτης εἰσῆλθε πρὸς αὐτὸν παρακληθεὶς καὶ θέρμους ἐπίτηδες βεβρωκὼς ἔπειθε μὲν αὐτὸν καὶ διὰ τῶν λόγων μηδὲν φαῦλον πεποιηκέναι· τέρας γὰρ ἂν γεγονέναι, εἰ μὴ καὶ τὰ πνεύματα κατὰ φύσιν ἀπεκρίνετο· τέλος δὲ καὶ ἀποπαρδὼν ἀνέρρωσεν αὐτὸν ἀφ' ὁμοιότητος τῶν ἔργων παραμυθησάμενος. τοὐντεῦθεν ἤκουεν αὐτοῦ καὶ ἐγένετο ἀνὴρ

2 αὖθ' om. B 3 ἀνεπιτρεπτοῦντα PB: om. F: corr. Reiske 7 καταμεμυκότας add. Wilam. 16 ἄλλος Ἀλ. colloc. F 17 δὲ om. B¹ iamborum vestigia pellucent cf. Bergk P. L. p. 371 fr. 21 καὶ om. BPF πένητα F 19 δὲ om. B διδύμοις libri 23 ἐξέδοκε κοινοῖς B¹; ἐκεῖνος Cobet ὡς αὐτὸς ἔφη P; αὐτὸς intellego Crates 25 μαθηταὶ αὐτοῦ sic libri, tituli instar 26 post Μητροκλῆς habet ὁ Μαρωνείτης nescio unde Cobet 28 κατάκεστος B 30 παρακληθεὶς cf. p. 210, 20

Φιλίππου. πολλάκις τε τῇι βακτηρίαι τῶν συγγενῶν τινας προσιόντας καὶ ἀποτρέποντας ἐδίωκε καὶ ἦν γενναῖος. φησὶ δὲ Δημήτριος ὁ Μάγνης τραπεζίτηι τινὶ παρακαταθέσθαι τὸ ἀργύριον, συνθέμενον, εἰ μὲν οἱ παῖδες ἰδιῶται γενηθεῖεν, αὐτοῖς ἀποδοῦναι· εἰ δὲ φιλόσοφοι, τῶι δήμωι διανεῖμαι· μηδενὸς γὰρ ἐκείνους δεήσεσθαι φιλοσοφοῦντας. Ἐρατοσθένης δέ φησιν, ἐξ Ἱππαρχίας, περὶ ἧς λέξομεν, γενομένου παιδὸς αὐτῶι ὄνομα Πασικλέους, ὅτ' ἐξ ἐφήβων ἐγένετο, ἀγαγεῖν αὐτὸν ἐπ' οἴκημα παιδίσκης καὶ φάναι τοῦτον αὐτῶι πατρῶιον εἶναι τὸν γάμον· τοὺς δὲ τῶν μοιχευόν- 89
των τραγικούς· φυγὰς ⟨γὰρ⟩ καὶ φόνους ἔχειν ἔπαθλον· τοὺς δὲ τῶν ἑταίραις προσιόντων κωμικούς· ἐξ ἀσωτίας γὰρ καὶ μέθης μανίαν ἀπεργάζεσθαι. τούτου γέγονε Πασικλῆς ἀδελφός; μαθητὴς Εὐκλείδου. χάριεν δ' αὐτοῦ Φαβωρῖνος ἐν τῶι δευτέρωι τῶν Ἀπομνημονευμάτων φέρει. φησὶ γάρ· παρακαλῶν περί του τὸν γυμνασίαρχον, τῶν ἰσχίων αὐτοῦ ἥπτετο· ἀγανακτοῦντος δὲ ἔφη· 'τί γάρ; οὐχὶ καὶ ταῦτα σά ἐστι καθάπερ καὶ τὰ γόνατα;' ἔλεγέ τε ἀδύνατον εἶναι ἀδιάπτωτον εὑρεῖν, ἀλλ' ὥσπερ ἐν ῥοιᾶι καὶ σαπρόν τινα κόκκον εἶναι. Νικόδρομον ἐξερεθίσας τὸν κιθαρωιδὸν ὑπωπιάσθη· προσθεὶς οὖν πιττάκιον τῶι μετώπωι ἐπέγραψεν.
'Νικόδρομος ἐποίει.' τὰς πόρνας ἐπίτηδες ἐλοιδόρει συγγυμνάζων 90
ἑαυτὸν πρὸς τὰς βλασφημίας. Δημήτριον τὸν Φαληρέα πέμψαντα αὐτῶι ἄρτους καὶ οἶνον ὠνείδισεν εἰπών· 'εἴθε γὰρ αἱ κρῆναι καὶ ἄρτους ἔφερον.' ὄῆλον οὖν ὡς ὕδωρ ἔπινεν. ὑπὸ τῶν Ἀθήνησιν ἀστυνόμων ἐπιτιμηθείς, ὅτι σινδόνα ἠμφίεστο, ἔφη 'καὶ Θεόφραστον ὑμῖν δείξω σινδόνα περιβεβλημένον'. ἀπιστούντων δέ, ἀπήγαγεν ἐπὶ κουρεῖον καὶ ἔδειξε κειρόμενον. ἐν Θήβαις ὑπὸ τοῦ γυμνασιάρχου μαστιγωθείς (οἱ δέ, ἐν Κορίνθωι ὑπ' Εὐθυκράτους) καὶ ἑλκόμενος τοῦ ποδὸς ἐπέλεγεν ἀφροντιστῶν·

ἕλκε ποδὸς τεταγὼν διὰ βηλοῦ θεσπεσίοιο.

Διοκλῆς δέ φησιν ἐλχθῆναι αὐτὸν ὑπὸ Μενεδήμου τοῦ Ἐρε- 91
τριικοῦ. ἐπειδὴ γὰρ εὐπρεπὴς ἦν καὶ ἐδόκει χρησιμεύειν Ἀσκληπιάδηι τῶι Φλιασίωι, ἁψάμενος αὐτοῦ τῶν μηρῶν ὁ Κράτης ἔφη·

---

1 *Φιλίππου*] V. de Maroneae, unde Hipparchia, excidio Liv. 31, 16. 39, 34 3 *παρακαταθέσθαι* F: *παρακατατίθεσθαι* PB 4 *γεννηθεῖεν* PB: *γένωνται* F, unde *γένοιντο* Cobet 10 *τραγικοὺς* (scil. *γάμους*) *γὰρ* add. Wilam. *ἔπαθλα* Cobet 12 *τούτου* Cratetis 12. 13 *Εὐκλείδου* pro *Διοκλείδου* aut scriptoris aut scribae errore positum est cf. Zeller II 1, 247[5] 13 *ἐν τῶι* sic BPF 14 *του τὸν*] *τούτων* B 16 *τὰ γόνατα*] scil. *si supplex essem* 17 *ῥοιᾶι καὶ*] *ῥύακι* B 18 sqq. ad Socratem transfert Basilius, ad Antisthenem Gregorius Naz., ad Diogenem cynicum ipse Laertius VI 33 25 *ἐπήγαγεν* B 26 *ἐπὶ τὸ* F 30 *ὁ διόκλης* B 32 *ἁφαψάμενος* B; fort. *ἐφαψάμενος*

'ἔνδον Ἀσκληπιάδης'. ἐφ' ὧι δυσχεράναντα τὸν Μενέδημον ἔλκειν αὐτόν, τὸν δὲ τοῦτο ἐπιλέγειν. Ζήνων δ' αὖθ' ὁ Κιτιεὺς ἐν ταῖς Χρείαις καὶ κώδιον αὐτόν φησί ποτε προσράψαι τῶι τρίβωνι ἀνεπιστρεπτοῦντα. ἦν δὲ καὶ τὴν ὄψιν αἰσχρὸς καὶ γυμναζόμενος ἐγελᾶτο. εἰώθει δὲ λέγειν ἐπαίρων τὰς χεῖρας· 'θάρρει, Κράτης, ὑπὲρ ὀφθαλμῶν καὶ τοῦ λοιποῦ σώματος· τούτους δὲ ὄψει τοὺς 92 καταγελῶντας ⟨καταμεμυκότας⟩ ἤδη καὶ συνεσπασμένους ὑπὸ νόσου καὶ σε μακαρίζοντας, αὐτοὺς δὲ καταμεμφομένους ἐπὶ τῆι ἀργίαι'. ἔλεγε δὲ μέχρι τούτου δεῖν φιλοσοφεῖν, μέχρι ἂν δόξωσιν οἱ στρατηγοὶ εἶναι ὀνηλάται. ἐρήμους ἔλεγε τοὺς μετὰ κολάκων ὄντας ὥσπερ τοὺς μόσχους, ἐπειδὰν μετὰ λύκων ὦσιν· οὔτε γὰρ ἐκείνοις τοὺς προσήκοντας οὔτε τούτοις συνεῖναι, ἀλλὰ τοὺς ἐπιβουλεύοντας. συναισθανόμενος, ὅτι ἀποθνήισκει, ἐπῆιδε πρὸς ἑαυτὸν λέγων, 'στείχεις — γῆρας' [fr. 9]· ἦν γὰρ κυφὸς ὑπὸ χρόνου. πρὸς Ἀλέ- 93 ξανδρον πυθόμενον εἰ βούλεται αὐτοῦ τὴν πατρίδα ἀνορθωθῆναι, ἔφη, 'καὶ τί δεῖ; πάλιν γὰρ ἴσως Ἀλέξανδρος ἄλλος αὐτὴν κατασκάψει.' ἔχειν δὲ πατρίδα ἀδοξίαν ⟨καὶ⟩ πενίαν ἀνάλωτα τῆι τύχηι καὶ Διογένους εἶναι πολίτης ἀνεπιβουλεύτου φθόνωι. μέμνηται δὲ αὐτοῦ καὶ Μένανδρος ἐν Διδύμαις [FCA. III 117. 118 K.] οὕτως·

συμπεριπατήσεις γὰρ τρίβων(α) ἔχουσ(α) ἐμοί,
ὥσπερ Κράτητι τῶι κυνικῶι ποθ' ἡ γυνή,
καὶ θυγατέρ' ἐξέδωκ' ἐκείνοις, ὡς ἔφη
αὐτός, ἐπὶ πείραι δοὺς τριάκονθ' ἡμέρας.

μαθηταὶ αὐτοῦ·

Μητροκλῆς ἀδελφὸς Ἱππαρχίας, ὃς πρότερον ἀκούων Θεοφρά- 94 στου τοῦ περιπατητικοῦ τοσοῦτον διέφθαρτο, ὥστε ποτὲ μελετῶν καὶ μεταξύ πως ἀποπαρδὼν ὑπ' ἀθυμίας οἴκοι κατάκλειστος ἦν, ἀποκαρτερεῖν βουλόμενος. μαθὼν δὴ ὁ Κράτης εἰσῆλθε πρὸς αὐτὸν παρακληθεὶς καὶ θέρμους ἐπίτηδες βεβρωκὼς ἔπειθε μὲν αὐτὸν καὶ διὰ τῶν λόγων μηδὲν φαῦλον πεποιηκέναι· τέρας γὰρ ἂν γεγονέναι, εἰ μὴ καὶ τὰ πνεύματα κατὰ φύσιν ἀπεκρίνετο· τέλος δὲ καὶ ἀποπαρδὼν ἀνέρρωσεν αὐτὸν ἀφ' ὁμοιότητος τῶν ἔργων παραμυθησάμενος. τοὐντεῦθεν ἤκουεν αὐτοῦ καὶ ἐγένετο ἀνὴρ

2 αὖθ' om. B 3 ἀνεπιτρεπτοῦντα PB: om. F: corr. Reiske 7 καταμεμυκότας add. Wilam. 16 ἄλλος Ἀλ. colloc. F 17 δὲ om. B¹ iamborum vestigia pellucent cf. Bergk P. L. p. 371 fr. 21 καὶ om. BPF πέντα F 19 δὲ om. B διδύμοις libri 23 ἐξέδοκε κοινοῖς B¹; ἐκεῖνος Cobet ὡς αὐτὸς ἔφη P; αὐτὸς intellego Crates 25 μαθηταὶ αὐτοῦ sic libri, tituli instar 26 post Μητροκλῆς habet ὁ Μαρωνείτης nescio unde Cobet 28 κατάκεστος B 30 παρακληθεὶς cf. p. 210, 20

ἱκανὸς ἐν φιλοσοφίαι. οὗτος τὰ ἑαυτοῦ συγγράμματα κατακάων, 95
ὥς φησιν Ἑκάτων ἐν πρώτωι Χρειῶν, ἐπέλεγε·

τάδ' ἔστ' ὀνείρων νερτέρων φαντάσματα [FT ad. 285 p. 894 N.]
[οἷον λῆρος]· οἱ δ', ὅτι τὰς Θεοφράστου ἀκροάσεις καταφλέγων
ἐπέλεγεν·

Ἥφαιστε, πρόμολ' ὧδε, Θέτις νύ τι σεῖο χατίζει [Σ 392].
οὗτος ἔλεγε τῶν πραγμάτων τὰ μὲν ἀργυρίου ὠνητὰ εἶναι, οἷον
οἰκίαν· τὰ δὲ χρόνου καὶ ἐπιμελείας, ὡς παιδείαν. τὸν πλοῦτον
βλαβερόν, εἰ μή τις ἀξίως αὐτῶι χρῶιτο. ἐτελεύτα δὲ ὑπὸ γήρως
ἑαυτὸν πνίξας. μαθηταὶ δ' αὐτοῦ Θεόμβροτος καὶ Κλεομένης,
Θεομβρότου Δημήτριος ὁ Ἀλεξανδρεύς, Κλεομένους Τίμαρχος Ἀλε-
ξανδρεὺς καὶ Ἐχεκλῆς Ἐφέσιος· οὐ μὴν ἀλλὰ καὶ Ἐχεκλῆς Θεομ-
βρότου διήκουσεν, οὗ Μενέδημος, περὶ οὗ λέξομεν. ἐγένετο καὶ
Μένιππος Σινωπεὺς ἐν αὐτοῖς ἐπιφανής.

ἐθηράθη δὲ τοῖς λόγοις καὶ ἡ ἀδελφὴ τοῦ Μητροκλέους 96
Ἱππαρχία. Μαρωνῖται δ' ἦσαν ἀμφότεροι. καὶ ἦρα τοῦ Κράτητος
καὶ τῶν λόγων καὶ τοῦ βίου, οὐδενὸς τῶν μνηστευομένων ἐπιστρε-
φομένη, οὐ πλούτου, οὐκ εὐγενείας, οὐ κάλλους· ἀλλὰ πάντα ἦν
Κράτης αὐτῆι. καὶ δὴ καὶ ἠπείλει τοῖς γονεῦσιν ἀναιρήσειν αὐτήν,
εἰ μὴ τούτωι δοθείη. Κράτης μὲν οὖν παρακαλούμενος ὑπὸ τῶν
γονέων αὐτῆς ἀποτρέψαι τὴν παῖδα, πάντα ἐποίει, καὶ τέλος μὴ
πείθων, ἀναστὰς καὶ ἀποθέμενος τὴν ἑαυτοῦ σκευὴν ἀντικρὺς αὐ-
τῆς ἔφη· 'ὁ μὲν νυμφίος οὗτος, ἡ δὲ κτῆσις αὕτη, πρὸς ταῦτα
βουλεύου'· οὐδὲ γὰρ ἔσεσθαι κοινωνόν, εἰ μὴ καὶ τῶν αὐτῶν ἐπιτη-
δευμάτων γενηθείη. εἵλετο ἡ παῖς καὶ ταὐτὸν ἀναλαβοῦσα 97
σχῆμα συμπεριήιει τἀνδρὶ καὶ ἐν τῶι φανερῶι συνεγίνετο καὶ ἐπὶ
τὰ δεῖπνα ἀπήιει. ὅτε καὶ πρὸς Λυσίμαχον εἰς τὸ συμπόσιον
ἦλθον, ἔνθα Θεόδωρον τὸν ἐπίκλην Ἄθεον ἐπήλεγξε, σόφισμα
προτείνασα τοιοῦτο· ὃ ποιῶν Θεόδωρος οὐκ ἂν ἀδικεῖν λέγοιτο,
οὐδ' Ἱππαρχία ποιοῦσα τοῦτο ἀδικεῖν λέγοιτ' ἄν· Θεόδωρος δὲ
τύπτων ἑαυτὸν οὐκ ἀδικεῖ, οὐδ' ἄρα Ἱππαρχία Θεόδωρον τύπτουσα
ἀδικεῖ. ὁ δὲ πρὸς μὲν τὸ λεχθὲν οὐδὲν ἀπήντησεν, ἀνέσυρε δ'
αὐτῆς ῾οἰμάτιον· ἀλλ' οὔτε κατεπλάγη Ἱππαρχία οὔτε διεταράχθη
ὡς γυνή. ἀλλὰ καὶ εἰπόντος αὐτῆι· 'αὕτη ' στὶν ἡ τὰς παρ' ἑστοῖς 98

---

2 *κάτων* B 6 *θέτις* BP¹: *πόλις* F: *παχις*(?) P² 9 *δὲ* FQ: *δὴ* BP
11 *Κλεομένους Τίμαρχος* om. BF: *Κλεομένους* del. P², rest. P² 15 *Μητρο-
κλέους Ἱππαρχία* om. B¹: ΙΠΠΑΡΧΕΙΑ inter versus in ras. add. B¹: *μητροκλέους*
B² 16 *μαρωνεῖται* libri 18 *τοῦ πλούτου* (om. *οὐ*) 22 *ἀντικρὺ* F
24 *κοινωνὸς* libri: correxi 25 *γενηθείη* F: *γενηθείης* BP 26 quidni *συν-
απήιει*? 28 *ἦλθον* B: *ἦλθεν* FP (ε sil.) 33 *ἡ ἱππαρχία* B 34 *αὐτῆι αὕτη
᾽στὶν ἑ* [*᾽στὶν ἡ* ex corr. B², *ἐστὶν ἡ* F] BF: *αὐτοῦ*(?) *αὐτῆι τίνι* P, fort. B¹

ἐκλιποῦσα κερκίδας'; [Eur. Bacch. 1236] '*ἐγώ, φησίν, εἰμί, Θεόδωρε· ἀλλὰ μὴ κακῶς σοι δοκῶ βεβουλεῦσθαι περὶ αὐτῆς, εἰ τὸν χρόνον, ὃν ἔμελλον ἰστοῖς προσαναλώσειν, τοῦτον εἰς παιδείαν κατεχρησάμην*'; *καὶ ταῦτα μὲν καὶ ἄλλα μυρία τῆς φιλοσόφου.*

φέρεται δὲ τοῦ Κράτητος βιβλίον Ἐπιστολαί, ἐν αἷς ἄριστα φιλοσοφεῖ, τὴν λέξιν ἔστιν ὅτε παραπλήσιος Πλάτωνι. γέγραφε καὶ τραγωιδίας ὑψηλότατον ἐχούσας φιλοσοφίας χαρακτῆρα, οἷόν ἐστι κἀκεῖνο· 'οὐχ — πάρα [fr. 15]. *ἐτελεύτησε δὲ γηραιὸς καὶ ἐτάφη ἐν Βοιωτίαι.*

2. SUIDAS

Κράτης Ἀσκώνδου Θηβαῖος, φιλόσοφος Κυνικός, μαθητὴς Διογένους καὶ Βρύσωνος τοῦ Ἀχαιοῦ. ὃς ἐξαργυρίσας τὴν οὐσίαν δέδωκε τὰ ἀργύρια τραπεζίτηι εἰπών, εἰ οἱ παῖδες αὐτῶι φιλοσοφήσουσι, τῶι δήμωι δοῦναι· εἰ δὲ μή, τοῖς παισί. γήμας δὲ Ἱππαρχίαν τὴν Μαρωνῖτιν κυνογαμίαν τὸν γάμον ἐκάλεσε. παῖδα δὲ ἔσχεν ἐξ αὐτῆς Πασικλέα. ἦν δὲ ἐπὶ τῆς ρις' ὀλυμπιάδος [328—325]. *ἐπεκλήθη δὲ Θυρεπανοίκτης διὰ τὸ ἀδεῶς ἐπεισιέναι εἰς παντὸς οὗπερ ἠβούλετο οἶκον* [ex Laertio, cuius fortasse prima verba Hesychio concordabant].

οὗτος καταλιπὼν τὴν οὐσίαν μηλόβοτον ἀρθεὶς ἐπὶ τοῦ βωμοῦ εἶπεν 'ἐλευθεροῖ — Κράτης' [cf. A 12 et fr. 16].

ἔγραψε φιλόσοφα [ex Hesychio].

ὅτι Κράτης εἶπεν 'ἔρωτα παύει λιμός· εἰ δὲ μή, χρόνος· εἰ δὲ μὴ βρόχος' [ex Laert. cf. fr. 14].

οὗτος κατεπόντωσε τὴν οὐσίαν, ὡς λέγει Φιλόστρατος ὁ Λήμνιος ἐν τῶι Βίωι Ἀπολλωνίου τοῦ Τυανέως [I 13].

3. APUL. flor. 14 *haec atque hoc genus alia partim cum audiret a Diogene C., alias ipse sibimet suggereret, denique in forum exilit, rem familiarem abicit velut onus stercoris, magis labori quam usui. dein coetu facto maximum exclamat: 'Crates' inquit 'Cratetem manu mittit.' exinde non modo solus, verum nudus et liber omnium, quoad vixit, beate vixit. adeoque eius cupiebatur, ut virgo nobilis, spretis iunioribus ac ditioribus procis, ultronea cum sibi optaverit. cumque interscapulium Crates retexisset quod erat auctus gibbere peramque cum baculo et pallium humi posuisset, eamque supellectilem sibi esse puellae profiteretur eamque formam quam viderat: proinde sedulo consuleret, ne post querela eam caperet: enimvero Hipparche condicionem accipit, iamdudum sibi provisum satis et satis consultum respondet, neque ditiorem maritum neque formonsiorem uspiam gentium posse invenire: proinde duceret quo liberet. duxit cynicus in porticum: ibidem in loco celebri, coram, luce clarissima accubuit, coramque virginem imminuisset paratam pari constantia, ni Zeno procinctu palliastri circumstantis coronae obtutu magistrum secreto* [*magistri sui secreta* Rohde] *defendisset.*

22 * * * *Crates ille Diogenis sectator qui ut lar familiaris apud homines aetatis suae Athenis cultus est. nulla domus umquam clausa erat nec erat patris familias tam absconditum secretum, quin eo tempestive Crates interveniret, litium omnium et iurgiorum inter propinquos disceptator atque arbiter. quod* [*quomodo* Rohde] *Herculem olim poetae memorant monstra illa immania hominum ac ferarum virtute subegisse orbemque terrae purgasse, similiter adversum iracundiam et invidiam atque avaritiam atque libidinem ceteraque animi humani monstra et flagitia philosophus iste Hercules fuit. eas omnes pestes mentibus exegit, familias purgavit, malitiam perdomuit, seminudus et ipse et clava insignis, etiam Thebis oriundus, unde Herculem fuisse memoria extat.* ⟨*is*⟩ *igitur priusquam plane Crates factus inter proceres Thebanos numeratus est: lectum genus, frequens famulitium, domus amplo ornata vestibulo: ipse bene vestitus bene praediatus. post ubi intellegit nullum sibi in re familiari praesidium legatum quo fretus aetatem agat, omnia fluxa infirmaque esse, quicquid sub caelo divitiarum est, eas omnes ad bene vivendum* ⟨*nihil*⟩ *quicquam esse* * * *

4. Laert. II 131 *καί ποτε Κράτητος περισταμένου αὐτὸν* [Menedemum] *καὶ καθαπτομένου εἰς τὸ ὅτι πολιτεύεται, ἐκέλευσέ τισιν εἰς τὸ δεσμωτήριον ἐμβαλεῖν αὐτόν. τὸν δὲ μηδὲν ἧττον τηρεῖν παριόντα καὶ ὑπερκύπτοντα Ἀγαμεμνόνειόν τε καὶ Ἡγησίπολιν ἀποκαλεῖν.*

5. Teles p. 28, 5 Hense (Stob. fl. 97, 31) *διὸ καὶ ὁ Κ. πρὸς τὸν ἐπιζητοῦντα 'τί οὖν μοι ἔσται φιλοσοφήσαντι'; "ὀυνήσῃ, φησί, τὸ φασκώλιον ῥαιδίως λῦσαι καὶ τῇι χειρὶ ἐξελὼν εὐλύτως δοῦναι καὶ οὐχ ὥσπερ νῦν στρέφων καὶ μέλλων καὶ τρέμων, ὥσπερ οἱ παραλελυμένοι τὰς χεῖρας· ἀλλὰ καὶ πλῆρες ὂν αὐτὸ οὕτως ὄψει καὶ κενούμενον ἰδὼν οὐκ ὀδυνήσῃ, καὶ χρᾶσθαι προελόμενος ῥαιδίως ὀυνήσῃ καὶ μὴ ἔχων οὐκ ἐπιποθήσεις, ἀλλὰ βιώσῃ ἀρκούμενος τοῖς παροῦσι, τῶν ἀπόντων οὐκ ἐπιθυμῶν, τοῖς συμβεβηκόσιν οὐ δυσαρεστῶν."* p. 29, 6 *διὸ καὶ εἰ βούλει τὸν υἱόν σου τῆς ἐνδείας καὶ σπάνεως παῦσαι μὴ πρὸς τὸν Πτολεμαῖον πέμπε, ὅπως χρήματα κτήσεται· εἰ δὲ μή, ἀλαζονείαν προσλαβὼν ἀπελεύσεται, περανεῖς δὲ οὐδέν. ἀλλὰ* [*εἰς ἀκαδημίαν*] *πρὸς Κράτητα· ἐκεῖνος ἠδύνατο ἐξ ἁπλήστων καὶ πολυτελῶν ἐλευθερίους καὶ ἀφελεῖς κατασκευάζειν. καὶ Μητροκλῆς δὲ ἐκεῖνος ἔφη, ὡς ἔοικεν, ὅτε μὲν παρὰ Θεοφράστωι καὶ Ξενοκράτει σχολάζοι, πολλῶν αὐτῶι ἐξ οἴκου ἀποστελλομένων φοβεῖσθαι μὴ τῶι λιμῶι ἀποθάνοι καὶ ἀεὶ σπανίζειν καὶ ἐνδεὴς εἶναι, μεταβὰς δὲ ὕστερον πρὸς Κράτητα κἂν ἄλλον προστρέφειν οὐδενὸς πεμπομένου. τότε μὲν γὰρ ἐξ ἀνάγκης ἔδει ὑπόδημα ἔχειν, καὶ τοῦτο ἀκάττυτον* [*ἥλους οὐκ ἔχον*] *εἶτα χλανίδα, παίδων ἀκολουθίαν, οἰκίαν μεγάλην εἰς τὸ σύνδειπνον, ὅπως* [*ὅπου* Iacobs] *ἄρτοι καθαροί, ὄψον μὴ τὸ τυχόν, οἶνος ἡδύς, ὑποδοχὰς τὰς ἐπιβαλλούσας, ἵνα πολυτελῶς* [? *κλίνας πολυτελεῖς*]· *ἐλευθέριος γὰρ παρ' αὐτοῖς ἡ τοιαύτη ἀναστροφὴ ἐκρίνετο· πρὸς Κράτητα δὲ μεταβάντι οὐδὲν ἦν τούτων, ἀλλ' ἀφελέστερος τῶι τρόπωι γενόμενος ἠρκεῖτο τριβωνι καὶ μάζηι καὶ λαχανίοις οὐκ ἐπιποθῶν τὴν προτέραν δίαιταν οὐδὲ τῇι παρούσηι δυσχεραίνων. πρὸς ῥῖγος ἡμεῖς μὲν ζητοῦμεν παχύτερον ἱμάτιον, ἐκεῖνος δὲ διπλώσας τὸν τριβωνα περιήιει τρόπον τινὰ δύο ἱμάτια ἔχων. εἰ ἀλείψασθαι χρείαν ἔχοι, εἰσελθὼν ἂν εἰς τὸ βαλανεῖον τῶι γλοιῶι ἠλείψατο. καὶ βαδίσας ἐνίοτε πρὸς τὴν κάμινον, οὐ τὰ χαλκεῖα, τῶν μαινίδων ἀπόπυρα ποιήσας, περιχέας ἂν ἐλαίδιον καθίσας ἠρίστησε. καὶ ἐκάθευδε τὸ μὲν θέρος ἐν τοῖς ἱεροῖς, τὸν δὲ χειμῶνα ἐν τοῖς βαλανείοις· οὐ σπανίζων ὥσπερ πρὸ τοῦ οὐδὲ ἐνδεὴς ὤν, ἀλλ' ἀρκούμενος τοῖς παροῦσι, διακόνους οὐκ ἐπιθυμῶν ἔχειν.*

6. IDEM p. 35, 4 [Stob. fl. 95, 21] *Ζήνων ἔφη Κράτητα ἀναγινώσκειν ἐν σκυτείωι καθήμενον τὸν Ἀριστοτέλους Προτρεπτικόν, ὃν ἔγραψε πρὸς Θεμίσωνα τὸν Κυπρίων βασιλέα, λέγων ὅτι οὐδενὶ πλείω ἀγαθὰ ὑπάρχει πρὸς τὸ φιλοσοφῆσαι· πλοῦτόν τε γὰρ πλεῖστον αὐτὸν ἔχειν ὥστε δαπανᾶν εἰς ταῦτα, ἔτι δὲ δόξαν ὑπάρχειν αὐτῶι. ἀναγινώσκοντος δὲ αὐτοῦ τὸν σκυτέα ἔφη προσέχειν ἅμα ῥάπτοντα καὶ τὸν Κράτητα εἰπεῖν 'ἐγώ μοι δοκῶ, ὦ Φίλισκε, γράφειν* [recte] *πρὸς σὲ προτρεπτικόν· πλείω γὰρ ὁρῶ σοὶ ὑπάρχοντα πρὸς τὸ φιλοσοφῆσαι ⟨ἢ⟩ ὧι* [ὧν libri: correxi] *ἔγραψεν Ἀριστοτέλης'.*

7. IDEM p. 38, 3 H. [Stob. fl. 98, 72] *εἰ δὲ δεῖ τὸν εὐδαίμονα βίον ἐκ τῶν πλεοναζουσῶν ἡδονῶν ἐγκρῖναι, οὐδείς, φησὶν ὁ Κ., εὐδαίμων γεγονὼς ἂν εἴη. ἀλλ' εἰ θέλει τις ἐκλογίσασθαι ἐν ὅλωι τῶι βίωι πάσας τὰς ἡλικίας, εὑρήσει πολλῶι πλείους τὰς ἀλγηδόνας. πρῶτον μὲν γὰρ τοῦ παντὸς χρόνου ὁ ἥμισυς ἀδιάφορος, ἐν ὧι καθεύδω. εἶθ' ὁ πρῶτος ὁ κατὰ τὴν παιδοτροφίαν ἐπίπονος. πεινᾶι τὸ παιδίον, ἡ δὲ τροφὸς κατακοιμίζει· διψᾶι, ἡ δὲ λούει· κοιμηθῆναι θέλει, ἡ δὲ κρόταλον ἔχουσα ψοφεῖ. εἰ δ' ἐκπέφευγε τὴν τιτθήν, παρέλαβε πάλιν ὁ παιδαγωγός, παιδοτρίβης, γραμματοδιδάσκαλος, ἁρμονικός, ζωγράφος. προάγει ἡλικία· προσγίνεται ἀριθμητικός, γεωμέτρης, πωλοδάμνης* [ὑπὸ τούτων πάντων μαστιγοῦται]· *ὄρθρου ἐγείρεται· σχολάσαι οὐκ ἔστιν. ἔφηβος γέγονεν· ἔμπαλιν τὸν κοσμητὴν φοβεῖται, τὸν παιδοτρίβην, τὸν ὁπλομάχον, τὸν γυμνασίαρχον. ὑπὸ πάντων τούτων μαστιγοῦται, παρατηρεῖται, τραχηλίζεται. ἐξ ἐφήβων ἐστὶ καὶ ἤδη εἴκοσιν ἐτῶν· ἔτι φοβεῖται καὶ παρατηρεῖ καὶ γυμνασίαρχον καὶ στρατηγόν. παρακοιτεῖν που δεῖ, οὗτοι παρακοιτοῦσι· φυλάττειν καὶ ἀγρυπνεῖν, οὗτοι φυλάττουσιν· εἰς τὰ πλοῖα ἐμβαίνειν, οὗτοι ἐμβαίνουσιν. ἀνὴρ γέγονε καὶ ἀκμάζει· στρατεύεται καὶ πρεσβεύει ὑπὲρ τῆς πόλεως, πολιτεύεται, στρατηγεῖ, χορηγεῖ, ἀγωνοθετεῖ· μακαρίζει ἐκεῖνον τὸν βίον ὃν παῖς ὢν ἐβίωσε. παρήκμασε καὶ ἔρχεται εἰς γῆρας· πάλιν παιδοτροφίαν ὑπομένει καὶ ἐπιποθεῖ τὴν νεότητα καὶ 'ἰὼ νεότης μοι φίλον, τὸ δὲ γῆρας βαρύτερον Αἴτνης'* [Eur. Her. 637]. *οὐχ ὁρῶ οὖν, πῶς εὐδαίμονά τις βίον ἔσται βεβιωκώς, εἴπερ δεῖ τῶι πλεονασμῶι τῶν ἡδονῶν ἐκμετρῆσαι.* [vereor ne ea quae inde ab *ἀλλ' εἰ θέλει* congruenter cum Axiocho p. 336 D exponuntur, a Cratete abhorreant. illum enim puto nec tam attice se gesturum fuisse ut Thebanum, nec tam molliter ut Cynicum. saepe eclogae in Teletis epitome lemmatis suis orbatae cf. p. 31, 5. 41, 1 — 3, 4 al. (cf. Hense p. XXXIII)].

8. ATHEN. X 422 c *καὶ Κ. ὁ' ὁ κυνικός, ὥς φησι Σωσικράτης ἐν ταῖς Διαδοχαῖς, ἐπερράπισε Δημήτριον τὸν Φαληρέα σὺν τῆι πήραι τῶν ἄρτων καὶ λάγυνον πέμψαντα οἴνου· 'εἶθε γάρ, ἔφη, τὰς κρήνας καὶ ἄρτους ἦν φέρειν'.* Plut. de adul. et amic. 28 p. 69 C *λέγεται δὲ καὶ Δημήτριος ὁ Φαληρεύς, ὅτε τῆς πατρίδος ἐξέπεσε καὶ περὶ Θήβας ἀόξων καὶ ταπεινὰ πράττων διῆγεν, οὐχ ἡδέως ἰδεῖν προσιόντα Κράτητα παρρησίαν κυνικὴν καὶ λόγους τραχεῖς προσδεχόμενος· ἐντυχόντος δὲ πράως αὐτῶι τοῦ Κράτητος καὶ διαλεχθέντος περὶ φυγῆς, ὡς οὐδὲν ἔχει κακὸν οὐδ' ἄξιον φέρειν βαρέως, πραγμάτων σφαλερῶν καὶ βιαίων ἀπηλλαγμένον, ἅμα δὲ θαρρεῖν ἐφ' ἑαυτῶι καὶ τῆι διαθέσει παρακαλοῦντος, ἡδίων γενόμενος καὶ ἀναθαρσήσας πρὸς τοὺς φίλους εἶπε· 'φεῦ τῶν πράξεων ἐκείνων καὶ ἀσχολιῶν, δι' ἃς ἄνδρα τοιοῦτον οὐκ ἔγνωμεν.'*

9. PLUT. de vit. aer. al. 8 p. 831 F *Κ. δὲ ὁ Θηβαῖος ὑπ' οὐδενὸς ἀπαιτούμενος οὐδ' ὀφείλων, αὐτὰς δὲ τὰς οἰκονομίας καὶ φροντίδας καὶ περισπα-*

σμοὺς δυσχεραίνων ἀφῆκεν οὐσίαν ὀκτὼ ταλάντων καὶ τρίβωνα καὶ πήραν ἀναλαβὼν εἰς φιλοσοφίαν καὶ πενίαν κατέφυγεν. Id. de an. tranqu. 4 p. 266 E *Κ. δὲ πήραν ἔχων καὶ τρίβωνα παίζων καὶ γελῶν ὥσπερ ἐν ἑορτῇ τὸν βίον διετέλεσε.*

10. Idem. Qu. conv. II 1, 6 p. 632 E *Κράτητα δὲ τὸν φιλόσοφον εἰς πᾶσαν οἰκίαν εἰσιόντα μετὰ τιμῆς καὶ φιλοφροσύνης δεχομένων 'Θυρεπανοίκτην' ἐκάλουν.*

11. Iulian. or. 6 p. 200 B *ἐντυχὼν δὲ τῶι Χαιρωνεῖ Πλουτάρχωι τὸν Κράτητος ἀναγράψαντι βίον οὐθὲν ἐκ παρέργου τοῦ μανθάνειν δεήσει τὸν ἄνδρα. οὗτος ἡγεμὼν ἐγένετο Ζήνωνι τῶν καλῶν δογμάτων· ἐπὶ τούτου φασὶ τοὺς Ἕλληνας ἐπιγράφειν τοῖς ἑαυτῶν οἴκοις ἐπὶ τῶν προπυλαίων 'εἴσοδος Κράτητι ἀγαθῶι δαίμονι'.* p. 201 B *ὁ Κ. δὲ ἐδημοσίευσε τὴν οὐσίαν εἶτα τὸ σῶμα βλαβεὶς ἔσκωπτεν ἑαυτὸν εἰς τὴν χωλότητα τοῦ σκέλους καὶ τὸ κυρτὸν τῶν ὤμων, ἐπορεύετο δὲ ἐπὶ τὰς τῶν φίλων ἑστίας ἄκλητος κεκλημένος, διαλάσσων τοὺς οἰκειοτάτους ἀλλήλοις, εἴ ποτε στασιάζοντας αἴσθοιτο, ἐπετίμα δὲ οὐ μετὰ πικρίας, ἀλλὰ μετὰ χάριτος, οὐχ ἵνα συκοφαντεῖν δοκῇι τοὺς σωφρονισθέντας ὠφελεῖν δὲ ἐθέλων αὐτούς τε ἐκείνους καὶ τοὺς ἀκούοντας.*

12. Orig. c. Cels. II 41 *ὅσος δὲ καὶ ἄλλος χορὸς πενήτων ἐστὶ παρ' Ἕλλησι φιλοσοφησάντων καὶ ἐκούσιον πενίαν ἀναδεξαμένων καὶ οἱ πολλοὶ Ἑλλήνων ἴσασιν ἐκ τῶν ἀναγραφέντων περὶ μὲν Δημοκρίτου μηλόβοτον ἐάσαντος τὴν οὐσίαν, περὶ δὲ Κράτητος ἑαυτὸν ἐλευθερώσαντος διὰ τοῦ τοῖς Θηβαίοις χαρίσασθαι τὸ ὑπὲρ πάσης τῆς κτήσεως πραθείσης δοθὲν αὐτῶι ἀργύριον.*

13. Plut. de Alex. fort. II 3 p. 336 c *ὁ μὲν οὖν Κ. κιδὼν χρυσῆν εἰκόνα Φρύνης τῆς ἑταίρας ἑστῶσαν ἐν Δελφοῖς ἀνέκραγεν, ὅτι τοῦτο τῆς τῶν Ἑλλήνων ἀκρασίας τρόπαιον ἕστηκε* [Stob. fl. 6, 46 H.] de Pyth. orac. 14 p. 401 A *ἐκεῖ βλέψον ἄνω καὶ τὴν χρυσῆν ἐν τοῖς στρατηγοῖς καὶ βασιλεῦσι θέασαι Μνησαρέτην ἣν Κράτης εἶπε τῆς τῶν Ἑλλήνων ἀκρασίας ἀνακεῖσθαι τρόπαιον. ἰδὼν οὖν ὁ νεανίας 'εἶτ' οὐ περὶ Φρύνης, ἔφη, τοῦτ' ἦν εἰρημένον τῶι Κράτητι;' 'ναί, εἶπεν ὁ Σεραπίων, Μνησαρέτη γὰρ ἐκαλεῖτο, τὴν δὲ Φρύνην ἐπίκλησιν ἔσχε διὰ τὴν ὠχρότητα'.* Ath. XIII 591 B *αὐτῆς δὲ τῆς Φρύνης οἱ περικτίονες ἀνδριάντα ποιήσαντες ἀνέθηκεν ἐν Δελφοῖς χρύσεον ἐπὶ κίονος Πεντελικοῦ· κατεσκεύασε δ' αὐτὸν Πραξιτέλης. ὃν καὶ θεασάμενος Κ. ὁ κυνικὸς ἔφη τῆς τῶν Ἑλλήνων ἀκρασίας ἀνάθημα.*

14. Plut. coniug. praec. 26 p. 141 E *'κόσμος γάρ ἐστιν' ὡς ἔλεγε Κ. 'τὸ κοσμοῦν'· κοσμεῖ δὲ τὸ κοσμιωτέραν γυναῖκα ποιοῦν.* [Stob. flor. 74, 48] fortasse hoc ansam dedit epistolographo Cratetis ep. 9 p. 209 Herch. haec ludenti: *Μνασοῖ. μὴ ἀπέχου τοῦ καλλίστου κόσμου, ἀλλὰ κόσμει σαυτὴν ἑκάστης ἡμέρας, ἵνα διαφέρουσα ἧις. κάλλιστος δὲ κόσμος ἐστὶν ὁ κάλλιστα κοσμῶν, κάλλιστα δὲ κοσμεῖ ὁ κοσμιωτάτην ποιῶν, κοσμιωτάτην δὲ ποιεῖ κοσμιότης, ἧι μοι δοκοῦσι καὶ ἡ Πηνελόπη καὶ ἡ Ἀλκηστις κεκοσμῆσθαι καὶ ἔτι καὶ νῦν ἐπ' ἀρετῆι ὑμνεῖσθαι καὶ τιμᾶσθαι. ἵν' οὖν καὶ σὺ ταύταις ἐνάμιλλος γένηι, πειρῶ τούτων ἀντέχεσθαι τῶν παραινουμένων.*

15. Senec. ep. 10, 1 *Crates, ut aiunt, huius ipsius Stilbonis auditor, cuius mentionem priore epistula feci, cum vidisset adulescentulum secreto ambulantem interrogavit, quid illic solus faceret? 'mecum, inquit, loquor'. cui Crates 'cave, inquit, rogo, et diligenter attende: cum homine malo loqueris'.*

16. Iamblichus *ἐκ τῆς ἐπιστολῆς τῆς ⟨πρὸς Ἀρετὴν⟩ περὶ σωφροσύνης* (Stob. flor. 5, 47 Hense.): *ἡ δὲ μέτροις ὡρισμένοις κατέχουσα τὰς ἡδονὰς εὐταξία σώιζει μὲν οἴκους, σώιζει δὲ πόλεις κατὰ τὴν Κράτητος γνώμην*

Ex Crateteorum apophthegmatum sylloge, cuius fons primarius Zenonis *Κράτητος ἀπομνημονεύματα* [Diog. VII 4; cf. A 6. 27; ad fr. 16] et *Χρεῖαι* [Diog. VI 91 p. 209, 2]

17. Stob. flor. 4, 50 Hense. *Κράτης ἀπείκαζε τοὺς ἀνοήτους τῶν ἀνθρώπων τοῖς τρυπάνοις· ἄνευ γὰρ δεσμοῦ καὶ ἀνάγκης μηδὲν ἐθέλειν τῶν δεόντων ποιεῖν* [Maxim. c. 60 p. 984 M.].

18. Id. 5, 52. *Κράτητος. Κ. εἰς τὴν ἀγορὰν ἐμβαλὼν καὶ ὁρῶν τοὺς μὲν πιπράσκοντας τοὺς δὲ ὠνουμένους 'οὗτοι, ἔφη, διὰ τὸ ἐναντίον πρᾶγμα ἀλλήλους μακαρίζουσιν, ἐγὼ δ' ἐμαυτόν, ὅτι ἀμφοτέρων ἀπήλλαγμαι, μήτε ὠνούμενος μήτε πωλῶν'.* [Gnom. Par. 318; ed. Sternbach *Ac. Crac.* XX 166].

19. Id. 14, 20. *Κράτητος Κ. πρὸς νέον πλούσιον πολλοὺς κόλακας ἐπισυρόμενον 'νεανίσκε' εἶπεν 'ἑλεῶ σον τὴν ἐρημίαν'.* [Max. c. 11 p. 789 M.]

20. Id. 15, 10. *Κράτητος. Κ. τὰ τῶν πλουσίων καὶ ἀσώτων χρήματα ταῖς ἐπὶ τῶν κρημνῶν συκαῖς εἴκαζεν, ἀφ' ὧν ἄνθρωπον μηδὲν λαμβάνειν, κόρακας δὲ καὶ ἰκτίνους* [*ὥσπερ παρὰ τούτων ἑταίρας καὶ κόλακας*]. [gnom. Paris. 287]

21. Id. 97, 27 Mein. *Κράτητος κυνικοῦ. Κ. οὐ τῶι πλούτωι εἶπεν ἑαυτὸν ἡὐδοξηκέναι μεγάλα, ἀλλὰ τῆι πενίαι.*

22. Anton. Melissa I 29 p. 877 Migne. *Κράτητος. μὴ παρὰ πάντων τὰ διδόμενα δέχεσθαι χρή. οὐ γὰρ θεμιτὸν ἀρετὴν ὑπὸ κακίας τρέφεσθαι.*

23. Maxim. 27 p. 876 Migne (praecedit *Κράτης* = Stob. 6, 46 = Plut. Al. fort. II 3 [A 13]) *ὁ αὐτὸς νεανίσκον ἰδὼν ἀθλητικὸν οἴνωι καὶ κρεοφαγίαι καὶ ἀσκήσει σάρκα πολλὴν ὑποτρέφοντα εἶπεν· 'ὦ δαιμόνιε παῦσαι καθ' ἑαυτοῦ ποιῶν τὸ δεσμωτήριον ἰσχυρόν'.*

24. Gnomol. Vatic. ed. Sternbach [*Wien. Stud.* XI 56] 381 *Κράτης ὁ Κυνικὸς ἰδὼν μειράκιον καλλωπιζόμενον ὅμοιον αὐτὸ ἔφη εἶναι δόδωι λείαι καὶ πλατείαι δι' ἧς πολλοὶ εὐχερῶς ὁδεύουσιν.*

25. Id. 382 *ὁ αὐτὸς ἔφη κρεῖττον εἶναι τῶι ποδὶ ὀλισθῆσαι ἢ τῆι γλώττηι* (Zenoni tribuitur Laert. VII 26, Socrati alias cf. Sternbach l. c. p. 217 ad n. 483).

26. Id. 383 *ὁ αὐτὸς τὸν ποιητικὸν λόγον μέγιστον εἶπεν εἶναι λιστὴν ἑρμηνείαι τε περισσῆι καὶ ἐνθυμήμασι πολλοῖς κεκοσμημένον.*

27. Id. 384 *ὁ αὐτὸς Ζήνωνί ποτε τῶι Κιτιεῖ γνωρίμωι ὄντι αὐτοῦ ἔδωκε χύτραν φέρειν φακῆς. καὶ τοῦ Ζήνωνος φιλοδοξότερον ἀποκρύπτοντος ἐν τῶι ὄχλωι τὴν χύτραν πλῆξας ὁ Κράτης τῆι βακτηρίαι κατέαξεν αὐτήν· φερομένης οὖν τῆς φακῆς κατὰ τῶν τοῦ Ζήνωνος σκελῶν κἀκείνου ἐρυθριῶντος ἐπὶ τούτωι· 'θάρρει, ὦ Φοινικίδιον, ἔφη, οὐδὲν γὰρ δεινόν ἐστιν, ἀλλὰ φακῆ'.* [cf. Laert. VII 3].

Φιλίππου. πολλάκις τε τῆι βακτηρίαι τῶν συγγενῶν τινας προσιόντας καὶ ἀποτρέποντας ἐδίωκε καὶ ἦν γενναῖος. φησὶ δὲ Δημήτριος ὁ Μάγνης τραπεζίτηι τινὶ παρακαταθέσθαι τὸ ἀργύριον, συνθέμενον, εἰ μὲν οἱ παῖδες ἰδιῶται γενηθεῖεν, αὐτοῖς ἀποδοῦναι· εἰ δὲ φιλόσοφοι, τῶι δήμωι διανεῖμαι· μηδενὸς γὰρ ἐκείνους δεήσεσθαι φιλοσοφοῦντας. Ἐρατοσθένης δέ φησιν, ἐξ Ἱππαρχίας, περὶ ἧς λέξομεν, γενομένου παιδὸς αὐτῶι ὄνομα Πασικλέους, ὅτ' ἐξ ἐφήβων ἐγένετο, ἀγαγεῖν αὐτὸν ἐπ' οἴκημα παιδίσκης καὶ φάναι τοῦτον αὐτῶι πατρῶιον εἶναι τὸν γάμον· τοὺς δὲ τῶν μοιχευόν- 89
των τραγικούς· φυγὰς ⟨γὰρ⟩ καὶ φόνους ἔχειν ἔπαθλον· τοὺς δὲ τῶν ἑταίραις προσιόντων κωμικούς· ἐξ ἀσωτίας γὰρ καὶ μέθης μανίαν ἀπεργάζεσθαι. τούτου γέγονε Πασικλῆς ἀδελφός; μαθητὴς Εὐκλείδου. χάριεν δ' αὐτοῦ Φαβωρῖνος ἐν τῶι δευτέρωι τῶν Ἀπομνημονευμάτων φέρει. φησὶ γάρ· παρακαλῶν περί του τὸν γυμ-
νασίαρχον, τῶν ἰσχίων αὐτοῦ ἥπτετο· ἀγανακτοῦντος δὲ ἔφη· 'τί γάρ; οὐχὶ καὶ ταῦτα σά ἐστι καθάπερ καὶ τὰ γόνατα;' ἔλεγέ τε ἀδύνατον εἶναι ἀδιάπτωτον εὑρεῖν, ἀλλ' ὥσπερ ἐν ῥοιᾶι καὶ σαπρόν τινα κόκκον εἶναι. Νικόδρομον ἐξερεθίσας τὸν κιθαρωιδὸν ὑπωπιάσθη· προσθεὶς οὖν πιττάκιον τῶι μετώπωι ἐπέγραψεν.
'Νικόδρομος ἐποίει.' τὰς πόρνας ἐπίτηδες ἑλοιδόρει συγγυμνάζων 90
ἑαυτὸν πρὸς τὰς βλασφημίας. Δημήτριον τὸν Φαληρέα πέμψαντα αὐτῶι ἄρτους καὶ οἶνον ὠνείδισεν εἰπών· 'εἶθε γὰρ αἱ κρῆναι καὶ ἄρτους ἔφερον.' δῆλον οὖν ὡς ὕδωρ ἔπινεν. ὑπὸ τῶν Ἀθήνησιν ἀστυνόμων ἐπιτιμηθείς, ὅτι σινδόνα ἠμφιέστο, ἔφη 'καὶ Θεόφραστον ὑμῖν δείξω σινδόνα περιβεβλημένον'. ἀπιστούντων δέ, ἀπήγαγεν ἐπὶ κουρεῖον καὶ ἔδειξε κειρόμενον. ἐν Θήβαις ὑπὸ τοῦ γυμνασιάρχου μαστιγωθείς (οἱ δέ, ἐν Κορίνθωι ὑπ' Εὐθυκράτους) καὶ ἑλκόμενος τοῦ ποδὸς ἐπέλεγεν ἀφροντιστῶν·

ἕλκε ποδὸς τεταγὼν διὰ βηλοῦ θεσπεσίοιο.

Διοκλῆς δέ φησιν ἑλχθῆναι αὐτὸν ὑπὸ Μενεδήμου τοῦ Ἐρε- 91
τρικοῦ. ἐπειδὴ γὰρ εὐπρεπὴς ἦν καὶ ἐδόκει χρησιμεύειν Ἀσκληπιάδηι τῶι Φλιασίωι, ἁψάμενος αὐτοῦ τῶν μηρῶν ὁ Κράτης ἔφη·

---

1 *Φιλίππου*] V. de Maronea, unde Hipparchia, excidio Liv. 31, 16. 39, 34 3 *παρακαταθέσθαι* F: *παρακατατίθεσθαι* PB 4 *γεννηθεῖεν* PB: *γένωνται* F, unde *γένοιντο* Cobet 10 *τραγικοὺς* (scil. *γάμους*) *γὰρ* add. Wilam. *ἔπαθλα* Cobet 12 *τούτου* Cratetis 12. 13 *Εὐκλείδου* pro *Διοκλείδου* aut scriptoris aut scribae errore positum est cf. Zeller II 1, 247⁵ 13 *ἐν τῶι* sic BPF 14 *του τὸν*] *τούτων* B 16 *τὰ γόνατα*] scil. *si supplex essem* 17 *ῥοιᾶι καὶ*] *ῥόακι* B 18 sqq. ad Socratem transfert Basilius, ad Antisthenem Gregorius Naz., ad Diogenem cynicum ipse Laertius VI 33 25 *ἐπήγαγεν* B 26 *ἐπὶ τὸ* F 30 *ὁ διόκλης* B 32 *ἀφαψάμενος* B; fort. *ἐφαψάμενος*

'ἔνδον Ἀσκληπιάδης'. ἐφ' ᾧ τι δυσχεράναντα τὸν Μενέδημον ἔλκειν αὐτόν, τὸν δὲ τοῦτο ἐπιλέγειν. Ζήνων δ' αὖθ' ὁ Κιτιεὺς ἐν ταῖς Χρείαις καὶ κώδιον αὐτόν φησί ποτε προσράψαι τῶι τρίβωνι ἀνεπιστρεπτοῦντα. ἦν δὲ καὶ τὴν ὄψιν αἰσχρὸς καὶ γυμναζόμενος ἐγελᾶτο. εἰώθει δὲ λέγειν ἐπαίρων τὰς χεῖρας· 'θάρρει, Κράτης, ὑπὲρ ὀφθαλμῶν καὶ τοῦ λοιποῦ σώματος· τούτους δὲ ὄψει τοὺς 92 *καταγελῶντας ⟨καταμεμυκότας⟩ ἤδη καὶ συνεσπασμένους ὑπὸ νόσου καὶ σε μακαρίζοντας, αὐτοὺς δὲ καταμεμφομένους ἐπὶ τῆι ἀργίαι'. ἔλεγε δὲ μέχρι τούτου δεῖν φιλοσοφεῖν, μέχρι ἂν δόξωσιν οἱ στρατηγοὶ εἶναι ὀνηλάται. ἐρήμους ἔλεγε τοὺς μετὰ κολάκων ὄντας ὥσπερ τοὺς μόσχους, ἐπειδὰν μετὰ λύκων ὦσιν· οὔτε γὰρ ἐκείνοις τοὺς προσήκοντας οὔτε τούτοις συνεῖναι, ἀλλὰ τοὺς ἐπιβουλεύοντας. συναισθανόμενος, ὅτι ἀποθνήισκει, ἐπῆιδε πρὸς ἑαυτὸν λέγων, 'στείχεις — γῆρας'* [fr. 9]*· ἦν γὰρ κυφὸς ὑπὸ χρόνου. πρὸς Ἀλέ-* 93 *ξανδρον πυθόμενον εἰ βούλεται αὐτοῦ τὴν πατρίδα ἀνορθωθῆναι, ἔφη, 'καὶ τί δεῖ; πάλιν γὰρ ἴσως Ἀλέξανδρος ἄλλος αὐτὴν κατασκάψει.' ἔχειν δὲ πατρίδα ἀδοξίαν ⟨καὶ⟩ πενίαν ἀνάλωτα τῆι τύχηι καὶ Διογένους εἶναι πολίτης ἀνεπιβουλεύτου φθόνωι. μέμνηται δὲ αὐτοῦ καὶ Μένανδρος ἐν Διδύμαις* [FCA. III 117. 118 K.] *οὕτως·*

συμπεριπατήσεις γὰρ τρίβων(α) ἔχουσ(α) ἐμοί,
ὥσπερ Κράτητι τῶι κυνικῶι ποθ' ἡ γυνή,
καὶ θυγατέρ' ἐξέδωκ' ἐκείνοις, ὡς ἔφη
αὐτός, ἐπὶ πείραι δοὺς τριάκονθ' ἡμέρας.

μαθηταὶ αὐτοῦ·

Μητροκλῆς ἀδελφὸς Ἱππαρχίας, ὃς πρότερον ἀκούων Θεοφρά- 94 *στου τοῦ περιπατητικοῦ τοσοῦτον διέφθαρτο, ὥστε ποτὲ μελετῶν καὶ μεταξύ πως ἀποπαρδὼν ὑπ' ἀθυμίας οἴκοι κατάκλειστος ἦν, ἀποκαρτερεῖν βουλόμενος. μαθὼν δὴ ὁ Κράτης εἰσῆλθε πρὸς αὐτὸν παρακληθεὶς καὶ θέρμους ἐπίτηδες βεβρωκὼς ἔπειθε μὲν αὐτὸν καὶ διὰ τῶν λόγων μηδὲν φαῦλον πεποιηκέναι· τέρας γὰρ ἂν γεγονέναι, εἰ μὴ καὶ τὰ πνεύματα κατὰ φύσιν ἀπεκρίνετο· τέλος δὲ καὶ ἀποπαρδὼν ἀνέρρωσεν αὐτὸν ἀφ' ὁμοιότητος τῶν ἔργων παραμυθησάμενος. τοὐντεῦθεν ἤκουεν αὐτοῦ καὶ ἐγένετο ἀνὴρ*

2 *αὖθ'* om. B 3 *ἀνεπιτρεπτοῦντα* PB: om. F: corr. Reiske 7 *κατα-μεμυκότας* add. Wilam. 16 *ἄλλος Ἀλ.* colloc. F 17 *δὲ* om. B¹ iamborum vestigia pellucent cf. Bergk P. L. p. 371 fr. 21 *καὶ* om. BPF *πένητα* F 19 *δὲ* om. B *διδύμοις* libri 23 *ἐξέδοκε κοινοῖς* B¹; *ἐκείνοις* Cobet *ὡς αὐτὸς ἔφη* P; *αὐτὸς* intellego Crates 25 *μαθηταὶ αὐτοῦ* sic libri, tituli instar 26 post *Μητροκλῆς* habet *ὁ Μαρωνείτης* nescio unde Cobet 28 *κατάκεστος* B 30 *παρακληθεὶς* cf. p. 210, 20

ἱκανὸς ἐν φιλοσοφίαι. οὗτος τὰ ἑαυτοῦ συγγράμματα κατακάων, 95
ὥς φησιν Ἑκάτων ἐν πρώτωι Χρειῶν, ἐπέλεγε·

τάδ' ἔστ' ὀνείρων νερτέρων φαντάσματα [FT ad. 285 p. 894 N.]
[οἷον λῆρος]· οἱ δ', ὅτι τὰς Θεοφράστου ἀκροάσεις καταφλέγων
ἐπέλεγεν·

Ἥφαιστε, πρόμολ' ὧδε, Θέτις νύ τι σεῖο χατίζει [Σ 392].
οὗτος ἔλεγε τῶν πραγμάτων τὰ μὲν ἀργυρίου ὠνητὰ εἶναι, οἷον
οἰκίαν· τὰ δὲ χρόνου καὶ ἐπιμελείας, ὡς παιδείαν. τὸν πλοῦτον
βλαβερόν, εἰ μή τις ἀξίως αὐτῶι χρῶιτο. ἐτελεύτα δὲ ὑπὸ γήρως
ἑαυτὸν πνίξας. μαθηταὶ δ' αὐτοῦ Θεόμβροτος καὶ Κλεομένης,
Θεομβρότου Δημήτριος ὁ Ἀλεξανδρεύς, Κλεομένους Τίμαρχος Ἀλε-
ξανδρεὺς καὶ Ἐχεκλῆς Ἐφέσιος· οὐ μὴν ἀλλὰ καὶ Ἐχεκλῆς Θεομ-
βρότου διήκουσεν, οὗ Μενέδημος, περὶ οὗ λέξομεν. ἐγένετο καὶ
Μένιππος Σινωπεὺς ἐν αὐτοῖς ἐπιφανής.

ἐθηράθη δὲ τοῖς λόγοις καὶ ἡ ἀδελφὴ τοῦ Μητροκλέους 96
Ἱππαρχία. Μαρωνῖται δ' ἦσαν ἀμφότεροι. καὶ ἦρα τοῦ Κράτητος
καὶ τῶν λόγων καὶ τοῦ βίου, οὐδενὸς τῶν μνηστευομένων ἐπιστρε-
φομένη, οὐ πλούτου, οὐκ εὐγενείας, οὐ κάλλους· ἀλλὰ πάντα ἦν
Κράτης αὐτῆι. καὶ δὴ καὶ ἠπείλει τοῖς γονεῦσιν ἀναιρήσειν αὐτήν,
εἰ μὴ τούτωι δοθείη. Κράτης μὲν οὖν παρακαλούμενος ὑπὸ τῶν
γονέων αὐτῆς ἀποτρέψαι τὴν παῖδα, πάντα ἐποίει, καὶ τέλος μὴ
πεισθών, ἀναστὰς καὶ ἀποθέμενος τὴν ἑαυτοῦ σκευὴν ἀντικρὺς αὐ-
τῆς ἔφη· 'ὁ μὲν νυμφίος οὗτος, ἡ δὲ κτῆσις αὕτη, πρὸς ταῦτα
βουλεύου'· οὐδὲ γὰρ ἔσεσθαι κοινωνόν, εἰ μὴ καὶ τῶν αὐτῶν ἐπιτη-
δευμάτων γενηθείη. εἵλετο ἡ παῖς καὶ ταὐτὸν ἀναλαβοῦσα 97
σχῆμα συμπεριήιει τἀνδρὶ καὶ ἐν τῶι φανερῶι συνεγίνετο καὶ ἐπὶ
τὰ δεῖπνα ἀπήιει. ὅτε καὶ πρὸς Λυσίμαχον εἰς τὸ συμπόσιον
ἦλθον, ἔνθα Θεόδωρον τὸν ἐπίκλην Ἄθεον ἐπήλεγξε, σόφισμα
προτείνασα τοιοῦτο· ὃ ποιῶν Θεόδωρος οὐκ ἂν ἀδικεῖν λέγοιτο,
οὐδ' Ἱππαρχία ποιοῦσα τοῦτο ἀδικεῖν λέγοιτ' ἄν· Θεόδωρος δὲ
τύπτων ἑαυτὸν οὐκ ἀδικεῖ, οὐδ' ἄρα Ἱππαρχία Θεόδωρον τύπτουσα
ἀδικεῖ. ὁ δὲ πρὸς μὲν τὸ λεχθὲν οὐδὲν ἀπήντησεν, ἀνέσυρε δ'
αὐτῆς ἱμάτιον· ἀλλ' οὔτε κατεπλάγη Ἱππαρχία οὔτε διεταράχθη
ὡς γυνή. ἀλλὰ καὶ εἰπόντος αὐτῆι· 'αὕτη' στιν ἡ τὰς παρ' ἰστοῖς 98

---

2 *κάτων* B 6 *θέτις* BP¹: *πόλις* F: *παχις*(?) P² 9 *δὲ* FQ: *δὴ* BP
11 *Κλεομένους Τίμαρχος* om. BF: *Κλεομένους* del. P², rest. P² 15 *Μητροκλέους Ἱππαρχία* om. B¹: ΙΠΠΑΡΧΕΙΑ inter versus in ras. add. B¹: *μητροκλέους* B² 16 *μαρωνεῖται* libri 18 *τοῦ πλούτου* (om. *οὐ*) 22 *ἀντικρὺ* F
24 *κοινωνὸς* libri: correxi 25 *γενηθείη* F: *γενηθείης* BP 26 quidni *συναπήιει*? 28 *ἦλθον* B: *ἤλθεν* FP (e sil.) 33 *ἡ ἱππαρχία* B 34 *αὐτῆι αὕτη 'στὶν ἡ* ['στὶν ἡ ex corr. B², *ἐστὶν ἡ* F] BF: *αὐτοῦ*(?) *αὐτῆι τίνι* P, fort. B¹

ἐκλιποῦσα κερκίδας'; [Eur. Bacch. 1236] *'ἐγώ, φησίν, εἰμί, Θεόδωρε· ἀλλὰ μὴ κακῶς σοι δοκῶ βεβουλεῦσθαι περὶ αὐτῆς, εἰ τὸν χρόνον, ὃν ἔμελλον ἰστοῖς προσαναλώσειν, τοῦτον εἰς παιδείαν κατεχρησάμην'*; *καὶ ταῦτα μὲν καὶ ἄλλα μυρία τῆς φιλοσόφου.*

φέρεται δὲ τοῦ Κράτητος βιβλίον Ἐπιστολαί, ἐν αἷς ἄριστα φιλοσοφεῖ, τὴν λέξιν ἔστιν ὅτε παραπλήσιος Πλάτωνι. γέγραφε καὶ τραγωιδίας ὑψηλότατον ἐχούσας φιλοσοφίας χαρακτῆρα, οἷόν ἐστι κἀκεῖνο· 'οὐχ — πάρα [fr. 15]. *ἐτελεύτησε δὲ γηραιὸς καὶ ἐτάφη ἐν Βοιωτίαι.*

2. SUIDAS

Κράτης Ἀσκώνδου Θηβαῖος, φιλόσοφος Κυνικός, μαθητὴς Διογένους καὶ Βρύσωνος τοῦ Ἀχαιοῦ. ὃς ἐξαργυρίσας τὴν οὐσίαν δέδωκε τὰ ἀργύρια τραπεζίτηι εἰπών, εἰ οἱ παῖδες αὐτῶι φιλοσοφήσουσι, τῶι δήμωι δοῦναι· εἰ δὲ μή, τοῖς παισί. γήμας δὲ Ἱππαρχίαν τὴν Μαρωνῖτιν κυνογαμίαν τὸν γάμον ἐκάλεσε. παῖδα δὲ ἔσχεν ἐξ αὐτῆς Πασικλέα. ἦν δὲ ἐπὶ τῆς ρις' ὀλυμπιάδος [328—325]. *ἐπεκλήθη δὲ Θυρεπανοίκτης διὰ τὸ ἀδεῶς ἐπεισιέναι εἰς παντὸς οὗπερ ἠβούλετο οἶκον* [ex Laertio, cuius fortasse prima verba Hesychio concordabant].

οὗτος καταλιπὼν τὴν οὐσίαν μηλόβοτον ἀρθεὶς ἐπὶ τοῦ βωμοῦ εἶπεν 'ἐλευθεροῖ — Κράτης' [cf. A 12 et fr. 16].

ἔγραψε φιλόσοφα [ex Hesychio].

ὅτι Κράτης εἶπεν 'ἔρωτα παύει λιμός· εἰ δὲ μή, χρόνος· εἰ δὲ μὴ βρόχος' [ex Laert. cf. fr. 14].

οὗτος κατεπόντωσε τὴν οὐσίαν, ὡς λέγει Φιλόστρατος ὁ Λήμνιος ἐν τῶι Βίωι Ἀπολλωνίου τοῦ Τυανέως [I 13].

3. APUL. flor. 14 *haec atque hoc genus alia partim cum audiret a Diogene C., alias ipse sibimet suggereret, denique in forum exilit, rem familiarem abicit velut onus stercoris, magis labori quam usui. dein coetu facto maximum exclamat: 'Crates' inquit 'Cratetem manu mittit.' exinde non modo solus, verum nudus et liber omnium, quoad vixit, beate vixit. adeoque eius cupiebatur, ut virgo nobilis, spretis iunioribus ac ditioribus procis, ultronea eum sibi optaverit. cumque interscapulium Crates retexisset quod erat auctus gibbere peramque cum baculo et pallium humi posuisset, eamque supellectilem sibi esse puellae profiteretur eamque formam quam viderat: proinde sedulo consuleret, ne post querela eam caperet: enimvero Hipparche condicionem accipit, iamdudum sibi provisum satis et satis consultum respondet, neque ditiorem maritum neque formonsiorem uspiam gentium posse invenire: proinde duceret quo liberet. duxit cynicus in porticum: ibidem in loco celebri, coram, luce clarissima accubuit, coramque virginem imminuisset paratam pari constantia, ni Zeno procinctu palliastri circumstantis coronae obtutu magistrum secreto* [*magistri sui secreta* Rohde] *defendisset.*

22 * * * *Crates ille Diogenis sectator qui ut lar familiaris apud homines aetatis suae Athenis cultus est. nulla domus umquam clausa erat nec erat patris familias tam absconditum secretum, quin eo tempestive Crates interveniret, litium omnium et iurgiorum inter propinquos disceptator atque arbiter. quod* [*quomodo* Rohde] *Herculem olim poetae memorant monstra illa immania hominum ac ferarum virtute subegisse orbemque terrae purgasse, similiter adversum iracundiam et invidiam atque avaritiam atque libidinem ceteraque animi humani monstra et flagitia philosophus iste Hercules fuit. eas omnes pestes mentibus exegit, familias purgavit, malitiam perdomuit, seminudus et ipse et clava insignis, etiam Thebis oriundus, unde Herculem fuisse memoria extat.* ⟨*is*⟩ *igitur priusquam plane Crates factus inter proceres Thebanos numeratus est: lectum genus, frequens famulitium, domus amplo ornata vestibulo: ipse bene vestitus bene praediatus. post ubi intellegit nullum sibi in re familiari praesidium legatum quo fretus aetatem agat, omnia fluxa infirmaque esse, quicquid sub caelo divitiarum est, eas omnes ad bene vivendum* ⟨*nihil*⟩ *quicquam esse* * * *

4. Laert. II 131 *καί ποτε Κράτητος περισταμένου αὐτὸν* [Menedemum] *καὶ καθαπτομένου εἰς τὸ ὅτι πολιτεύεται, ἐκέλευσέ τισιν εἰς τὸ δεσμωτήριον ἐμβαλεῖν αὐτόν. τὸν δὲ μηδὲν ἧττον τηρεῖν παριόντα καὶ ὑπερκύπτοντα Ἀγαμεμνόνειόν τε καὶ Ἡγησίπολιν ἀποκαλεῖν.*

5. Teles p. 28, 5 Hense (Stob. fl. 97, 31) *διὸ καὶ ὁ Κ. πρὸς τὸν ἐπιζητοῦντα 'τί οὖν μοι ἔσται φιλοσοφήσαντι';* "*δυνήσῃ, φησί, τὸ φασκώλιον ῥαιδίως λῦσαι καὶ τῇι χειρὶ ἐξελὼν εὐλύτως δοῦναι καὶ οὐχ ὥσπερ νῦν στρέφων καὶ μέλλων καὶ τρέμων, ὥσπερ οἱ παραλελυμένοι τὰς χεῖρας· ἀλλὰ καὶ πλῆρες ὂν αὐτὸ οὕτως ὄψει καὶ κενούμενον ἰδὼν οὐκ ὀδυνήσῃι, καὶ χρᾶσθαι προελόμενος ῥαιδίως δυνήσῃι καὶ μὴ ἔχων οὐκ ἐπιποθήσεις, ἀλλὰ βιώσῃι ἀρκούμενος τοῖς παροῦσι, τῶν ἀπόντων οὐκ ἐπιθυμῶν, τοῖς συμβεβηκόσιν οὐ δυσαρεστῶν.*" p. 29, 6 *διὸ καὶ εἰ βούλει τὸν υἱόν σου τῆς ἐνδείας καὶ σπάνεως παῦσαι μὴ πρὸς τὸν Πτολεμαῖον πέμπε, ὅπως χρήματα κτήσεται· εἰ δὲ μή, ἀλαζονείαν προσλαβὼν ἀπελεύσεται, περανεῖς δὲ οὐδέν. ἀλλὰ* [*εἰς ἀκαδημίαν*] *πρὸς Κράτητα· ἐκεῖνος ἠδύνατο ἐξ ἁπλήστων καὶ πολυτελῶν ἐλευθερίους καὶ ἀφελεῖς κατασκευάζειν. καὶ Μητροκλῆς δὲ ἐκεῖνος ἔφη, ὡς ἔοικεν, ὅτε μὲν παρὰ Θεοφράστωι καὶ Ξενοκράτει σχολάζοι, πολλῶν αὐτῶι ἐξ οἴκου ἀποστελλομένων φοβεῖσθαι μὴ τῶι λιμῶι ἀποθάνοι καὶ ἀεὶ σπανίζειν καὶ ἐνδεὴς εἶναι, μεταβὰς δὲ ὕστερον πρὸς Κράτητα κἂν ἄλλον προστρέφειν οὐδενὸς πεμπομένου. τότε μὲν γὰρ ἐξ ἀνάγκης ἔδει ὑπόδημα ἔχειν, καὶ τοῦτο ἀκάττυτον* [*ἥλους οὐκ ἔχον*] *εἶτα χλανίδα, παίδων ἀκολουθίαν, οἰκίαν μεγάλην εἰς τὸ σύνδειπνον, ὅπως* [*ὅπου* Iacobs] *ἄρτοι καθαροί, ὄψον μὴ τὸ τυχόν, οἶνος ἡδύς, ὑποδοχὰς τὰς ἐπιβαλλούσας, ἵνα πολυτελῶς* [? *κλίνας πολυτελεῖς*]· *ἐλευθέριος γὰρ παρ' αὐτοῖς ἡ τοιαύτη ἀναστροφὴ ἐκρίνετο· πρὸς Κράτητα δὲ μεταβάντι οὐδὲν ἦν τούτων, ἀλλ' ἀφελέστερος τῶι τρόπωι γενόμενος ἠρκεῖτο τρίβωνι καὶ μάζηι καὶ λαχανίοις οὐκ ἐπιποθῶν τὴν προτέραν δίαιταν οὐδὲ τῇι παρούσηι δυσχεραίνων. πρὸς ῥῖγος ἡμεῖς μὲν ζητοῦμεν παχύτερον ἱμάτιον, ἐκεῖνος δὲ διπλώσας τὸν τρίβωνα περιήιει τρόπον τινὰ δύο ἱμάτια ἔχων. εἰ ἀλείψασθαι χρείαν ἔχοι, εἰσελθὼν ἂν εἰς τὸ βαλανεῖον τῶι γλοιῶι ἠλείψατο. καὶ βαδίσας ἐνίοτε πρὸς τὴν κάμινον, οὐ τὰ χαλκεῖα, τῶν μαινίδων ἀπόπυριν ποιήσας, περιχέας ἂν ἐλαίδιον καθίσας ἠρίστησε. καὶ ἐκάθευδε τὸ μὲν θέρος ἐν τοῖς ἱεροῖς, τὸν δὲ χειμῶνα ἐν τοῖς βαλανείοις· οὐ σπανίζων ὥσπερ πρὸ τοῦ οὐδὲ ἐνδεὴς ὤν, ἀλλ' ἀρκούμενος τοῖς παροῦσι, διακόνους οὐκ ἐπιθυμῶν ἔχειν.*

6. IDEM p. 35, 4 [Stob. fl. 95, 21] *Ζήνων ἔφη Κράτητα ἀναγινώσκειν ἐν σκυτείωι καθήμενον τὸν Ἀριστοτέλους Προτρεπτικόν, ὃν ἔγραψε πρὸς Θεμίσωνα τὸν Κυπρίων βασιλέα, λέγων ὅτι οὐδενὶ πλείω ἀγαθὰ ὑπάρχει πρὸς τὸ φιλοσοφῆσαι· πλοῦτόν τε γὰρ πλεῖστον αὐτὸν ἔχειν ὥστε δαπανᾶν εἰς ταῦτα, ἔτι δὲ δόξαν ὑπάρχειν αὐτῶι. ἀναγινώσκοντος δὲ αὐτοῦ τὸν σκυτέα ἔφη προσέχειν ἅμα ῥάπτοντα καὶ τὸν Κράτητα εἰπεῖν 'ἐγώ μοι δοκῶ, ὦ Φιλίσκε, γράφειν* [recte] *πρὸς σὲ προτρεπτικόν· πλείω γὰρ ὁρῶ σοι ὑπάρχοντα πρὸς τὸ φιλοσοφῆσαι ⟨ἢ⟩ ὧι* [ὧν libri: correxi] *ἔγραψεν Ἀριστοτέλης'.*

